ΤΟΥ

ΜΑΚΑΡΙΩΤΑΤΟΥ

ΘΕΟΔΩΡΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ,

Ἑρμηνεία εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, τοῦ σοφοῦ Σολομῶντος. Μετὰ καί τινων
ἐξηγήσεων εἰς τὴν αὐτὴν Ἑρμηνείαν κατὰ Παράφρασιν, τοῦ ἁγίου
Γρηγορίου Νύσσης, τοῦ ἁγίου Νείλου τοῦ Ἀσκητοῦ, καὶ τοῦ
ἁγίου Μαξίμου τοῦ Ὁμολογητοῦ: Μεθ' ἑτέρας
ἐξηγήσεως πάνυ ὡραίας, διὰ στίχων
Πολιτικῶν, τοῦ Ὑπερτίμου
Ψελλοῦ :-

Νεωστὶ τυπωθὲν εἰς κοινὴν ὠφέλειαν, διὰ δαπάνης καὶ ἀναλωμάτων, τοῦ ἐν
Ἱερομονάχοις Ὁσιωτάτου Κυρίου Ἱεροθέου τοῦ Ἀββατίου, τοῦ ἐκ τῆς
Νήσου Κεφαλληνίας. Καὶ διορθωθὲν, παρὰ Ματθαίου
Ἱερέως Κιγάλα τοῦ Κυπρίου :-

Προσετέθησαν δ' ἔτι, ἐν ἀρχῇ τοῦ Βιβλίου καί τινες Στίχοι, τῆς Δεκαλόγου,
καὶ κατὰ Ἀλφάβητον, ἕτεροι συμβουλευτικοὶ πρὸς Νεόφυτον
Παῖδα: Μετὰ καὶ τῶν τοῦ Γεωργίου Πισίδου, εἰς τὸν
Μάταιον βίον: Πρὸς τὸν Οἰκουμενικὸν Πατριάρ-
χην, ἐν τῷ τέλει τοῦ Βιβλίου :-

Con licentia de' Superiori, & Priuilegio :-



ΕΝΕΤΙΗΣΙΝ, αχλθ.

Παρὰ Ἰωάννῃ Ἀντωνίῳ τῷ Ἰουλιανῷ :-




ΤΩ ΠΑΝΙΕΡΩΤΑΤΩ,

ΚΑΙ ΣΟΦΩΤΑΤΩ ΜΗΤΡΟΠΟΛΙΤΗ

τῆς Φιλαδελφείας, κυρίῳ κυρίῳ Ἀθανασίῳ τῷ Βαλλεριανῷ, ὑπερτίμῳ καὶ ἐξάρχῳ Πατριαρχικῷ.

Ὁ πρὸς ἐμὲ ἔνθεος πόθος, καὶ ἡ ἐν Χριστῷ εἰλικρινὴς ἀγάπη τῆς προθυμοτάτης μου ψυχῆς, Πανιερώτατε καὶ σοφώτατε Δέσποτα, διὰ νὰ τυπωθῇ τὸ παρὸν τοῦτο Βιβλίον τοῦ Ἄσματος τῶν Ἀσμάτων, τοῦ σοφοῦ Σολομῶντος, μετὰ τῆς μελιρρύτου θείας ἐξηγήσεως, τῶν ἁγίων Πατέρων, Γρηγορίου Νύσσης, Μαξίμου τε καὶ Νείλου, Ἔτι δὲ καὶ τοῦ μακαριωτάτου Θεοδωρήτου, καὶ τοῦ ὑπερτίμου Ψελλοῦ.

Ἄλλη δὲν μοῦ ἐστάθη τοῦ σκοποῦ ἡ ἀφορμή, καὶ αἰτία, ἢ μᾶλλον εἰπεῖν τὸ διάφορον, παρὰ ἡ πρὸς τὰ καλὰ θεία ἀνάβασις, καὶ ἡ τοῦ γένους, ἤγουν κοινὴ διάθεσις, καὶ ψυχικὴ ὠφέλεια. Διότι, δὲν ἐκεῖνα πρέπον νὰ ἦτον καὶ εὔλογον, τίμιόν τε καὶ ἄξιον, τὸ, νὰ ἔχω αὐτὸς μόνος ἐγὼ τὸ Βιβλίον τοῦτο, (καθὼς εἰς χεῖράς μου ἔτυχε χειρόγραφον, δωρηθέν-



μοι, καὶ εὐεργετημένον, ἐκ τῆς ἀειφήμου κληρονομίας, τοῦ ἐκλαμπροτάτου καὶ ἐξοχωτάτου κυρίου κυρίου Βίκτωρος τοῦ Γρημάνη.) Τῆς ὁποίας ὑπερευχαριστῶ τὴν πρὸς ἐμὲ μεγίστην της ἀγαθὴν προαίρεσίντε, καὶ χάριν εἰς αἰώνιον μνήμην. Καὶ νὰ ἀπολαμβάνω (λέγω) μόνος ἐγὼ τῶν μελιρρύτων τούτων λογίων, χωρὶς νὰ κάμω μετόχους σοῦ ἀκριβῆς ποθοῦντας, νὰ βιώσουν καλῶς μὲ πρᾶξιν καὶ θεωρίαν. Ὥστην ὁποῦ γέμει αὐτὸ πάσης κοσμιότητος ἀρετῆστε, καὶ χάριτος, τῆστε ψυχῆς καὶ τοῦ σώματος, διερμηνευμένον θείῳ πνεύματι, διὰ τῆς ὑπουργούσης γλώττης τῶν θεοπτῶν τούτων, καὶ ἁγίων ἀνδρῶν. Ὁ ποῖον ἐξ αὐτῆς τῆς ἀρχῆς τοῦ προοιμίου, διεγείρει τὸν ἄνθρωπον εἰς θείαν ἀκρόασιν, μετὰ πολλῆς προθυμίας, καὶ κατανύξεως πρὸς θεωρίαν θείας ἀναβάσεως, ἀναπληρώνωντάς του τὸν νοῦν, μὲ τὴν μελίρρυτον ἐκείνην σοφίαν τῶν λέξεων, ὁποῦ μικρόστε καὶ μέγας, ἔμπειρόστε καὶ ἄπειρος, σοφόστε καὶ ἄσοφος, δυνάται νὰ ἀπολαύσῃ καὶ νὰ γευθῇ μετ᾿ εὐκολίας, θείας εὐφροσύνης, διδασκαλίαστε καὶ χάριτος, καὶ μετὰ θείου πόθου καὶ ἔρωτος νὰ φθάσῃ ὁλοψύχως εἰς τὴν κατ᾿ ἐνέργειαν τελειότητα, τῆς τε ψυχῆς καὶ τοῦ σώματος. Καθὼς αὐτὸ καθ᾿ αὐτὸ τὸ Βιβλίον τοῖς πᾶσι μὲ ἔπαινον γίνεται πρόδηλον. Καὶ ὁ μετ᾿ εὐλαβείας τοῦτο εὐσόχωστε καὶ προσεχῶς ἀναγινώσκων, θέλει δηλώσει αὐτοῦ τὴν βεβαίωσιν. Διότι, εὐήκοος ἐστὶ καὶ καταληπτικὴ ἡ φράσις, καὶ ἡ τῆς ἐξηγήσεως αὐτοῦ θεία ἔνδειξίς τε καὶ ἑρμηνεύσις. Ὥστε μὲ τὸ ὁποῖον τοῦτο καὶ μόνον Βιβλίον, δυνάται ὁ καθ᾿ εἷς, νὰ μάθῃ ἐκεῖνο ὁποῦ μὲ ἄλλα πολλὰ καὶ διάφορα ἐχρειάζετον νὰ ἔχῃ σημάτου, διὰ νὰ καταλάβῃ τὴν ἔννοιαν τῶν μυστικῶν λεγομένων:

Τοῦτο

Τοῦτο γοῦν εἰς φῶς ἐπροθυμήθηκα νὰ φέρω, διὰ κοινὴν ὠφέλειαν, χωρὶς νὰ ἀριθμήσω δαπάνην, καὶ προτιμήσω διάφορον ἄλλο μερικὸν ἐδικόνμου, καὶ θέλειμοῦ δεχθεῖ ὁ καθ᾿ εἷς τὸ πρόθυμον τῆς ψυχῆς. Τὸ ὁποῖον ἂν ἔτυχεν ἴσως, καὶ εἰς ἄλλον καιρὸν νὰ ἐτυπώθῃ, ἢ ὅλον ὡς κεῖται, ἢ καὶ μέρος ἐκ τούτου, ἔχωντάςτο μερικόστις, εἶναι ἄπορον, καὶ ἀκριβὸν διὰ τὸ παρὸν εἰς ἀπόλαυσιν κοινήν:

Τοῦτο λοιπὸν τὸ Βιβλίον ἐπροσήκεινα, δεόντως, σεβασμίωστε, καὶ ὑποκλιτῶς, νὰ τὸ ἀφιερώσω τῆς ἀκριβεστάτης καὶ [illegible] συνέσεως τῆς πανιερωτάτης σου, ὡς κοινὸς Πατήρ, καὶ προβλεπτὴς τῶν ἡμετέρων ψυχῶν. Ἱκετεύωντάςτην αἰδεσίμως, ὅτι διὰ μέσου τῆς θεοπροβλήτου σου χάριτος νὰ κάμῃ ἴσιν βεβαίωσιν, εἰς τὰ περιεχόμενα τούτου: ὡς κῆρυξ τοῦ θείου Εὐαγγελίου, καὶ διερμηνευτὴς τῶν ἱερῶν λογίων. Ἵνα διὰ σοῦ τοῦ καλοῦ ποιμένος, ἀνακληθῶσι πρόβατα ἀπολωλότα, καὶ ἔλθωσιν εἰς τὰς αἰωνίους καὶ σωτηρίους μονάς, διὰ τῆς γνώσεως ταύτης τῆς πνευματικῆς ἀναγνώσεως. Διὰ τῆς ὁποίας, αἱ ψυχαὶ τούτων, νὰ εὐφρανθῶσιν, καὶ νὰ ζωοτροφηθῶσιν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν: ἅμα δὲ καὶ καταξιωθῶσιν διὰ τῆς σῆς εὐχῆστε καὶ εὐλογίας, τῆς ἄνω τρυφῆς τῆς τῶν οὐρανῶν Βασιλείας. Ἀμήν:-

Ἔρρωσο ὦ θεία καὶ Ἱερὰ κεφαλή, καὶ ὑπερεύχου μοι.

Ἐνετίῃσιν: Ἰουλλίῳ. η΄. Ἔτος τὸ σωτήριον, ,αχλθ΄.

Τῆς θεοπροβλήτου σου Ἀρχιερωσύνης, ὁ ἐκ τῆς νήσου κεφαλληνίας ἐλάχιστος δοῦλος.

Ἱερόθεος Ἱερομόναχος, ὁ Ἀββάτιος.

ΙΕΡΟΘΕΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ,
πρὸς Νεόφυτον Παῖδα. Ἡ τῶν ἐντολῶν Δεκάλογος.

Ὁ πλαξὶ γραφεὶς, ἐν δέκα λόγοις νόμος :-

α Κύριος ἐστὶν Ἰσραὴλ, Θεὸς μόνος. Κ' εἴδωλον οὐδὲν ἐργάσῃ,
τὸ παρέπου.
β Οὔκουν δὲ λήψῃ, τοῦ Θεοῦ κλῆσιν, μάτην.
γ Μνείαν δὲ ποίει, τῶν Σαββάτων ἡμέρας.
δ Σὸν Πατέρα τίμα τε, καὶ τὴν μητέρα.
ε Ἥκιστα μοιχείδιον ἐργάσῃ, γάμον.

Ταῦται μία πλὰξ, ἡ δὲ θατέρα πάλιν :-

ϛ Οὐδ' ἂν φονεύσῃς ἐκθυμοῦσσου, τὸν πέλας.
ζ Μὴ δ' ἔθιζε κλοπὴν, τῶν ἀνδραιμάτων.
η Ψευδῆ τε μακρὰν, ἀπέθου μαρτυρίαν.
θ Μηδὲ τοῦ πέλας σύζυγον, ἐπιθύμῃ.
ι Οὐδ' ἀγαπήσῃς εἴ τι τῶν πέλας φίλον.

Τούτους Θεὸς χάραξεν ἐν πλαξὶ νόμους.

Ὁ ΑΥΤΟΣ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ.

Ἡ ἀκροστιχὶς, κατὰ Ἀλφάβητον :-

Ἄκουσον ὦ παῖ, τῆς ἐμῆς συμβουλίας.
Βλέψον πρὸς αὐτὴν, μᾶλλον, ἢ πρὸς ἄλλο τι.
Γράψον δὲ ταύτην, εἰς πλάκας τῆς καρδίας.
Δὸς πάντα καὶ φρόνησιν, ἔκπεσον μόνην.
Ἔωλα πάντα, τῆς φρονήσεως ἄνευ.
Ζηλοῦ σοφὸν, μάλιστα καὶ σοφῶν βίον.
Ἡ γλῶσσα καιροῦ, μηδὲν ἐκφέρῃ δίχα.
Θήρευε τὰ κράτιστα, τῶν νοημάτων.
Ἴχνη δ' ἔρριψον, πρὸς πύλας τῶν ἐνθάδε.
Καλῶς βάδιζε, καὶ κακῶν πᾶν ἐκτρέπου.
Λόγῳ τρόπους κόσμησον, ἢ λόγους τρόπῳ.
Μὴ τῶν ῥεόντων, τῶν μενόντων δ' ἀντέχου.
Νόμον Θεοῦ, Πατρὸς τε, μὴ λήθην λάβῃς.
Ξένος προσῆλθε, Χριστὸν αὐτὸν ἐννόει.
Ὅλον σεαυτὸν τοῖς μαθήμασι δίδου.
Πρᾶος, ταπεινὸς, τοῖς διδασκάλοις, ἔσο.
Ῥᾴθυμον ἔργον, μηδὲ προβλέψαι θέλῃς.
Σαυτοῦ δ' ἀδελφοὺς, οὓς ὁμίληκας λέγε.
Τῶν σοὶ σχολαστῶν, τὰς συνουσίας φίλει.
Ὑπὲρ δὲ τούτου καὶ πρεπόντων καὶ μόνον.
Φοβοῦ τὸ θεῖον, ἐξ ὅλης τῆς καρδίας.
Χριστὸν δὲ τοῖς σοῖς ἔνδον ἐν στέρνοις φέρων.
Ψυχὴν κράτυνε, πρὸς πόνους παθημάτων.
Ὡς ἂν διαυγῇς, καὶ τύχῃς σωτηρίας.

ΤΟΥ

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ

ΘΕΟΔΩΡΗΤΟΥ ἘΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ.

Ἐπιστολὴ, πρὸς Ἰωάννην Ἐπίσκοπον, αἰτήσαντα παρ' αὐτοῦ, τὴν ἑρμηνείαν τοῦ ᾄσματος τῶν ᾀσμάτων :-

ΤΩ͂ ΘΕΟΦΙΛΕΣΤΑΤΩ ἘΠΙΣΚΟΠΩ ΚΥΡΩ͂ ἸΩΑΝΝΗ,
Ἐν Χριστῷ ἀδελφῷ, καὶ συλλειτουργῷ, Θεοδώρητος :-

Ἡ ΤΩ͂Ν θείων λογίων ἐξήγησις, δεῖται μὲν ψυχῆς κεκαθαρμένης, καὶ ῥύπου παντὸς ἀπηλλαγμένης. Δεῖται δὲ καὶ διανοίας ἐπτερωμένης, καὶ καθορᾶν τὰ θεῖα δυναμένης, καὶ κατατολμώσης τῶν ἀδύτων τοῦ πνεύματος. Χρῄζει δὲ γλώττης ὑπουργούσης τῇ διανοίᾳ, καὶ τὴν ἐκείνης θεωρίαν ἀξίως ἑρμηνευούσης. Ἐμοὶ δὲ καὶ ψυχὴ πολὺ ἁμαρτημάτων φόρτον περικειμένη. Καὶ φροντίσιν ὧν ἐγκεχείρισμαι πραγμάτων βεβαπτισμένη διάνοια, διὰ ταῦτα ταπεινὴ καὶ χαμαίζηλος. Καὶ κατοπτεύειν ἀκριβῶς τὰ θεῖα μὴ δυναμένη λόγια. Καὶ πρὸς τούτοις γλῶττα τῆς διανοίας νωθεστέρα καὶ βραδυτέρα. Ἐπειδὴ δὲ προσέταξας ὦ φίλη μοι κεφαλὴ τοῦ ᾄσματος τῶν ᾀσμάτων ἑρμηνεῦσαι τὴν βίβλον, καὶ τῶν αἰνιγματωδῶν, καὶ μυστικῶς εἰρημένων σαφῆ, καὶ δήλην τὴν διάνοιαν δεῖξαι, κατετολμήσαμεν τῶν ὑπὲρ δύναμιν. Καὶ ταῦτα μυρίαις αἰτίαις τε, καὶ χωρητικαῖς. Στρα-

τιω-

ζωτικαῖς τε καὶ πολιτικαῖς, Ἐκκλησιαστικαῖς τε καὶ κοιναῖς περιεχόμενοι φροντίσι, τοῖς βυθοῖς τοῦ πελάγους κατεθαρρήσαμεν. Καὶ εἰς τὸ βάθος τοῦ γράμματος καταβῆναι τετολμήκαμεν, ἵνα ποτὶ τοῦ νοήματος ἀνενέγκωμεν μαργαρίτην. Ἐλάβομεν δὲ σκύλακα ἐν τῷ στόματι. ἵνεις ἔσβυναν τοῦ ζητουμένου συνεχῶς χρήζουσι, καὶ χαρροποιήτῳ φωτί. Ἀλλ' εὐχήν, καὶ ἱκετείαν, ἧς ἐπὶ μάλιστα χρήζουσιν οἱ τῆς τῶν θείων λογίων διηνοίας ἐφικέσθαι ποθοῦντες. Ἐδίδαξε γὰρ ἡμᾶς ὁ μακάριος Δαβὶδ λέγειν. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Ταῦτα δεδιδαγμένοι, τὴν θείαν ἱκετεύσωμεν χάριν ὑποδεῖξαι ἡμῖν τὴν τοῦδε τοῦ Βιβλίου διάνοιαν. Ἐπειδὴ δέ τινες τῶν τὸ ᾆσμα τῶν ᾀσμάτων διαβαλλόντων. Καὶ πνευματικὸν εἶναι τὸ Βιβλίον τῶν πιστευόντων. μύθους δέ τινας οὐδὲ γραϊδίοις παραληροῦσιν ἁρμόττοντας ὑφαινόντων, καὶ λέγειν τολμώντων, ὡς ὁ σοφὸς Σολομὼν εἰς ἑαυτόν, καὶ τὴν τοῦ Φαραὼ θυγατέρα τοῦτο συγγέγραφε. Καὶ ἄλλοι δή τινες οἱ ταυτησὶ τῆς συμμορίας ὑπάρχοντες, ἀβισὰκ τὴν σουμανῖτιν ἀντὶ τῆς τοῦ Φαραὼ θυγατρὸς εἶναι τὴν νύμφην ἀνεπλάσαντο. Οἱ δὲ τούτων σεμνότερον νενοηκότες, βασιλικὸν τὸν λόγον ὠνομάκασι, καὶ νύμφην μέντοι τὸν λαὸν προσηγορεύκασι. Τὸν δὲ Βασιλέα νυμφίον, ἀναγκαῖον τοίνυν ἡγησάμεθα τῆς ἑρμηνείας ἀρχόμενοι, τὴν διεψευσμένην ταύτην καὶ βλαβερὰν πρότερον διελέγξαι διάνοιαν. εἶθ' οὕτως σαφῆ τοῦ γράμματος τὸν σκοπὸν καταστῆσαι, ἐξῆν μὲν αὐτοὺς συνιδεῖν, ὡς πολὺ λίαν αὐτῶν καὶ σοφώτεροι, καὶ πνευματικώτεροι τυγχάνουσιν, οἱ μακάριοι πάτερες, οἱ τοῦτο τὸ Βιβλίον ταῖς θείαις γραφαῖς συντεταχότες, καὶ ἅτε

δὴ πνευ-

δὴ πνευματικὸν κανονίσαντές τε αὐτό, καὶ Ἐκκλησίᾳ πρέπειν ἀποφηνάμενοι. Οὐ γὰρ ἂν εἴπερ ἄλλως ὑπέλαβον ταῖς Ἁγίαις αὐτὸ γραφαῖς συνηρίθμησαν, ἀκρασίας ἔχον καὶ φιληδονίας ὑπόθεσιν. Καὶ τί δεῖ τοὺς κάτω λέγειν πατέρας. Ἐξὸν αὐτοῦ τοῦ θείου πνεύματος καλέσαι τὴν μαρτυρίαν. Ἐπειδὴ γὰρ αἱ θεῖαι γραφαί, αἱ μὲν ὑπὸ Μανασσῆ τοῦ πονηρίᾳ καὶ δυσσεβείᾳ, τοῦτ' ἔστι περὶ αὐτοῦ καὶ τοὺς μετ' αὐτὸν ἅπαντα ἀποκρύψαντος, ἐνεπρήσθησαν. Αἱ δὲ κατὰ τὸν τῆς αἰχμαλωσίας φροῦδοι παντελῶς ἐγένοντο, τῶν Βαβυλωνίων καὶ τὸν θεῖον ναὸν ἐμπρησάντων, καὶ τὴν πόλιν ἀνάστατον πεποιηκότων. Καὶ τὸν ναὸν ἐξανδραποδισαμένων. Μετὰ πολὺν ἐτῶν ἀριθμὸν τοῦ λαοῦ πάλιν ἀνακλήσεως τετυχηκότος. Ὁ μακάριος Ἔσδρας, ἀνὴρ ἀρετῇ διαπρέπων, καὶ τοῦ παναγίου πνεύματος πλήρης γενόμενος ὡς βοᾷ τὰ πράγματα, τὰς ἀναγκαίας ἡμῖν καὶ σωτηρίας παρεκτικὰς ἀναγράφει γραφάς. Καὶ οὐ μόνον τὰ Μωσέως συγγράμματα, ἀλλὰ καὶ τὴν Ἰησοῦ καὶ τῶν κριτῶν, καὶ τῶν Βασιλέων ἱστορίαν, καὶ τοῦ γενναίου Ἰὼβ τὸ διήγημα. Καὶ τὴν ἱερὰν τοῦ Δαβὶδ μελῳδίαν. Τὴν τῆς Ἐκκλησίας εὐφροσύνην. Καὶ τοὺς ἐκ δώδεκα Προφήτας. Καὶ τοῦ σοφοῦ Σολομῶντος τὰς παροιμίας. Καὶ τὸν ἐκκλησιαστήν. Καὶ τὸ ᾆσμα τῶν ᾀσμάτων. Πῶς τοίνυν ταύτην ἔχει τὴν διάνοιαν, ἣν φατὲ τὸ Βιβλίον ὦ βέλτιστοι. Εἰ ὁ μὲν Ἔσδρας ταῦτα συνέγραψεν, οὐκ ἐξ ἀντιγράφων δὲ ἔγραφεν, ἀλλὰ τοῦ θείου πνεύματος πλήρης γενόμενος, ἵνα πᾶσιν ἀνθρώποις ἀνάγραπτον παραπέμψῃ τὴν ὠφέλειαν. Τὰ γὰρ τῆς ἀκολασίας συγγράμματα, οὐ τοῦ θείου πνεύματος, ἀλλὰ τοῦ ἐναντίου πνεύματος. Ὁ γὰρ καρπὸς
» τοῦ πνεύματος κατὰ τὸν μακάριον Παῦλον, ἀγάπη. Χα-

» ρὰ εἰρήνη. μακροθυμία. χρηστότης. ἀγαθωσύνη. πίστις. » πραότης. Ἐγκράτεια. εἰ δὲ τοῦ ἁγίου πνεύματος καρπὸς» ἡ ἐγκράτεια. τοῦ ἐναντίου πνεύματος καρπὸς ἡ ἀκρασία. ἀκρασίας δὲ ὑπόθεσιν ὥς τόγε περιέχει τοῦ ᾄσματος τῶν ᾀσμάτων τὸ σύγγραμμα. Ὁρᾶτε τοίνυν ποῦ τὰ τῆς βλασφημίας χωρεῖ; κατὰ γὰρ τοῦ παναγίου πνεύματος, ἡ κατὰ τοῦ Βιβλίου λοιδορία τολμᾶται. Τῆς γὰρ τούτου χάριτος ἐμπλησθεὶς ὁ μακάριος Ἔσδρας, διαφθαρὲν ὡς ἔφαμεν τὸ Βιβλίον ἀνενεώσατο. Καὶ τοῦτο συνειδότες οἱ μακάριοι πατέρες, ταῖς θείαις αὐτὸ γραφαῖς συντετάχασι. Πολλοὶ δὲ αὐτὸ τῶν παλαιῶν διερμηνεύκασιν. Οἱ δὲ τοῦτο ἐφεξῆς μὴ πεποιηκότες ταῖς ἐκεῖθεν χρήσεσι τὰ οἰκεῖα συγγράμματα κατεκόσμησαν. Καὶ οὐ μόνον Εὐσέβιος ὁ Παλαιστινὸς καὶ Ὠριγένης ὁ Αἰγύπτιος. Καὶ Κυπριανὸς ὁ Καρχηδόνιος, ὁ τοῦ Μαρτυρίου στέφανον ἀναδησάμενος. Καὶ οἱ τούτων παλαιότεροι, καὶ τῶν Ἀποστόλων πλησιέστεροι, ἀλλὰ καὶ οἱ κατ' ἐκείνους ἐν ταῖς Ἐκκλησίαις διαπρέψαντες, πνευματικὸν ἔγνωσαν τὸ Βιβλίον. Βασίλειός τε ὁ μέγας τὴν ἀρχὴν τῶν παροιμιῶν ἑρμηνεύων. Καὶ Γρηγόριος ἑκάτερος. Ὁ μὲν τὴν ἐκείνου συγγένειαν. Ὁ δὲ τὴν φιλίαν αὐχῶν. Καὶ Διόδωρος ὁ γενναῖος. Τῆς εὐσεβείας πρόμαχος. Καὶ Ἰωάννης ὁ τοῖς ῥεύμασι τῆς διδασκαλίας μέχρι καὶ τήμερον, πᾶσαν τὴν Οἰκουμένην ἀρδεύων. Καὶ οἱ μετ' ἐκείνους ἅπαντες. Ἵνα συνελὼν εἴπω, καὶ τοῦ λόγου διαφύγω τὸ μῆκος. Συνίδωμεν τοίνυν εἰ δίκαιον τοσούτους, καὶ τοιούτους ἄνδρας διαπτύσαντας. Καὶ αὐτοῦ δὲ τοῦ παναγίου καταφρονήσαντας πνεύματος, ταῖς οἰκείαις ἐννοίαις ἀκολουθεῖν. Μὴ πειθομένους τῷ καλῶς εἰρηκότι, λογισμοὶ ἀνθρώπων δειλοὶ καὶ ἐπισφα-

λεῖς αἱ

λεῖς αἱ ἐπίνοιαι αὐτῶν. Μηδὲ ἀκούοντας τοῦ μακαρίου Παύλου περὶ τινῶν, λέγοντος. Ὅτι ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν. Καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Διὸ ἡμεῖς μετὰ τοῦ μακαρίου Πέτρου βοῶμεν. Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώποις. Ἐροῦμεν δὲ καὶ πρὸς αὐτούς. Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν, ἢ τοῦ θεοῦ, κρίνατε. Ἡμεῖς γὰρ οὐ δυνάμεθα ἃ εἴδομεν διὰ τοῦ πνεύματος, καὶ ἠκούσαμεν μὴ λαλεῖν. Ἵνα δὲ μὴ μόνον αὐτῶν ἡμῶν φροντίζομεν, αὐτοὺς βλαπτομένους παρίδωμεν. Φέρε ζητήσωμεν, πόθεν αὐτοῖς γέγονεν ἡ τῆς βλάβης ἀφορμή. Καὶ τὴν δυνατὴν αὐτοῖς θεραπείαν, ἐκ τῶν θείων γραφῶν προσενέγκωμεν. Ἀναγινώσκοντες ὡς οἶμαι ταυτὶ τὸ σύγγραμμα. Καὶ ὁρῶντες ἐν αὐτῷ λώρα, καὶ φιλήματα, καὶ μηρούς, καὶ κοιλίαν. καὶ ὀμφαλόν. καὶ σιαγόνας. καὶ ὀφθαλμούς. καὶ ῥῖνα. καὶ μῆλα. καὶ νάρδον. καὶ στακτήν. καὶ σμύρναν. καὶ ὅσα τοιαῦτα. Καὶ τῆς θείας γραφῆς ἀγνοοῦντες τὰ ἰδιώματα. Οὐκ ἠθέλησαν διαδῦναι, καὶ τοῦ γράμματος ὑπερβῆναι τὸ κάλυμμα. Καὶ ἐντὸς γενέσθαι, τῷ πνεύματι. Καὶ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτρισθῆναι. Ἀλλὰ σαρκικῶς νενοηκότες τὰ εἰρημένα, εἰς ἐκείνην τὴν βλασφημίαν ἐξώκειλαν. Ἔδει δὲ αὐτοὺς συνιδεῖν ὅτι καὶ ἐν τῇ παλαιᾷ, πολλὰ τροπικῶς ἡ θεία λέγει γραφή, καὶ ἑτέροις ὀνόμασι κεχρημένη. Ἕτερα δὲ διὰ τούτων σημαίνει. Περὶ γὰρ τοῦ Βαβυλωνίου διηγουμένη. Οὔτε τὸ κύριον ὄνομα τέθεικεν, οὔτε τὸ κοινὸν τῆς φύσεως. Οὔτε γὰρ Ναβουχοδονόσορ ὠνόμασεν, οὔτε ἄνθρωπον προσηγόρευσεν. Ἀλλὰ φησίν. Ὁ ἀετὸς ὁ μεγαλοπτέρυξ, ὁ μακρὸς τῇ ἐκτάσει, ὁ πλήρης ὀνύχων. Ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον. Καὶ ἔλαβε τὰ ἐπίλεκτα

τῆς κέ-

τῆς κέδρου. Τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέκνισε. Καὶ οὐδεὶς
πώποτε τὸν ἀετὸν, ἀετὸν ἐνόησεν, οὔτε τὸν λίβανον, λίβανον.
Οὔτε τὴν κέδρον, κέδρον. Ἀλλ' ἀετὸν μὲν τὸν Βασιλέα,
ἐπειδὴ καὶ τὸ ζῶον βασιλικόν. Μεγαλοπτέρυγος δὲ διὰ τὸ πλά-
τος τῆς Βασιλείας. Πλήρη δὲ ὀνύχων, διὰ τὸ πλῆθος τῆς στρα-
τιᾶς. Ἥγημα δὲ αὐτὸν ἔχειν ἔφησε. Διὰ τὸ θείῳ νεύματι
ἀγόμενον πεποιηκέναι ἃ ἐποίησε. Λίβανον δὲ τὴν Ἱερου-
σαλὴμ προσηγόρευσε, διὰ τὸ δασὺ καὶ πυκνὸν τῶν πνευματι-
κῶν χαρισμάτων. Ἁπαλὰ δὲ τὰ τῆς κέδρου. Τοὺς ἀσεβεῖς,
καὶ τρυφῇ προσέχοντας, καὶ ἐν ἀξιώμασι διαπρέποντας. Καὶ
ταῦτα οὕτω νοεῖν. Οὐ μόνον τοῖς τὴν ἀσέβειαν τροφίμοις,
ἀλλὰ καὶ Ἰουδαίοις σύνηθες, τοῖς παχύτερον καὶ σαρκικώτερον
τὰς θείας νοοῦσι γραφάς. Καὶ ὁ μακάριος δὲ Ζαχαρίας. Διά-
νοιξον ὁ Λίβανος τὰς θύρας σου. Καὶ καταφαγέτω πῦρ τὰς
κέδρους σου. Ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέδρος. Καὶ οὔτε
λίβανον νοοῦμεν τὸν λίβανον, οὔτε κέδρους τὰς κέδρους. Οὔτε
πῦρ τὸ πῦρ. Οὔτε πίτυς τὰς πίτυς. Ἀλλὰ πῦρ μὲν πάλιν τὸν
Βαβυλώνιον, ὃν ὁ Ἰεζεκιὴλ, ἀετὸν προσηγόρευσε. Λίβανον δὲ
τὴν Ἱερουσαλήμ. Κέδρους δὲ, τοὺς ἐπὶ πλούτῳ βρενθυομένους,
καὶ ἐν ἀξιώμασι λαμπρυνομένους. Πίτυς δὲ, τοὺς τούτων
ὑποδεεστέρους. Διὸ ἐπάγει. ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέ-
δρος. Ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Καὶ τί δεῖ
πάντα κατὰ λέγειν, ὅσα τροπικῶς ἡ θεία λέγει γραφή. Τ'
ἄλλα τοίνυν καταλιπόντες. Φέρε δείξωμεν τὸν τῶν ὅλων
θεὸν, καὶ ἐν τῇ παλαιᾷ ὡς γυναικὶ τῇ τῶν Ἰουδαίων πληθύι δια-
λεγόμενον, καὶ τοιούτοις ὀνόμασι μελῶν κεχρημένον, ὁποίοις ὁ
Σολομῶν περὶ ταύτης τῆς νύμφης συγγράφων ἐχρήσατο.
„ Φησὶ τοίνυν πρὸς τὸν Ἰεζεκιὴλ ὁ τῶν ὅλων θεός. Υἱὲ ἀν-
„ θρώπου.

„ θρώπου. Διαμάρτυραι τῇ Ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς.
„ Καὶ ἐρεῖς, τάδε λέγει Ἀδωναῒ κύριος τῇ Ἱερουσαλήμ. Ἡ
„ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ τῆς Χαναὰν ὁ πατήρ σου Ἀμ-
„ μορραῖος. Καὶ ἡ μήτηρ σου Χετταία. Καὶ ἡ γένεσίς σου ἐν ᾗ
„ ἡμέρᾳ ἐτέχθης οὐκ ἐτμήθη ὁ ὀμφαλός σου. Καὶ οὐκ ἔδη-
„ σαν τοὺς μαστούς σου. Καὶ ἐν ὕδατι οὐκ ἐλούσθης εἰς σω-
„ τηρίαν. Οὐδὲ ἁλὶ ἡλίσθης. Σὺ δὲ ἐφείσατο ὁ ὀφθαλ-
„ μὸς ἐπὶ σοὶ, τοῦ ποιῆσαί σε ἓν ἐκ πάντων τούτων, τοῦ πα-
„ θεῖν τι ἐπὶ σοὶ, τοῦ ποιῆσαί σε ἓν ἐκ πάντων τούτων, τοῦ πα-
„ θεῖν τι ἐπὶ σοί. Καὶ ἀπερρίφης ἐπὶ προσώπου τοῦ πεδίου
„ τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης. Καὶ διῆλθον
„ ἐπὶ σὲ, καὶ εἶδόν σε πεφυρμένην ἐν τῷ αἵματί σου. Καὶ εἶ-
„ πά σοι ἐκ τοῦ αἵματός σου ζωὴ πληθύνουσα καθὼς ἡ ἀνατο-
„ λὴ τοῦ ἀγροῦ. Δέδωκά σε καὶ ἐπληθύνθης, καὶ ἐμεγα-
„ λύνθης. Καὶ εἰσῆλθες εἰς πόλεις πόλεων. Οἱ μαστοί σου ἀ-
„ νωρθώθησαν. Καὶ ἡ θρίξ σου ἀνέτειλε. Σὺ δὲ ἦς γυμνὴ καὶ
„ ἀσχημονοῦσα. Καὶ διῆλθον διὰ σοῦ καὶ εἶδόν σε. Καὶ ἰδοὺ και-
„ ρός σου καὶ καιρὸς καταλυόντων. Καὶ διεπέτασα τὰς πτέ-
„ ρυγάς μου ἐπὶ σοί. Καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου.
„ Καὶ ὤμοσά σοι. Καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει
„ Ἀδωναῒ κύριος. Καὶ ἐγένου μοι. καὶ ἔλουσά σε ὕδατι. καὶ ἀπό-
„ πλυνα τὸ αἷμά σου ἀπὸ σοῦ. καὶ ἔχρισά σε ἐν ἐλαίῳ. καὶ
„ ἐνέδυσά σε ποικίλα. καὶ ὑπέδυσά σε ὑάκινθον. καὶ ἔζω-
„ σά σε βύσσῳ. καὶ περιέβαλλόν σε τριχάπτῳ. καὶ ἐκόσ-
„ μησά σε κόσμῳ. καὶ περιέθηκα ψέλλια περὶ τὰς χεῖ-
„ ράς σου. καὶ ἔδωκα ἐνώπιον περὶ τὸν μυκτῆρά σου. καὶ τρο-
„ χίσκους ἐπὶ τὰ ὦτά σου. καὶ Στέφανον καυχήσεως ἐπὶ
„ τὴν κεφαλήν σου. καὶ μετ' ὀλίγον, σεμίδαλιν καὶ μέλι, καὶ
„ ἔλαιον

» ἔλεον ἐφάγες, καὶ ἐγένου καλὴ σφόδρα. καὶ ἐξῆλθέ σου ὄνο-
» μα ἐν τοῖς ἔθνεσιν ἐπὶ τῷ κάλλει σου. καὶ μετ' ὀλίγα πά-
» λιν. καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου λέγει ἀδω-
» ναὶ κύριος. καὶ ᾠκοδόμησας σεαυτῇ οἴκημα πορνικόν. καὶ
» ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλατείᾳ. καὶ ἐπ' ἀρχῆς
» πάσης ὁδοῦ, ᾠκοδόμησας τὰς πορνείας σου. καὶ ἐξεπόρνευ-
» σας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου. τοὺς ὁμοροῦντάς σοι, τοὺς με-
» γαλοσάρκους. καὶ πολλαχῶς ἐξεπόρνευσας τοῦ παροργί-
» σαι με. καὶ μετ' ὀλίγα πάλιν. καὶ οὐκ ἐγένου ὡς πόρνη συνά-
» γουσα μισθώματα. Ἡ γυνὴ ἡ μοιχωμένη ὑπὸ τὸν ἄν-
» δρα αὐτῆς εἰς ἀλλοτρίους, ὁμοίωσαι, ἡ παρὰ τοῦ ἀνδρὸς
» αὐτῆς λαμβάνουσα μισθώματα. καὶ πᾶσι τοῖς ἐκπορ-
» νεύσασιν εἰς αὐτήν, προσδιδοῦσα μισθώματα. Σὺ δὲ
» προσέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου. καὶ ἐφόρ-
» τιζες αὐτοὺς τὸ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐν τῇ πορνείᾳ
» σου. καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας
» ἐν τῇ πορνείᾳ σου. καὶ τὰ ἑξῆς τοῦ αὐτοῦ εἴδους ὑπάρχοντα. Τί
ἂν εἴποιεν οἱ τοῦ ᾄσματος τῶν ᾀσμάτων βλασφημοῦντες τὸ σύγγραμμα, καὶ ἀκολάστως αὐτὸ νοεῖν τολμῶντες. Τοιαῦτα, καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ περὶ τῆς Ἰουδαίων πληθύος εὑρίσκοντες εἰρημένα. Ἰδοῦ γὰρ καὶ ἐνταῦθα μαστοὺς καὶ ὀμφαλὸν καὶ σκέλη, καὶ χεῖρας, καὶ ῥῖνας, καὶ ὦτα, καὶ κάλλος. καὶ ἀγάπην. καὶ περίληψιν, καὶ συνάφειαν εὑρίσκομεν. καὶ πάντα ὑπὸ τοῦ θεοῦ τῶν ὅλων εἰρημένα. καὶ οὐδὲν οὕτω νοοῦμεν ὡς ἀναγινώσκομεν. Οὐ δὲ τῷ ἀποκτένοντι πειθόμεθα γράμματι. Ἀλλ' ἐκτὸς τούτου γενόμενοι, τὴν τοῦ πνεύματος ἐρευνῶμεν διάνοιαν. Καὶ ὑπ' αὐτοῦ φωτιζόμενοι πνευματικῶς ἐκλαμβάνομεν τὰ τοῦ πνεύματος. Καὶ ἀκούοντες πρὸς τὴν

Ἱερουσαλὴμ λέγοντος τοῦ θεοῦ. Ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία, οὐ φυσικήν, ἀλλὰ γνωμικὴν νοοῦμεν συγγένειαν. Κατὰ γὰρ φύσιν τοῦ Ἀβραὰμ ἦσαν ἀπόγονοι. Ὃς ἐκ τοῦ Σὴμ κατῆγε τὸ γένος. Κατὰ δὲ τὴν τοῦ τρόπου μοχθηρίαν, τῷ γένει τοῦ καταράτου συνέβαινε Χαναάν. Διὸ καὶ τὸν πατέρα Ἀμμορραῖον, τὴν δὲ μητέρα λέγει εἶναι Χετταίαν. Παῖδες δὲ οὗτοι τοῦ Χαναάν. Ὧν γὰρ τὴν πονηρίαν ἐμιμήσαντο, τούτων ἔλαχον τὴν συγγένειαν. Διὸ καὶ ὁ μακάριος Ἰωάννης ὁ Βαπτιστής, τοῖς πρὸς αὐτὸν ἐξεληλυθόσιν ἔλεγε. Γεννήματα ἐχιδνῶν. τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ. Καὶ τοὺς τὸν Ἀβραὰμ αὐχοῦντας, γεννήματα ἐχιδνῶν προσηγόρευσε, διὰ τὴν τῆς πονηρίας συγγένειαν. Καὶ αὐτὸς δὲ ὁ κύριος τοῖς εἰρηκόσιν, ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ. Ἀπεκρίνατο λέγων. Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. Καὶ δεικνὺς τὴν αἰτίαν, ἐπάγει. Καὶ τὰ ἔργα τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Καὶ δηλῶν ὁποῖα; Ἐκεῖνος φησὶν ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. οὕτως τοιγαροῦν, καὶ ἐνταῦθα ὁ τῶν ὅλων ἔφη θεός, ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς Χαναάν. Ὁ πατήρ σου Ἀμμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. Εἶτα δεικνὺς τὴν ἐν Αἰγύπτῳ διαγωγὴν τὴν ἀτημέλητον, καὶ ἀκηδέμονα, οὐδὲ μιᾶς ἠξιωμένην ἐν ᾗ ἡμέρᾳ ἐτέχθη φησίν. Οὐκ ἔδησαν τοὺς μαστούς σου. Τροπικῶς καὶ τοὺς μαστούς, καὶ τοὺς δεσμοὺς προσαγορεύουσα. Ἐπειδὴ ἔθος ταῖς παρθένοις παιδόθεν τῶν μαστῶν ἐπιμελεῖσθαι. Διὸ καὶ διὰ Ἱερεμίου τοῦ Προφήτου φησὶν ὁ θεός. Μὴ ἐπιλήσεται νύμφη τοῦ κόσμου αὐτῆς; ἡ παρθένος τῆς στηθοδεσμίδος αὐτῆς; ἐπιμελοῦνται

δὲ τούτων παρθένοι τοῖς οἰκείοις νυμφίοις ἀρέσκειν βουλόμεναι. οὐδὲ μιᾶς ἐπιμελείας τετύχηκε μετὰ τὸν τῆς ἐν Αἰγύπτῳ παροικίας καιρὸν ἡ Ἰουδαίων πληθύς, οὐδὲ τὴν τῆς ἀρετῆς μυρείων ἐφρόντισαν. Εἰκότως φησὶν ἐν ᾗ ἡμέρᾳ ἐτέχθης οὐκ ἔδησαν τοὺς μαστούς σου. Τουτέστι τὸ θρεπτικὸν τῆς ψυχῆς μόριον. Τὸ τοῦ θρεπτικοῦ γάλακτος γεννητικὸν ἐπιμελείας οὐκ ἠξιώθη. ὥστε εἰς καιρὸν ὀρέξαι τοῖς μετὰ ταῦτα, τὰς διδασκαλίας τὰς θηλάς. Καὶ ἐπιμένων τῇ τροπῇ, ἐν ὕδατι φησὶν οὐκ ἐλούσθης. τουτέστι τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας οὐκ ἀπώσω τὸν ῥύπον. Ἀλλὰ καὶ οἱονεὶ τεχθεῖσα καὶ τῆς δουλείας ἐκείνης ἐξελθοῦσα, ἔτι φέρεις τὰ τοῦ τόκου σημεῖα. Μὴ ἀπολουσαμένη, ἀλλὰ τὸν μητρῷον περικειμένη ῥύπον. Ἀκολούθως τούτοις ἐπάγει. Οὐδὲ ἁλὶ ἡλίσθης. Ὅπερ ἔθος ταῖς μαίαις προσφέρειν τοῖς βρέφεσιν. Καὶ τοῦτο δὲ κατὰ τοὺς τῆς ἀλληγορίας νόμους νοήσωμεν. Ἅλας εἰδότες τὴν πνευματικὴν σύνεσιν, καὶ τὴν θείαν διδασκαλίαν τὴν διασύφουσαν τὰ σεσηπῶτα, καὶ σῶα φυλάττουσαν. Διὸ ὁ κύριος ἔλεγε τοῖς μαθηταῖς. Ἔχετε ἅλας; Καὶ πάλιν. Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς. Καὶ ἐν τῇ παλαιᾷ δὲ εὑρίσκομεν οὐδὲ μίαν θυσίαν ἄνευ ἁλῶν προσφερομένην. Οὕτως νοοῦμεν τό, οὐκ ἐτμήθη ὁ ὀμφαλός σου. Ἐπειδὴ γὰρ οἱονεί τις ῥίζα τοῦ ἐμβρύου, κατὰ τοὺς τὰ τοιαῦτα δεινοὺς ὁ ὀμφαλὸς ὑπάρχει. Δι' αὐτοῦ γὰρ ὡς διά τινος ῥίζης ἀρύεται τὴν τροφήν, καὶ αὔξεται καὶ τελειοῦται. Εἰκότως ἐνταῦθα τὴν Ἱερουσαλὴμ ἔφη μὴ τετμῆσθαι. Ὡς ἐξ Αἰγύπτου μὲν τεχθεῖσαν. Ἔτι δὲ τὴν Αἰγυπτιακὴν εἰδωλολατρείαν ἀρυομένην. Καὶ ἐκ τῆς μητρῴας νηδύος, τὴν πονηρὰν ἐκείνην ἑλκούσῃ τροφήν. Καὶ διῆλθον ἐπὶ σὲ φησί,

καὶ εἶδόν σε πεφυρμένην ἐν τῷ αἵματί σου. Σημαίνει δὲ τὰς τοῖς εἰδώλοις προσφερομένας θυσίας. Καὶ εἶπά σοι ἐκ τοῦ αἵματός σου ζωὴ πληθυνοῦσα. Ἐπειδὴ συνεχώρησε μὲν αὐτοῖς θύειν. Αὐτῷ δὲ θύειν ἐνομοθέτησεν, οὐκ αὐτὸς θυσίας δεόμενος, ἀλλὰ τῇ ἐκείνων ἀσθενείᾳ συγκαταβαίνων. Χαίρεις φησὶ θυσίαις καὶ αἵμασι; Μὴ τοῖς δαίμοσι θύε, ἀλλ' ἐμοὶ προσφέρε τὰς θυσίας. Ἀνέχομαι γὰρ μὴ δεόμενος τῶν θυμάτων, σοὶ πανταχόθεν πραγματευόμενος σωτηρίαν. Διὰ τοῦτο φησὶ ἐκ τοῦ αἵματός σου ζωὴ πληθυνοῦσα. Οὕτω νοήσωμεν τό, οἱ μαστοί σου ἀνωρθώθησαν. Ἀντὶ τοῦ καθῃμένοι πρότερον διὰ τὴν πολλὴν ἀκολασίαν, καὶ ἀκρασίαν. Καὶ τὴν περὶ τὰ εἴδωλα μανίαν. ἐπιμελείας [illegible] τυχόντες ἀνωρθώθησαν. Καὶ οἱονεὶ παρθένοι ἐγένοντο. Δηλοῖ δὲ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, καὶ τὴν ἐπὶ τὰ ἄνω ὁρμήν. Καὶ τῆς ἐγκρατείας τὴν κτῆσιν. Καὶ ἡ θρίξ σου φησὶν ἀνέτειλε. Τουτέστι κόσμου παντὸς ἐστερημένη, ἐξαίφνης ἔσχηκας τρίχας κοσμῆσαι δυναμένας. Σὺ δὲ ἦσθα γυμνή, καὶ ἀσχημονοῦσα, οὐδέπω γὰρ νόμος ἐδέδοτο, οὔτε σκηνὴ κατεσκεύαστο. Οὔτε τὰ νυμφικὰ ἕδνα προσενήνεκτο. Διὸ ἐπάγει. Καὶ διῆλθον διὰ σοῦ, καὶ εἶδόν σε. Καὶ ἰδοὺ καιρός σου καὶ καιρὸς καταλυόντων. Ἀντὶ τοῦ ὡραία ἐγένου γάμου. Καὶ ἐπιτηδεία πρὸς συνάφειαν. Διὸ διεπέτασα πτέρυγάς μου ἐπὶ σέ. Καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου. Σημαίνει δὲ διὰ τῶν πτερύγων, τὰ ποικίλα χαρίσματα. Τὴν Ἱερωσύνην. Τὴν Προφητείαν. Τὴν δημαγωγίαν. Τὴν Βασιλείαν. Τὰ θαύματα. Τὰς ἀρρήτους ἐκείνας δωρεάς. Καὶ ὤμοσά σοι. Τοῦτο σαφῶς ἐστὶν εὑρεῖν ἐν τοῖς τοῦ μεγάλου Μωσέως συγγράμμασιν. Ἀρῶ γὰρ φησὶν εἰς τὸν οὐρανὸν τὴν

χεῖράς μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου. Καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. Καὶ πάλιν. Ἀλλ' ἦ ζῶ ἐγὼ καὶ ζῇ τὸ ὄνομά μου. Καὶ ἐμπλήσει ἡ δόξα κυρίου πᾶσαν τὴν γῆν. Διὸ τῶν γεγενημένων αὐτῇ ὅρκων ἀναμιμνήσκει, καί φησιν. Ὤμοσά σοι καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει ἀδωναῒ κύριος. Καὶ συνθῆκαι μεταξὺ ἡμῶν γεγένηνται. Καὶ προικῷα γραμματεῖα παρηκολούθησαν, αἱρέσεις ἐννόμους ἔχοντα σημαινούσας, ὡς εἰ παραβαίης τὰς κειμένας συνθήκας, καὶ τῆς οἰκείας ἐκβληθείσῃ, καὶ τῶν ἑδνῶν ἀποστερηθείσῃ, καὶ ἀπελεύσῃ γυμνὴ ὥσπερ εἰσελήλυθας. Σὺ γὰρ οὐδὲν τῷ γάμῳ προσενήνοχας. Ἐγὼ δὲ καὶ ἐρρυπωμένην ἐξεκάθηρα, καὶ ἄλλως ἐστερημένην [illegible]. Καὶ γυμνὴν οὖσαν ἠμφίασα. Καὶ ἀκόλαστον οὖσαν, ὀρθοὺς ἔχειν πεποίηκα τοὺς μαστούς. Διὸ ἐπάγει. Καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ λέγει ἀδωναῒ κύριος. Καὶ ἐγένου μοι. Καὶ ἔλουσά σε ὕδατι. καὶ ἀπέπλυνα τὸ αἷμά σου ἀπὸ σοῦ. καὶ ἔχρισά σε ἐν ἐλαίῳ. καὶ ἐνέδυσά σε ποικίλα. καὶ ὑπέδυσά σε ὑάκινθον. Καὶ ἔζωσά σε βύσσῳ, καὶ τὰ ἑξῆς. καὶ ταῦτα δὲ ἔστι μαθεῖν ἀκριβῶς, ἐκ τῶν τοῦ θειοτάτου Μωϋσέως συγγραμμάτων. Ἐκεῖνος γὰρ τὸν ἱερατικὸν κατασκευάζει κόσμον. Καὶ τὸ ἅγιον ἔλαιον τῆς χρίσεως ὑπὸ τοῦ θεοῦ τῶν ὅλων διδαχθεὶς τῆς κατασκευῆς τὸν τρόπον. Οὕτω νοήσωμεν τὰ ψέλλια τῶν χειρῶν. καὶ τὸ κατάθημα τοῦ τραχήλου. καὶ τὸ ἐνώτιον τοῦ μυκτῆρος. καὶ τοὺς τροχίσκους τῶν ὤτων. καὶ τὸν στέφανον τῆς καυχήσεως ἐπὶ τῆς κεφαλῆς κειμένης. Ψέλλια γὰρ χειρῶν, τὴν πρακτικὴν ἀρετὴν ὀνομάζει. Τροχίσκους δὲ ὤτων, τὴν τῶν θείων λογίων ἀκρόασιν. Ὧν ἔχεσθαι δεῖ, καθάπερ ἡ ἀκοὴ τοῦ τροχίσκου. Κατάθημα

δὲ τοῦ

δὲ τοῦ τραχήλου. Τὸν τῆς συνέσεως κόσμον ἐν τῷ ἡγεμονικῷ λάμποντι, ὃ τῇ καρδίᾳ ἐπαναπαύεται τῇ τοῦ τραχήλου ἐξηρτημένῃ. Ἐνώπιον δὲ ἐν μυκτῆρι κείμενον. Τῶν θείων νόμων τὸν χαλινόν, ἐκ μεταφορᾶς τῶν ταύρων τῶν οὕτως ὑπὸ τῶν βοηλατῶν ἀγομένων. Καὶ γὰρ διὰ Ὠσηὲ τοῦ προφήτου, τοιαῦτα πάλιν φησὶν ὁ θεός. Ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἐφραΐμ. Καὶ πάλιν. Ἤκουσα φησὶν Ἐφραΐμ ὀδυρομένου. Ἐπαίδευσάς με κύριε, καὶ οὐ κεπαιδεύθην. Ὥσπερ μόσχος οὐκ ἐδιδάχθην. Διὸ ἀναγκαίως τοῦ τοιούτου χαλινοῦ ἐδεήθη, ἵνα τῆς ἀτάκτου φορᾶς διὰ τούτων κωλύηται. Οὕτως νοήσωμεν. Τὸ πορνικὸν δὲ αὐτὸ προσηγόρευσεν οἴκημα. Ἐπειδὴ οἷον τῷ θεῷ συνημμένη, καὶ τοῦτον ἄνδρα ὀνομάζουσα, τῶν πονηρῶν ἠράσθη δαιμόνων, καὶ τούτοις ἐδείματο ναούς. Καὶ τὰ ὑπὸ τοῦ θεοῦ χορηγούμενα αὐτῇ δῶρα, τούτοις προσέφερε. Διὰ τοῦτο ἐπήγαγε, καὶ ἐπ' ἀρχὴν πάσης ὁδοῦ ᾠκοδόμησας τὴν πορνείαν σου, καὶ ἐλυμήνω τὸ κάλλος σου. Καὶ διήγαγε τὰ σκέλη σου παντὶ παρόδῳ, τὴν τῆς ἀκολασίας ὑπερβολὴν διὰ τούτου παραδηλῶν. Οὐ γὰρ τοῖς συνήθεσι μόνοις ἐγένου. Ἀλλὰ πάντας τοὺς παριόντας ἐφελκομένη, ἀκολάστως ἐμίγνυσο. Μίξιν δὲ πάλιν ἐνταῦθα τροπικῶς, τὴν τῶν εἰδώλων θεραπείαν ὀνομάζει. Δεῖ δὲ ἐπιτηρῆσαι ὁποίοις ὀνόμασιν ὁ τῶν ὅλων θεὸς ἐχρήσατο, τὴν τῆς εἰδωλολατρείας ἀμετρίαν σημᾶναι βουλόμενος. Διήγαγες γὰρ τὰ σκέλη σου παντὶ παρόδῳ. Καὶ ἐπλήθυνας τὴν πορνείαν σου. Καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου τοὺς ὁμοροῦντάς σοι, τοὺς μεγαλοσάρκους. Πάλιν ἐνταῦθα τῆς τε εἰδωλολατρείας μέγεθος, καὶ ἀσεβείας τὴν ὑπερβολήν, τοιούτοις ὀνόμασι παρεδήλωσεν. Καὶ οὐκ ἐγένου

ὡς πόρνη

ὡς πόρνη συνάγουσα μισθώματα. Ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σοι. ἡ παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβάνουσα μισθώματα, πᾶσι τοῖς ἐκπορνεύσασιν αὐτήν, προσεδίδου μισθώματα. Καὶ σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου. Καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐν τῇ πορνείᾳ σου. Καὶ ἐγένετο ἐν σοὶ διεστραμμένα παρὰ τὰς γυναῖκας ἐν τῇ πορνείᾳ σου. Καὶ διὰ τούτων πάλιν ἐσήμανεν, ὅτι παρὰ τοῦ θεοῦ λαμβάνοντες, καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ πρόβατα, καὶ βόας, καὶ μόσχους, τοῖς εἰδώλοις τὰς θυσίας προσέφερον. Τὸν μὲν θεὸν ἀτιμάζοντες, οὗ ταῦτα τὰ δῶρα ἐτύγχανον. Τοῖς δὲ μηδὲν πώποτε παρεσχηκόσιν. Ὀλέθρου μόνου προξένους, ταῦτα προσφέροντες. Καὶ μισθὸν τοῖς μοιχοῖς ὀρέγοντες, μισθὸν δὲ παρ' αὐτῶν οὐ λαμβάνοντες. Τούτοις ὅμοια καὶ τὰ παρὰ τῷ Προφήτῃ Ἱερεμίᾳ. Νῦν μὲν γὰρ φησὶν ἐμοίχευσας τὸ ξύλον καὶ τὸν λίθον. Νῦν δὲ ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας προσδοκοῦσα αὐτοὺς ὡσεὶ κορώνη ἐν ἐρήμῳ μόνῳ. Καὶ ὁ μακάριος δὲ Ἡσαΐας. Πῶς ἐγένετο φησὶ πόρνη, πόλις πιστὴ Σιών. Ἡ πλήρης κρίσεως. Ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ. Νῦν δὲ φονευταί. Καὶ αὖθις. Ποῖον φησὶ τὸ Βιβλίον τοῦτο τοῦ ἀποστασίου, τῆς μητρὸς ὑμῶν. ἢ τίνι ὑπόχρεως ὤν, πέπρακα ὑμᾶς. Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε. Καὶ ταῖς ἀνομίαις ὑμῶν, ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. Καὶ τί δεῖ πάντα λέγειν τὰ διὰ τῶν Προφητῶν ὑπὸ τοῦ θεοῦ τῶν ὅλων λεγόμενα. Ἀπόχρη γὰρ καὶ τὰ εἰρημένα διδάξαι ὑμᾶς, ὅπου δεῖ νοεῖν τὰς θείας γραφάς. Μὴ τῷ γράμματι μόνον προσέχοντας, ἀλλὰ καὶ τὴν τούτου διάνοιαν ἀναπτύσσοντας. ἐκ τῆς παλαιᾶς τοίνυν νύμφης, ἐπὶ τὴν νέαν ποδηγηθέντες, οὕτω νοήσωμεν τὸ τοῦ ᾄσ-

ματος

ματος τῶν ᾀσμάτων Βιβλίον. Καὶ τὰς διεψευσμένας, καὶ βλαβερὰς ἐκείνας δόξας καταλιπόντας, τοῖς ἁγίοις πατράσιν ἀκολουθήσωμεν. Καὶ νοήσωμεν μίαν νύμφην ἑνὶ νυμφίῳ διαλεγομένην. Καὶ μάθωμεν παρὰ τῶν ἁγίων Ἀποστόλων, τίς ἐστιν ὁ νυμφίος, καὶ τίς ἡ νύμφη. Διδάσκει γὰρ ἡμᾶς, καὶ ὁ θειότατος Παῦλος, οὕτως γράφων. Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. Καὶ τὴν μὲν νύμφην ἐκ πολλῶν λέγει συγκεκροτημένην. Ἡρμοσάμην γὰρ λέγει ὑμᾶς, οὐ σέ. Ὡς εἶναι δηλονότι τὰς εὐσεβεῖς, καὶ τελείας ἐν ἀρετῇ ψυχάς. Νύμφην οἶδεν ὁ θεῖος λόγος τὴν Ἐκκλησίαν. Νυμφίον δέ, τὸν Χριστὸν ὀνομάζει. Καὶ ὁ μέγας δὲ Ἰωάννης ὁ δείξας τοῦ νόμου τὸ τέλος, καὶ τῆς χάριτος τὴν ἀρχήν. Ὁ μέσος τοῦ παιδαγωγοῦ, καὶ τοῦ σοφοῦ διδασκάλου. Ἐφ' οὗ ἡ σκιὰ τὸ σῶμα ἐδέξατο. Ὁ ἔχων φησὶ τὴν νύμφην, νυμφίος ἐστίν. Ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ τῶν λόγων, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. Καὶ αὐτὸς δὲ ὁ κύριος, νυμφίον ἑαυτὸν ὀνομάζει. Τῶν Φαρισαίων αἰτιασαμένων τοὺς ἱεροὺς Ἀποστόλους ὡς μὴ νηστεύοντας, ἐπήγαγε λέγων. Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐν ὅσῳ μετ' αὐτῶν ἐστιν ὁ νυμφίος. Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. Οὐκοῦν νοήσωμεν, νύμφην μὲν τὴν Ἐκκλησίαν. Νυμφίον δὲ τὸν Χριστόν. Νεάνιδας δέ, τὰς τῇ νύμφῃ ἑπομένας εὐσεβεῖς μὲν ψυχάς, καὶ νεανικάς. Οὐδέπω δὲ τῆς νύμφης τὴν ἀρετὴν μιμησαμένας, καὶ τῆς τελειότητος ἠξιωμένας. Ἕπονται μὲν τῇ νύμφῃ, νύμφαι δὲ οὐ προσαγορεύονται. Ἔχει δὲ τὸ σύγγραμμα, καὶ ἑτέρους τινὰς τῷ νυμφίῳ συνόντας. Οὓς εἴτε

Ἀγγέ-

Ἀγγέλους εἴποι τις, τῷ δεσποτικῷ προστάγματι διακονοῦντας, καὶ τὴν νύμφην διακοσμοῦντας. Εἴτε Ἀποστόλους ἀγγελικῶς καὶ αὐτοὺς τοῖς δεσποτικοῖς νεύμασιν ὑπηρετοῦντας, τοῦ τῆς ἀληθείας οὐχ ἁμαρτήσεται σκοποῦ. Ἐμοὶ δὲ δοκεῖ μᾶλλον Ἀγγέλους εἶναι. Ἐπειδὴ τὰς τετελειωμένας ἐν ἀρετῇ ψυχὰς, αὐτὴν νοεῖν τὴν νύμφην τὰ θεῖα ἡμᾶς ἐδίδαξε λόγια. Οὐδὲν δὲ Ἀποστόλων, καὶ Προφητῶν τελειότερον. Διὸ μᾶλλον ἐμοὶ δοκεῖ Ἀγγέλους εἶναι, τοὺς τῷ νυμφίῳ διακονοῦντας, καὶ τὴν νύμφην θεραπεύειν ἐσπουδακότας. Εὑρίσκομεν γὰρ καὶ εὐθὺς τοῦ νυμφίου τεχθέντος, χορὸν Ἀγγελικὸν γαννύμενον, καὶ εὐφραινόμενον. Καὶ ὑμνοῦντα καὶ βοῶντα, Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ αὐτῇ δὲ τῇ συλλήψει Γαβριὴλ ὁ Ἀρχάγγελος διηκόνησε. Καὶ τῷ Ἰωσὴφ Ἄγγελος. Καὶ τὴν εἰς Αἴγυπτον φησὶ φυγὴν, καὶ τὴν ἐκεῖθεν ἐπάνοδον προστεταχὼς φαίνεται. Καὶ μετὰ τοὺς κατὰ τοῦ διαβόλου ἀγῶνας, Ἄγγελοι προσελθόντες διηκόνησαν τῷ ὑπὲρ τῆς ἡμετέρας ἀσθενείας ἀγωνισαμένῳ, καὶ τὸν ἀγωνιστὴν καταλύσαντι. Εὐφημοῦντες. Ἀνυμνοῦντες. Περιέποντες. Καὶ ἐν τῷ καιρῷ δὲ τοῦ πάθους, Ἄγγελοι παρῆσαν, τὸ ἀνθρώπινον ὑπερείδοντες. Καὶ τῷ τάφῳ Ἄγγελοι προσεδρεύοντες, ἐκήρυττον αὐτοῦ τὴν ἀνάστασιν. Καὶ ἡνίκα εἰς τοὺς οὐρανοὺς ἀνελήφθη, Ἄγγελοι τοῖς Ἀποστόλοις ἔλεγον. Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν. Οὕτως ἐλεύσεται πάλιν. Διό μοι δοκεῖ τοὺς σὺν τῷ νυμφίῳ ὄντας, τάγματα Ἀγγέλων εἶναι, τοῖς τοῦ νυμφίου νεύμασιν ὑπηρετοῦντας, καὶ τὴν νύμφην πάσης κηδεμονίας ἀξιοῦντας. Καὶ τοῦτο δὲ προειπεῖν ἀ-

ναγκαῖον, ὡς τρία τοῦ Σολομῶντος ἐδιδάχθημεν εἶναι συγγράμματα. Τὰς παροιμίας. Καὶ τὸν ἐκκλησιαστήν. Καὶ τὸ ᾆσμα τῶν ᾀσμάτων. Καὶ αἱ μὲν παροιμίαι, τὴν ἠθικὴν ὠφέλειαν τοῖς βουλομένοις προσφέρουσιν. Ὁ δὲ ἐκκλησιαστὴς, τῶν ὁρωμένων ἑρμηνεύει τὴν φύσιν, καὶ τοῦ παρόντος βίου τὸ μάταιον ἐκδιδάσκει. Ἵνα μαθόντες αὐτῶν τὸ ἐπίκηρον, ὡς παρόντων καταφρονήσωμεν. Καὶ τῶν μελλόντων ὡς μενόντων ἐπιθυμήσωμεν. Τὸ δὲ ᾆσμα τῶν ᾀσμάτων, τὴν μυστικὴν συνάφειαν τῆς νύμφης καὶ τοῦ νυμφίου διδάσκει. Ὡς εἶναι τὴν πᾶσαν τοῦ Σολομῶντος πραγματείαν. Κλίμακα τινὰ τρεῖς ἔχουσαν τοὺς βαθμούς. Τὸν ἠθικὸν, τὸν φυσιολογικὸν, καὶ τὸν μυστικόν. Δεῖ γὰρ τὸν εὐθὺς προσιόντα τῇ εὐσεβείᾳ, καθαρθῆναι πρότερον, διὰ τῆς ἀγαθῆς πράξεως τὴν διάνοιαν. Εἶθ᾽ οὕτως καταπτύσαι τῶν παριόντων τὸ μάταιον, καὶ τῶν δοκούντων τερπνῶν τὸ ἐπίκηρον. Καὶ ἐντεῦθεν λοιπὸν ἀναπτῆναι, καὶ τὸν νυμφίον ποθῆσαι, τὸν τὰ αἰώνια ἐπηγγελμένον ἀγαθά. Διὰ τοῦτο καὶ τρίτον τέτακται, τὸ Βιβλίον τοῦτο. Ἵν᾽ ὁδῷ τις βαδίζων, ἐπὶ τὸ τέλειον ἔλθοι. Ἡγοῦμαι δὲ τὸν σοφὸν Σολομῶντα ὑπὸ τοῦ πατρὸς ἅτε δὴ Προφήτου. Καὶ μεγάλου Προφήτου, δεδιδαγμένον, ταῦτα συγγεγραφέναι. Ἤκουσε γὰρ αὐτοῦ πάντως ᾄδοντος, παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη καὶ πάλιν. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου. Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου. Ὅτι αὐτός ἐστι κύριός σου. Ἀμέλει τοῖς μειρακίοις καὶ τοῖς ἀτελέσιν ἔτι τὴν ἡλικίαν οὐκ ἐπιτρέπουσιν αὐτοῦ τὴν ἀνάγνωσιν. Μόνοις δὲ τοῖς εἰς ἄνδρας τε-

λοῦσι, καὶ συνιέναι δυναμένοις τὰ κεκρυμμένα, καὶ πνευματικῶς νοῆσαι τὰ γεγραμμένα, ἀναγινώσκειν κελεύουσι. ὃ καὶ παυσάμενοι τοῦ ζυγομαχεῖν, εἴτε Προφητικῶς συγγέγραπται τὸ Βιβλίον, εἴτε μεμαθηκῶς παρὰ τοῦ πατρὸς, ἃ ἐδιδάχθη διδάσκει, τῆς Ἑρμηνείας ἁψώμεθα. Τοιγαροῦν τοὺς ἐντευξομένους παρακαλέσαντες, μὴ κλοπὴν ἡμῶν κατηγορεῖν, εἴ τι τοῖς πατράσιν εἰρημένον ἐν ταῖς ἡμετέραις εὕροιεν ἑρμηνείας. Ὁμολογοῦμεν γὰρ καὶ ἡμεῖς παρ' ἐκείνων τὰς ἀφορμὰς εὑρηκέναι τῆς σαφηνείας. Ἔστι δὲ τοῦτον, οὐ κλοπὴ, ἀλλὰ κληρονομία πατρῴα. Καὶ τὰ μὲν παρ' ἐκείνων εἰληφότες, τέθειμεν, τὰ δὲ αὐτοὶ ἐπεξευρόντες προστέθειμεν. καὶ τὰ μὲν ὡς διαπλάτος εἰρημένα ἰσὶν, συντέμνομεν. τὰ δὲ ἐπ' ἐξεργασίαν δεόμενα, διευρύνομεν. καὶ ὅλως ἀνεδεξάμεθα πόνον, οὐκ ἄχρηστον οἶμαι τοῖς ἐντευξομένοις ἐσόμενον. Διὸ τοὺς ἀπόνως τοὺς ἡμετέρους καρπουμένους πόνους, παρακαλοῦμεν, εὐχὰς ἡμῖν ἀντιδοῦναι τῶν πόνων. Εἰ δὲ οὐκ ἀκριβὴς ἡ ἑρμηνεία φανείη, τὸν γοῦν πόνον ἀποδεξάσθω, καὶ τὰ λείποντα διδαξάτωσαν:

ΕΤΕΡΑ ΕΡΜΗΝΕΙΑ ΚΑΤΑ

Παράφρασιν τοῦ ᾄσματος τῶν ᾀσμάτων. Συλλεγεῖσα ἀπό τε τῶν εἰς τοῦτο Ἑρμηνευκῶν, τοῦ ἁγίου Γρηγορίου Νύσσης. Τοῦ ἁγίου Νείλου, καὶ τοῦ ἁγίου Μαξίμου :-

Ἐπειδὴ καὶ τὰς παροιμίας, καὶ τὸν Ἐκκλησιαστὴν Σαλομῶν ἦσεν, ἐν μὲν ταῖς παροιμίαις, ἀποτρεπόμενος μὲν ἀπὸ τοῦ κακοῦ. Προτρεπόμενος δὲ πρὸς τ' ἀγαθὸν, καὶ παιδαγωγῶν ἠθικῶς. Ἐν δὲ τῷ Ἐκκλησιαστῇ, ἀποδεικνύων τῶν παρόντων τὸ Μάταιον. Καὶ τούτων πέθων ὑπερφρονεῖν. καὶ ἐν παιδεύων Φυσικῶς, ἐξ ὧν ἡ πρὸς θεὸν ἀγάπη ὑφίσταται. Οἷα κινούντων πρὸς τὸ ὄντως ἀγαθὸν ἀπὸ τοῦ νομιζομένου, τὸν πόθον ἡμῶν :~

ΕΤΕΡΑ ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟ ᾎΣΜΑ

τῶν ᾀσμάτων, ἐξηγηθὲν παρὰ τοῦ Ψελλοῦ διὰ στίχων πολιτικῶν :-

ΤΟΥ ΨΕΛΛΟΥ ΣΤΙΧΟΙ:-

Ἐπείπερ τὸ φιλομαθὲς τὸ σὸν ὦ στεφηφόρε.
Ἑρμηνείαν θέλειν γλίχεται τὴν ξένην καὶ ποικίλην.
Τοῦ τῶν ᾀσμάτων ᾄσματος ἐξήγησιν καὶ γνῶσιν.
Ἰδού σοι τῷ θεσπίσματι πεισθέντες αὐτοκράτωρ.
Καὶ ταῖς ἐλπίδας θέμενοι πρὸς τὸν δεσπότην πάντων.
Δηλοῦμεν τὴν ἐξήγησιν πᾶσαν σοι τῶν ᾀσμάτων.
Ἐν ἁπλουστέροις λέξεσι καὶ κατημαξευμένοις.
Ὁ γὰρ Προφήτης Σαλομὼν ὁ πάνσοφος ἐκεῖνος.
Ὁ παῖς τυγχάνων τοῦ Δαβίδ, ἀλλ' ἐκ τῆς τοῦ Οὐρίου.
Τρεῖς συνεγράψατο τινὰς, ἐν βίῳ πραγματείας.
Ἡ μὲν καλεῖται συνεχῶς τοῖς πᾶσι παροιμία.
Ἔχουσα παιδευτικῶν ἠθῶν, παθῶν ἐπανορθώσεις.
Καὶ τῶν πρακτέων συνεχῶς, καὶ θείας ὑποθήκας.
Ἡ δ' ἑτέρως Ἐκκλησιαστὴς κέκληται τοῖς ἀνθρώποις.
Τὸ Μάταιον διδάσκουσα τὸ τοῦ παρόντος βίου.
Ἡ δέ γε τρίτη συνεχῶς ἐκείνου πραγματεία.
Αὕτη τυγχάνει δέσποτα τὸ ᾆσμα τῶν ᾀσμάτων.
Τὸν τρόπον καταγγέλλουσα ποικιλοτρόπως ἄγαν.
Τῆς τελειώσεως αὐτῆς ψυχῶν τῶν ἀνθρωπίνων.
Ἀλλ' ὡς ἐν σχήματι τινὶ σεμνὸν νυμφοστολίας.
Σοφῶς γὰρ ὑποτίθησι τὸν μὲν Χριστὸν νυμφίον.
Νύμφην δὲ πάλιν τὴν ψυχὴν ἐρῶσαν τοῦ νυμφίου.
Καὶ πλεονμένην ἔρωτι δῆθεν τῷ τοῦ νυμφίου.
Καὶ παρ' ἐκείνου χάριτας ἀντιλαμβανομένην τάχα.
Ἔχει δὲ φράσεις κρυφίως περὶ τῆς Ἐκκλησίας.
Ἀλλ' ἀπαρξώμεθα λοιπὸν σύν γε Θεῷ τῶν ὅλων:~

ΤΟΥ



ΤΟΥ ΜΑΚΑΡΙΟΥ

ΘΕΟΔΩΡΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ.

Ἑρμηνεία εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων:-

Ἐπειδὴ τῇ θείᾳ θαρρήσαντες χάριτι, τῆς Ἑρμηνείας τοῦ Βιβλίου τούτου κατεθαρρήσαμεν. Φέρε πρῶτον ἁπάντων αὐτὴν τοῦ Βιβλίου τὴν ἐπιγραφὴν ἐξετάσαντες οἰκείως παραστήσωμεν:-

Ἆσμα ᾀσμάτων, ὅ ἐστι τῷ Σαλομῶν:-

Σκοπήσωμεν τί δήποτε οὐκ ᾆσμα. Ἀλλ' ᾆσμα ᾀσμάτων αὐτὸ προσηγόρευσεν ὁ σοφὸς Σαλομῶν. Οὔτε γὰρ οὐδὲ εἰκῇ καὶ μάτην ὑπὸ τοῦ θείου πνεύματος ἐνεργούμενον λέγεται. Δῆλον τοῖς σωφρονισμῷ καὶ εὐσεβείᾳ κεχρημένοις καθέστηκε. Τούτου δὲ οὕτως ἔχοντος, σκοπητέον τίνος ἕνεκεν ᾆσμα ᾀσμάτων, ἀλλ' οὐκ ᾆσμα τοῦτο καλεῖται τὸ σύγγραμμα. Πολλὰ μὲν οὖν ᾄσματα, καὶ Ψαλμοὺς, καὶ Ὕμνους, καὶ Ὠδὰς, παρά τε τῷ μακαρίῳ Δαβὶδ, καὶ παρὰ τοῖς περὶ αὐτὸν καὶ μετ' αὐτὸν Προφήταις εὑρίσκομεν εἰρημένα καὶ συγγεγραμμένα. Καὶ Μωϋσῆς μὲν ὁ μέγας ᾖσε πρώτην μὲν ὠδὴν τὴν ἐπινίκιον, ἡνίκα ἡ θάλασσα διαιρεθεῖσα, αὐτοῖς μὲν τοῖς Ἰσραηλίταις ὁδὸς ἐγένετο, τοῖς δὲ Αἰγυπτίοις τάφος. Δευτέραν δὲ ὠδὴν ᾖσεν εὐχαριστήριον τὴν ἐπὶ τῷ φρέατι.

φρέατι. Τρίτην δὲ ἐν ᾗ τὰς θείας ἐξηγήσατο δωρεάς, καὶ τῆς ἀγνώμονος γνώμης τοῦ λαοῦ κατηγόρησε. Καὶ ὁ μακάριος δὲ Δαβίδ. Τοὺς μὲν ἐπινικίους ᾖσεν ὕμνους. Τοὺς δὲ ἐπιλυπίους. Καὶ τοὺς μὲν ὀρθρίους, τοὺς δὲ ἑσπερίους. Ὁ δὲ σοφὸς Σαλομών, οὐκ ἐπινίκιον οὐδὲ ὄρθριον, ἀλλ᾽ ἐπιθαλάμιον ᾆσμα συγγράφει. Τὰ μὲν γὰρ ἐπινίκια ᾄσματα, δηλοῖ τὴν τῶν πολεμίων κατάλυσιν, καὶ τῶν αἰχμαλώτων λύσιν. Ὡς τὸ ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον. Καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός. Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Σημαίνει γὰρ ὅτι τῶν πολεμίων τὴν πανοπλίαν συντρίψας, καὶ τοὺς ἐπ᾽ ἐκείνους πάλαι τελοῦντας αἰχμαλώτους ἐλευθερώσας, ὑφ᾽ ἑαυτὸν ἐποιήσατο. Καὶ τὴν τῶν πάντων ἐχόντων ἀνεδύσατο Βασιλείαν. διὸ φησίν. Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Τοιοῦτον ἐστὶ καὶ τὸ πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι κύριος ὕψιστος φοβερὸς Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ πάλιν. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου. Καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ Βασίλευε. Καὶ αὖθις. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. Κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ. Ἐν μὲν οὖν τούτοις τοῖς ᾄσμασι τὴν νίκην τοῦ Βασιλέως οἱ Προφῆται διεξίασι. Καὶ ἐπὶ τῇ τῶν αἰχμαλώτων αὐτὸν ὑμνοῦσιν ἐλευθερίᾳ. Τὸ δὲ ᾆσμα τῶν ᾀσμάτων, τὸν γάμον αὐτοῦ διαγράφει. καὶ τὸν περὶ τὴν νύμφην ἔρωτα διαγράφεται.

Νύμφην

Νύμφην δὲ προσαγορεύει τοὺς ἐν ἐκείνοις τοῖς ᾄσμασι τῆς αἰχμαλωσίας ἀπαλλαγέντας. Καὶ τῆς ἐλευθερίας τετυχηκότας, καὶ προσοικειωθέντας τῷ Βασιλεῖ. Καὶ ἄληστον τῶν εὐεργεσιῶν τὴν μνήμην ἐσχηκότας. Καὶ πολλὴν περὶ αὐτὸν εὔνοιαν καὶ στοργὴν ἐπιδεικνυμένους, καὶ διηνεκῶς αὐτῷ ὑπομείναντας. Εἶτα τῶν ἄνω δυνάμεων πυνθανομένων τίς ἐστιν ὁ Βασιλεὺς τῆς δόξης συνεῖναι ἱμειρομένους, καὶ οὐδὲ πρὸς βραχὺ μόριον ἡμέρας, χωρισθῆναι τοῦ σεσωκότος ἀνεχομένους. Τούτου χάριν ᾆσμα ᾀσμάτων καλεῖται τοῦτο τὸ Βιβλίον. Σημαίνοντος τοῦ λόγου, ὡς ἐκεῖνα τὰ ᾄσματα διὰ τοῦτο τὸ ᾆσμα γεγένηται. Κἀκεῖνα πρὸς τοῦτο λέγει. Τοῦτο γάρ ἐστι τὸ κεφάλαιον τῶν ἀγαθῶν, τῆς θείας φιλανθρωπίας ὁ κολοφών. Ἡ ἄρρητος ἀγαθότης. Ὁ ἀμέτρητος ἔλεος. Ὁ ἀστάθμητος οἶκτος. Ἡ ἄφραστος ἀγάπη, τὸ ἀνέχεσθαι τὸν ποιητὴν καὶ πλάστην καὶ δημιουργὸν, καὶ κύριον, καὶ θεὸν, καὶ δεσπότην, καὶ ἀεὶ ὡσαύτως ἔχοντα, τὸ πήλινον τοῦτο ζῶον καὶ παθητὸν, καὶ φθαρτὸν, καὶ ἀγνώμον, καὶ ἄχρηστον, μὴ μόνον ἀπαλλάξαι θανάτου καὶ διαβολικῆς τυραννίδος, ἀλλὰ καὶ ἐλευθερίᾳ δωρήσασθαι. Καὶ μὴ μόνον ἐλευθέρους ἀποφῆναι, ἀλλὰ καὶ υἱοὺς καταστῆσαι. Καὶ μὴ μόνον τῆς υἱοθεσίας δωρήσασθαι χάρισμα, ἀλλὰ καὶ νύμφην προσαγορεῦσαι τε καὶ ποιῆσαι. Καὶ νυμφίῳ παραπλησίως συναρμοσθῆναι αὐτῇ. Καὶ ἕδνα μυρία προσενεγκεῖν. καὶ νυμφῶνα καὶ θάλαμον προευτρεπίσαι. καὶ γυμνὴν οὖσαν ἀμφιάσαι. καὶ γενέσθαι αὐτῇ περιβόλαιον. καὶ τροφὴν. καὶ πόμα. καὶ ὁδὸν. καὶ θυρεὸν. καὶ ζωὴν. καὶ φῶς. καὶ ἀνάστασιν. Ἀλλὰ γὰρ φιλονεικῶ, ψάμμον ἀριθμεῖν, ἢ ὑετοῦ σταγόνας, ἢ τὴν θάλασσαν κυάθῳ μετρεῖν, τῆς θείας φιλανθρωπίας ἐφικέσθαι

κέσθαι λόγῳ Σολομῶν. Διὰ τοῦτο τοίνυν ᾆσμα ᾀσμάτων προσαγορεύεται τὸ Βιβλίον, ὡς τὰ μείζω τῆς τοῦ Θεοῦ ἀγαθότητος εἴδη, διδάσκων ἡμᾶς. Καὶ τὰ ἐνδότατα καὶ ἄδυτα, καὶ ἄλλα τῆς θείας ἡμῖν φιλανθρωπίας ἀποκαλύπτων μυστήρια :~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ἉΓΊΩΝ ΠΑΤΈΡΩΝ:

Οἷον τοῦ ἁγίου Γρηγορίου Νύσσης, καὶ τοῦ ἁγίου Νείλου, καὶ τοῦ ἁγίου Μαξίμου. Εἰς τὴν ἐπιγραφὴν τοῦ ᾄσματος τῶν ᾀσμάτων :-

ἎΣμα ᾀσμάτων τοῦ Σαλομῶντι ἀναγέγραπται, τὸ δηλοῦν τὸν πρὸς τὸν νυμφίον Χριστὸν ἀγάπην τῆς νύμφης αὐτοῦ Ἐκκλησίας, ὡς ἐκ τῆς διὰ τῶν παροιμιῶν προτροπῆς καὶ ἀποτροπῆς. Καὶ τῆς διὰ τοῦ Ἐκκλησιαστοῦ τῶν προσκαίρων καταγνώσεως, ᾀδομένην αὐτῷ τῷ νυμφίῳ Χριστῷ τῷ εἰρηνικῷ. ὅπου τε ἡμῖν εἰρήνη ἀπὸ Θεοῦ γέγονε καὶ ἡμᾶς δι' ἑαυτῆς κατήλλαξε τῷ ἰδίῳ Πατρί. Καθ' ἣν ἀγάπην νυμφεύει ἑαυτῷ τὴν τῶν πιστῶν Ἐκκλησίαν. Μυσταγωγῶν αὐτὴν Θεολογικῶς νόμῳ πνευματικῷ ἐν τῇ Ἀποκαλύψει τῶν περὶ αὐτοῦ μυστηρίων, ἣν πρότερον ἐνυμφοστόλησε διὰ τῶν παροιμιῶν, καὶ τοῦ Ἐκκλησιαστοῦ παιδαγωγήσας, καὶ παιδεύσας ἠθικῶς τε καὶ φυσικῶς. Ἡ οὖν προμυηθεῖσα τῷ Χριστῷ Ἐκκλησία, διά τε τοῦ γραπτοῦ νόμου καὶ τοῦ φυσικοῦ. Ὧν τὰς δυνάμεις Σαλομὼν ἔν τε ταῖς παροιμίαις, καὶ τῷ Ἐκκλησιαστῇ, ἦσε, καὶ διὰ τῶν ἐν πάσῃ τῇ γραφῇ καὶ τῇ κτίσει συμβόλων, εἰσαγωγικῶς παιδευθεῖσα, τοὺς περὶ προνοίας καὶ κτίσεως λόγους, κἀκ τούτων διδαχθεῖσα τὰ πρὸς αὐτὴν τοῦ

νυμφίου φίλτρα βούλεται. Λοιπὸν τελεώτερον τοὺς παρ' αὐτοῦ τοῦ Θεοῦ λόγου κατὰ τὴν ἔνσαρκον τούτου οἰκονομίαν, νόμῳ πνευματικῷ διδαχθῆναι, ἀμέσως δι' ἀγάπης αὐτῷ κολληθεῖσα, καὶ πνεῦμα ἓν γενομένη, ἐν τῷ νύμφη αὐτοῦ χρηματίσαι: Φέρε τοίνυν ἐπ' αὐτὴν ἔλθωμεν λοιπὸν τῶν ῥημάτων τὴν Ἑρμηνείαν :~

Κείμενον, τοῦ ᾄσματος τῶν ᾀσμάτων :-

„ Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

ΘΕΟΔΩΡΉΤΟΥ:-

ΤΑῦτα ἡ νύμφη λέγει προσευχομένη τῷ τοῦ νυμφίου Πατρί. Ἤκουσε γὰρ καὶ τῶν τῷ Ἀβραὰμ τῷ Πατριάρχῃ δοθεισῶν ὑποσχέσεων, καὶ τῶν τῷ Ἰακὼβ ἐν εὐλογίαις προρρήσεων. Ἤκουσε καὶ τοῦ μεγάλου Μωϋσέως περὶ αὐτοῦ προθεσπίσαντος. Ἤκουσε καὶ τῶν Ψαλμῶν τὸ κάλλος αὐτοῦ καὶ τὴν δύναμιν διηγουμένων. Ὡραῖος γάρ φησι κάλλει, παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σου. Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. Καὶ ἔντεινε καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. Ἐδιδάχθη ὅτι καὶ Θεός ἐστι, καὶ υἱὸς προαιώνιος. Οὗτος αὐτὸς ὡραῖος καὶ εὐπρεπής. Ὁ θρόνος γάρ σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς Βασιλείας σου. Καὶ Ἡσαΐας βοᾷ. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ. Ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ. Οὗτος ὡραῖος ἐν στολῇ, βοᾷ μετὰ ἰσχύος πολλῆς. Διδαχθεῖσα τοίνυν τοῦ νυμφίου τὸ κάλλος.

τὴν Ῥώμην. Τὸν πλοῦτον. Τὴν Βασιλείαν. Τὸ κράτος, ὃ κατὰ πάντων ἔχει τὸ ἀΐδιον. Τὸ ἀνώλεθρον. Τὸ ἀτελεύτητον. Ἱμείρεται ἰδεῖν τε αὐτὸν καὶ περιπτύξασθαι, καὶ τὰ πνευματικὰ αὐτῷ ἀποδοῦναι φιλήματα. Ἀλλὰ μηδεὶς τῶν χαμαιζήλων καὶ περιγείων, ἀπὸ τῆς τῶν φιλημάτων προσηγορίας πληττέσθω. Σκοπείτω δὲ ὡς καὶ ἐν τῷ μυστικῷ καιρῷ τοῦ νυμφίου τὰ μέλη δεχόμενοι. Κατὰ φιλοῦμεν τε καὶ περιπτυσσόμεθα. Καὶ τοῖς ὀφθαλμοῖς ἐπιτίθεμεν τῇ καρδίᾳ. Καὶ οἱονεὶ περίληψίν τινα φανταζόμεθα νυμφικὴν, καὶ αὐτῷ συνεῖναι ἡγούμεθα. Καὶ αὐτὸν περιπτύσσεσθαι, καὶ καταφιλεῖν. Τῆς ἀγάπης ἐκβαλλούσης τὸν φόβον κατὰ τὴν θείαν γραφήν. Τοίνυν ἡ νύμφη ὑπ' αὐτοῦ φιληθῆναι τοῦ νυμφίου. Μονονουχὶ λέγουσα πρὸς τὸν τούτου πατέρα. Πέμψον μοι τὸν μονογενῆ σου υἱὸν ὦ δέσποτα πάτερ. Τοῦτο γὰρ μᾶλλον ἢ ἐκεῖνο θέλεις ἀκούειν, πάλαι αὐτὸν ἀναμένω, πάλαι ποθῶ. Ἔκαμον αὐτοῦ τὰς Ἐπιστολὰς δεχομένη. Διὰ Πατριαρχῶν. Διὰ νομοθετῶν. Διὰ Προφητῶν. Οὐκ ἐπιφέρω τοῦ ἔρωτος τὴν φλόγα. Πῦρ ἐστὶ καιόμενον, καὶ φλεγόμενον ἐν τοῖς ἐγκάτοις μου. Διὰ πάντων μοι τῶν Προφητῶν ὑπισχνεῖται παραγίνεσθαι. Καὶ οὐδέπω δὲ τήμερον ἐμπεδῶσαι τὰς ὑποσχέσεις ἠθέλησεν. Ὑπόσχεταί μοι διὰ τοῦ Δαβίδ. Διὰ τοῦ Ἱερεμίου. Διὰ τοῦ Ἡσαΐου. Διὰ τοῦ Ἰεζεκιὴλ, καὶ Ζαχαρίου καὶ Δανιὴλ, καὶ τῶν λοιπῶν Προφητῶν, παραγίνεσθαι καὶ τὸν γάμον ἐπιτελέσειν. Οὐκ οἶδα δὲ ἀνθ' ὅτου μέλλει καὶ περιορᾷ με ποθοῦσαν. Εἶπέ μοι διὰ Ὡσηέ. Καὶ μνηστεύσομαί σε ἐν δικαιοσύνῃ. Καὶ ἐν κρίματι καὶ ἐν ἐλέει, καὶ ἐν οἰκτιρμοῖς. Καὶ μνηστεύσομαί σε ἐν πίστει. καὶ ἐπιγνώσει τὸν κύριον. Εἶπέ μοι διὰ Ἡσαΐου. Εὐφράν-

θητι

θητι στεῖρα ἡ οὐ τίκτουσα. Ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα. Ὅτι πολλὰ τὰ τέκνα τῆς Ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Καὶ ἀναμένω καθ' ἑκάστην ἡμέραν τυχεῖν ἐφιεμένη τῶν ὑποσχέσεων. Ταῦτα αἰνίττεται λέγουσα:~

Τῶν ἱερῶν Πατέρων:-

„ Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

Ἤγουν αὐτὸς δι' ἑαυτοῦ τὴν περὶ ἐμοῦ ὑπεράγαθον αὐτοῦ βουλὴν διδαξάτω με. Λόγοις καὶ τρόποις τὸ συνοῖσον ὑποδεικνύων μοι:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Καὶ ἵνα μὴ ἀποφαντικῶς ἑρμηνεύσωμεν, φέρε μάρτυρα τῶν εἰρημένων, τὸν μακάριον καλέσωμεν Παῦλον. Οὗτος Ἑβραίοις γράφων. Καὶ τὸν περὶ πίστεως λόγον διεξιὼν, τοιαῦτα φησὶ περὶ τοῦ Ἀβραάμ. Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν. Ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. Καὶ μετὰ βραχέα κατὰ πίστιν φησὶν ἀπέθανον οὗτοι πάντες μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰ ἰδόντες, καὶ ἀσπασάμενοι καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοι εἰσὶν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα λέγουσιν, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι. Νῦν δὲ, κρείττονος ὀρέγονται. Τουτέστι τῆς ἐπουρανίου. Διὸ οὐκ ἐπαισχύνεται ὁ θεὸς, αὐτῶν καλεῖσθαι θεός. Ἡτοίμασε γὰρ αὐτοῖς τὴν Βασι-

D 2 λείαν,

λείαν, καὶ περὶ τοῦ μεγάλου Μωϋσέως φησίν. Ὅτι μᾶλλον εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν. Μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. Ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ Βασιλέως. Τὸν γὰρ ἀόρατον, ὡς ὁρῶν ἐκαρτέρησε. Καὶ περὶ πάντων δὲ ὁμοῦ τῶν ἁγίων τῶν ἐν τῇ παλαιᾷ διαπρεψάντων, τοιαῦτα φησί. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως. Οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν. Καὶ ὁ κύριος δὲ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις τοιαῦτα πρὸς τοὺς Ἀποστόλους φησί. Πολλοὶ Προφῆται καὶ Βασιλεῖς καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. Καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει. Καὶ πρὸς Ἰουδαίους δὲ διαλεγόμενος ἔλεγεν. Ἀβραὰμ ὁ Πατὴρ ὑμῶν ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη. Καὶ Συμεὼν δὲ ὁ πρεσβύτης ἐχρηματίσθη μὴ ἰδεῖν θάνατον, ἕως ἂν ἴδῃ τὸν Χριστὸν κυρίου. Τεχθέντα τοίνυν καὶ εἰς τὸν ναὸν ἀνενεχθέντα, δεξάμενός τε ἐν χερσὶν φησίν. Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. καὶ τὰ ἑξῆς. Δηλοῖ τοίνυν ὡς θείαις ὑποσχέσεσι πιστεύοντες, ἐπεθύμουν τῶν ἐπαγγελιῶν τὸ τέλος ἰδεῖν. Διὸ τὸ ᾆσμα τῶν ᾀσμάτων, εἰσάγει τὴν νύμφην λέγουσαν. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. Φίλημα δὲ νοούμενον, οὐ σωμάτων συνάφειαν, ἀλλ' εὐσεβοῦς ψυχῆς καὶ θείου

λόγου

λόγου κοινωνίαν. Καὶ ἔοικεν ἡ νύμφη τοιοῦτόν τι λέγειν. Ἤκουσά σου τῶν λόγων διὰ γραμμάτων, ἐπιθυμῶ δὲ καὶ αὐτῆς ἀκοῦσαί σου τῆς φωνῆς. Βούλομαι ἀμέσως ἐκ τοῦ στόματος, τὴν ἱερὰν δέξασθαι διδασκαλίαν, καὶ ταύτην τοῖς τῆς διανοίας μου καταφιλῆσαι χείλεσι. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. Ταῦτα τῆς νύμφης εἰρηκυίας εὐθὺς ἐκεῖνον πληρῶν, ὅτι ἔτι λαλοῦντός σου ἰδοὺ πάρειμι. Αὕτη δὲ εὐθὺς θεασαμένη τὸν ποθούμενον ἐκπλήττεσθαι αὐτοῦ καὶ θαυμάζειν τοὺς μαστοὺς καὶ τὴν εὐωδίαν καὶ βοᾷ:~

» Ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. Καὶ ὀσμὴ μύρων σου,
» ὑπὲρ πάντα τὰ ἀρώματα.

Τῶν τριῶν Πατέρων :-

ΜΑστοὺς δὲ πάλιν ἐνταῦθα καλεῖ τὰ δοχεῖα τοῦ Γάλακτος. Ὃ τοῖς ἀτελέσιν ἔτι καὶ νηπίοις προσφέρειν οἶδεν ὁ μακάριος Παῦλος. Γάλα γάρ φησιν ὑμᾶς ἐπότισα, οὐ βρῶμα. Οὔπω γὰρ ἐδύνασθε. Οὐ διὰ τοῦτο δὲ μόνον εἰκότως τῶν μαστῶν ἐμνημόνευσεν ἡμᾶς, ἀλλ' ἐπειδὴ καὶ τῇ καρδίᾳ πλησιάζουσιν, ἐν ᾗ τὸ ἡγεμονικὸν ἵδρυται. Ἀφ' οὗ προχέονται οἱ τῆς διδασκαλίας κρουνοί. Θαυμάζει τοίνυν τοῦ νυμφίου τοὺς μαστούς, ὡς τῶν ἀγαθῶν τυγχάνοντας κρουνούς. Καὶ προσφόρως τούς τε νηπίους ἔτι, τούς τε τελείους διατρέφοντας, καὶ λέγει αὐτοὺς ἀγαθοὺς ὑπὲρ οἶνον, ὃς εὐφραίνει καρδίαν ἀνθρώπου κατὰ τὴν θείαν γραφήν. Τροπικῶς γὰρ τὸν οἶνον εὐφροσύνην ὠνόμασε. Δεῖξαι βουλόμενος ὅτι πάσης ὁμοῦ τῆς ἐν ἀνθρώποις εὐφροσύνης, μείζων ἡ παρὰ τῶν αὐτοῦ δωρεῶν ἀγινομένη θυμηδία τοῖς εὐσεβέσιν. Εἰ δὲ βούλει καὶ μυστικῶς νοῆσαι τῆς νύμφης τὰ ῥήματα. Νόησον τοὺς ὑπὲρ

οἶνον

οἴνου θαυμαζομένους μαστούς, τοὺς ἀρρήτους τοῦ θυσιαστηρίου κρατῆρας. Δι᾽ ὧν ἅπαντες οἱ τῆς εὐσεβείας τρεφόμεθα τρόφιμοι. Εἶτα τὴν αἰτίαν λέγει τοῦ πολλοῦ πόθου καὶ τῆς πρὸς αὐτὸν ἀγάπης τῶν μὴ ἡττηθεισῶν τῇ τῶν προσκαίρων σχέσει ψυχῶν φάσκουσα:~

» Ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. Καὶ ὀσμὴ μύ-
» ρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Μύρον ἐκκενω-
» θὲν ὄνομά σοι. Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε.

Ὄντως ἀγαθοί εἰσιν, ἡ φύσις τῶν ὅλων καὶ ἡ γραφὴ λαμβανόμενα ὡς τῆς ἀληθείας σύμβολα. Καὶ οἷα μὲν μαστοί σου χορηγοῦσα ἡμῖν ἁπλῆν τροφήν, τὴν τῆς εἰς σὲ πίστεως. Οἷα δέ τις ὀσμὴ μύρων σου, μηνύουσα τὰ πνευματικῶς ἡμᾶς εὐωδιάζοντα παναγαθά σου θελήματα, καθὰ τὰ πάντα γεγόνασιν, ὑπὲρ τὸ καθ᾽ ἑαυτὰς λαμβάνεσθαι. Καὶ δίκην μὲν οἴνου ἐξιστᾶν τῆς εἰς σὲ πίστεως. Ὥσπερ δέ τινα ἀρώματα δοκοῦντα. Φύσει τὸ εὐῶδες ἔχειν παρ᾽ ἑαυτοῖς πρὸς ἀπόλαυσιν τῶν ἐν σαρκί, καὶ κόσμῳ ἐφέλκεσθαι. Πῶς δὴ κτίσις καὶ ἡ γραφὴ οἱονεὶ μύρων ὀσμὴ τὰ σὰ μηνύουσι θελήματα. Τῆς γὰρ ἀγαθότητός σου οἷα μύρου ἐκκενωθέντος, χυθείσης εἰς πάντα τὰ ὄντα κατὰ μετάδοσιν ἐκ τῆς ἐνεργείας ὡς τῶν ὅλων αἴτιος, καὶ ἐξεφάσκει τοῖς ὀνόμασι τῶν μετεχόντων. Ἅπερ εἰσὶ τὸ ὂν ἡ ζωή. Ἡ σοφία. Καὶ τὰ ὅμοια. Ὅτι δ᾽ οὕτω λαμβανόμεναι ἡ κτίσις, καὶ ἡ γραφὴ ἀγαθά εἰσι. Διὰ τοῦτο αἱ τὴν ἐκ τῆς ἐπιφανείας τῶν ὁρατῶν, καὶ τοῦ γράμματος ἀπάτην φυγοῦσαι ψυχαί, κἀντεῦθεν τὸν πονηρὸν νικήσασαι σὺν τοῖς πάθεσι. Διὸ καὶ νεάνιδες κέκληνται. Ἠγάπησάν σε. Ἀγαπήσασαι δέ σε, οἱ ἔκ τε τοῦ γράμματος, καὶ τοῦ φυσικοῦ νόμου

ἐμυήθη-

ἐμυήθησαν νυμφίον Χριστόν. ἕλκουσίν σε ἐκ τῶν πνευματικῶν κόλπων διὰ τοὺς μέλλοντας τυχεῖν σωτηρίας ἐν σαρκὶ ἐληλυθότα. Λοιπὸν φησίν, ὀπίσω σου, εἰς ὀσμὴν μύρων σου δραμούμεθα. Ἤγουν ἀκολουθήσομέν σοι. Τὸν τρόπον μιμησάμενοι καθ᾽ ὃν ἡμᾶς εἰς αἴσθησιν τῶν παναγάθων σου θελημάτων ἤγαγες. Ὅ ἐστι πάντως, τὸ τὴν ψυχὴν τιθέναι ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας. Ὡς ἐκφαντικὸς τῆς περιληπτικῆς πασῶν τῶν θείων ἐντολῶν τελείας ἀγάπης:~

» Καὶ ὀσμὴ φησὶ μύρων σου, ὑπὲρ πάντα τὰ ἀρώματα.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Οἶδα φησὶ τὰ ὑπὸ Μωσέως κατασκευασθέντα μύρα. Τό τε ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συνθέσεως. Ἀλλὰ πάντων ἐκείνων τῶν ἀρωμάτων. Τὸ σὸν μύρον ἐστὶν εὐωδέστερον. Μύρον δὲ ἐνταῦθα καλεῖ, τὴν πνευματικὴν χάριν, ἧς πλήρης ὑπάρχων, ἐκ τοῦ πληρώματος αὐτοῦ πᾶσιν ἡμῖν δέδωκε. Διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ. Ὅτι Χριστοῦ εὐωδία ἐσμέν, ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. Οἷς μὲν ὀσμὴ θανάτου, εἰς θάνατον. Οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. Γυψὶ γὰρ τοῖς νεκροβόροις, τροφὴ μέν ἐστι τὰ δυσώδη σώματα. Τὸ δὲ μύρον ὀλέθριον. Οὕτω τοῖς δυσσεβέσι, καὶ δυσωδίᾳ τῆς ἁμαρτίας προσεδρεύειν προῃρημένοις, ἡδίστη μὲν τῆς ἀκολασίας ἡ δυσωδία. Βαρεῖα δὲ καὶ ἐπαχθὴς ἡ Χριστοῦ διδασκαλία. Διὸ καὶ τὸν αὐθαίρετον αὐτοῖς θάνατον ἐπάγει. Αὕτη γάρ ἐστι φύσει κρίσις. Ὅτι τὸ φῶς ἦλθεν εἰς τὸν κόσμον. Καὶ ἠγάπησαν μᾶλλον οἱ ἄνθρωποι τὸ σκότος, ἢ τὸ φῶς. Εἰκότως τοίνυν φησὶν ἡ νύμφη. Καὶ ὀσ-

μὴ μύ-

μὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Καὶ οὐ λέγει τοῦ μύρου σου, ἀλλὰ τῶν μύρων σου. Δεικνύουσα ὅτι πολλὰ καὶ μυρία χαρίσματα. Ὧ μὲν γὰρ κατὰ τὸν μακάριον Παῦλον δέδοται λόγος σοφίας. Ἄλλῳ δὲ, λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα. Ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι. Ἄλλῳ δὲ, ἐνεργήματα δυνάμεως. Ἄλλῳ δὲ Προφητεία. Ἄλλῳ δὲ γένη γλωσσῶν. Διὰ τοῦτο οὐ λέγει ὀσμὴ μύρου σου, ἀλλ᾽ ὀσμὴ μύρων σου. Διδάσκων ἡμᾶς, ὅτι ἀπὸ μιᾶς προχεῖται πηγῆς. Διὸ ἐπάγει:~

„ Μύρον ἐκκενωθὲν ὄνομά σοι.

Οἱ γὰρ πολλοί φησι οὗτοι καὶ διάφοροι κρουνοὶ. Οἱ πᾶσαν τὴν οἰκουμένην εὐωδίας πληρώσαντες. Μίαν ἔχουσι φλέβα, καὶ πηγὴν, τὸ σὸν μύρον. Ἐν αὐτῷ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος. Καὶ αὐτὸς πάντα ὁ μετὰ τοῦ
„ πνεύματος κατὰ τὸ ἀνθρώπινον ὑπεδέξατο δῶρα. Διὸ
„ καὶ Ἡσαΐας βοᾷ. Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης
„ Ἰεσσαί. Καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Καὶ ἐπα-
„ ναπαύσεται ἐπ᾽ αὐτὸ τὸ πνεῦμα τοῦ θεοῦ. Πνεῦμα σο-
„ φίας καὶ συνέσεως. Πνεῦμα βουλῆς, καὶ ἰσχύος. Πνεῦ-
„ μα γνώσεως, καὶ εὐσεβείας. Πνεῦμα φόβου θεοῦ ἐμ-
„ πλήσει αὐτόν. Διὰ τοῦτο λέγει. Μύρον ἐκκενωθὲν ὄνο-
μά σοι, καὶ οὐ λέγει μύρον ἁπλῶς. Ἀλλὰ ἐκκενωθέν. Καθάπερ γὰρ τὸ μύρον ἐν ἀγγείῳ κεκρυμμένον. Κεκρυμμένην ἔχει, καὶ τὴν εὐωδίαν. Εἰ δὲ προχυθείη, καὶ αὐτὸν ἀναπίμπλησι τὸν ἀέρα. Οὕτως ὁ δεσπότης Χριστός. Πρὸ μὲν τοῦ πάθους, ὀλίγοις ἦν γνώριμος. Ἐπειδὴ δὲ τὸν σταυρὸν ὑπέμεινε, καὶ τὸν θάνατον. Καὶ οἱονεὶ διηνοίχθη τὸ τοῦ σώματος

ἄγγος. Πλήρεις μὲν εὐθὺς οἱ μακάριοι Ἀπόστολοι, τῆς εὐωδίας ἐκείνης ἐγένοντο. Δραμόντες δὲ γῆν, καὶ θάλασσαν περινοστήσαντες. Καὶ τὸ κήρυγμα πᾶσι διαπορθμεύσαντες. Ἅπασαν τὴν οἰκουμένην τῆς εὐοσμίας ἐπλήρωσαν. Διὰ τοῦτο φησὶν ἡ νύμφη:~

„ Μύρον ἐκκενωθὲν ὄνομά σοι.

Ἀρκεῖ γὰρ ἡ Χριστοῦ προσηγορία, οἱονεὶ μυρίσαι καὶ εὐωδίας ἁπάσης ἐμφορῆσαι τῶν εὐσεβῶν τὰς ψυχάς. Εἰ δὲ βούλει καὶ μυστικώτερον νοῆσαι. Ἀνάμνησον σαυτὸν τῆς ἱερᾶς μυσταγωγίας, τοῦ βαπτίσματος. ἐν ᾗ οἱ τελούμενοι, μετὰ τὴν ἄρνησιν τοῦ τυράννου, καὶ τὴν τοῦ Βασιλέως ὁμολογίαν. Οἱονεὶ σφραγῖδα τινὰ βασιλικὴν δέχονται τοῦ πνευματικοῦ μύρου τὸ χρίσμα. Ὡς ἐν τῷ τύπῳ τῷ μύρῳ τὴν ἀόρατον τοῦ παναγίου πνεύματος χάριν ὑποδεχόμενοι.

„ Μύρον ἐκκενωθὲν ὄνομά σοι. Διὰ τοῦτο νεάνιδες ἠγά-
„ πησάν σε. Εἵλκυσάν σε, ὀπίσω σου εἰς ὀσμὴν μύρων σου
„ δραμοῦσαι.

Ταύτης φησὶ τῆς εὐοσμίας τοῦ μύρου σου. Τουτέστι τῆς θείας, καὶ σωτηριώδους σου διδασκαλίας ἀντιλαμβανόμεναι αἱ νεανικαὶ, καὶ ἀνδρεῖαι ψυχαί. Ταύτας γὰρ νεάνιδας ὁ λόγος καλεῖ. Οὕτως σε θερμῶς ἠγάπησαν, ὡς ἑλκύσαι σε πρὸς ἑαυτὰς, καὶ ὀπίσω σου ἀκολουθῆσαι. Ἀλλὰ καὶ συνδρόμῳ τοῦτο ποιῆσαι. Ἵνα μὴ ἀπολειφθῶσι μηδὲ χωρισθῶσι τοῦ ποθουμένου. Δηλοῖ δὲ καὶ ὁ μακάριος Παῦλος. Τοῦτον τὸν δρόμον λέγων τρέχω εἴγε, καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήφθην. Καὶ πάλιν. Οὕτω φησὶ τρέχετε, ἵνα κα-

ταλάβητε. Καὶ ἑτέρωθι. Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι. Τὸν δρόμον τετέλεκα. Τὴν πίστιν τετήρηκα. Τρέχουσι τοίνυν αἱ νεανικὸν φρόνημα κεκτημέναι ψυχαί. Καὶ τὸν ἁβρὸν καὶ ὑγρὸν καὶ χαῦνον βίον διαφυγοῦσαι: Καὶ τὸν πόνον ἀντὶ τρυφῆς προελόμεναι, ὀπίσω τοῦ νυμφίου θελγόμεναι, καὶ καλούμεναι τῇ εὐωδίᾳ τοῦ μύρου. Καὶ οἱονεὶ ἀρρήτῳ δεσμῷ κατεχόμεναι. Ταῦτα μὲν οὖν ἡ νύμφη, μὴ δέπω τοῦ νυμφῶνος ἀξιωθεῖσα πρός τε τὸν τοῦ νυμφίου πατέρα, καὶ πρὸς αὐτὸν τὸν νυμφίον ἐληλυθότα πρὸς αὐτὴν διεξέρχεται. Ἀξιοῦται δὲ καὶ τῆς παστάδος, καὶ τῶν τοῦ νυμφίου θαλάμων τε, καὶ ταμιείων. Καὶ σεμνυνομένη, πρὸς τὸν οἰκεῖον λέγει χορόν:~

„ Εἰσήνεγκέ με ὁ Βασιλείας εἰς τὸ ταμιεῖον αὐτοῦ.

Τουτέστι τὰ κεκρυμμένα αὐτοῦ, ἀπεκάλυψέ μοι βουλεύματα. Τὸ μυστήριον τὸ ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν ἐγνώρισέ μοι. Τοὺς θησαυροὺς τοὺς σκοτεινοὺς, καὶ ἀποκρύφους, καὶ ἀοράτους, ἀνέῳξέ μοι κατὰ τὸν Προφήτην Ἡσαΐαν. Καὶ τοῦτο ἐστὶν ἀκριβέστερον ἐκ τῶν ἱερῶν Εὐαγγελίων μαθεῖν. Ἡνίκα ὁ δεσπότης Χριστὸς τοῖς μὲν Ἰουδαίοις ἐν παραβολαῖς διελέγετο. Τοῖς δὲ ἁγίοις αὐτοῦ μαθηταῖς, ἀπεκάλυπτε τῶν παραβολῶν τὴν διάνοιαν, λέγων. Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς Βασιλείας. Ἐκείνοις δὲ οὐ δέδοται. Ὁ δὲ κύριος τὴν διάνοιαν προσαγορεύει λέγων. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖον σου, καὶ πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ :-

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Λοιπὸν ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ἢ καὶ ἡ διὰ βίου τελείου αὐτῷ νυμφευθεῖσα ψυχή. Καὶ τοῦ διδασκαλικοῦ τυχοῦσα ἀξιώματος. Κἀντεῦθεν ἐπάγειν δυναμένη, πρὸς τελειότητα τὰς ἀτελεστέρας ψυχάς. Πρὸς ταύτας φησί. Εἰσήγαγέ με ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ. Ἤτοι ἀπεκάλυψέ μοι τὰ περὶ ἑαυτοῦ θεῖά τε, καὶ ἀπόκρυφα μυστήρια. Ὅπερ καὶ ἐν τῷ μεγάλῳ γέγονε Παύλῳ. Ἄχρι τοῦ οὐρανοῦ ἀρθέντι. Ἤγουν τήν τε ἠθικὴν καὶ φυσικὴν φιλοσοφίαν περάσαντι, καὶ ἄχρι τῆς Θεολογικῆς φθάσαντι ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Εἰσήνεγκέ με ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ. Μονονουχὶ λέγουσα μετὰ τοῦ μακαρίου Παύλου. Ὅτι ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν. Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. Ἡμεῖς γὰρ νοῦν Χριστοῦ ἔχομεν, ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας, καὶ τῆς γνώσεως ἀπόκρυφοι:~

„ Εἰσήνεγκέ με ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖων αὐτοῦ.

ἈΠΟΡΙΑ, ΤΟΥ ΑΥΤΟΥ:-

Ἀναγκαῖον ζητῆσαι, τίνος ἕνεκεν μόνη ἡ νύμφη εἰσάγεται, αἱ δὲ νεάνιδες οὐκ εἰσάγονται. Ἀλλ' ἔξω ἑστηκυῖαι τὴν νύμφην εἰσελθοῦσαν ἀναμένουσι. Ἐξελθούσης οὖν καὶ διηγησαμένης πῶς εἰσήγαγεν αὐτὴν ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ. Ἐπάγουσιν:~

„ Ἀγαλ-

» Ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν σοί. Ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον. Εὐθύτης ἠγάπησέ σε.

Λύσις τοῦ αὐτοῦ :-

ΟΥ̓ πάντες οἱ πεπιστευκότες, τῆς ἴσης ἀξίας ὑπάρχουσι. Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ πατρί μου φησὶν ὁ Χριστός. Τουτέστιν ἀξιωμάτων διαφοραί. Ἄλλο γὰρ τάγμα Πατριαρχῶν, καὶ ἄλλο Προφητῶν. Ἄλλο Ἀποστόλων, καὶ ἄλλο Μαρτύρων. Ἄλλο τῶν τοῦ γάμου ζυγὸν ἐννόμως ὑπελθόντων. Ἄλλο τῶν ἐν πλούτῳ τὸν θεὸν θεραπευσάντων, καὶ πιστῶν οἰκονόμων γεγενημένων. Καὶ ἄλλο τῶν τῆς πενίας τὰ ποικίλα παθήματα καρτερῶς ὑπενεγκάντων. Ἄλλο τῶν τὴν πολιτικὴν ἀρετὴν μετιόντων, καὶ ἄλλο τῶν ἐν ὄρεσι διαιτωμένων, καὶ τῇ θείᾳ θεωρίᾳ μόνῃ προσέχειν προῃρημένων. Καὶ ἐν αὐτοῖς δὲ τούτοις τοῖς πράγμασι, πολλάς ἐστιν εὑρεῖν τὰς διαφοράς. Τῶν μὲν, θερμότερον, τῶν δὲ, χαυνότερον μετιόντων ἃ μετίασι. Καὶ τῶν μὲν, σπουδαιότερον, τῶν δὲ ἀμελέστερον. Καὶ τοῦτό ἐστιν εὑρεῖν, καὶ ἐκ τῆς τοῦ κυρίου παραβολῆς. Δέκα γὰρ παρθένους εἰσάγων. Τὰς μὲν πέντε λέγει φρονίμους. Τὰς δὲ πέντε μωράς. Καὶ τὰς μὲν ἀξιοῖ τοῦ νυμφῶνος. Τὰς δὲ ἀποκλείει τὰς θύρας. Καὶ ἀποκρίνεται μὲν αὐταῖς τὴν παρθενίαν ἴσμεν, οὐκ ἀξιοῖ δὲ τῆς εἰσόδου διὰ τὴν περὶ τὰς ἄλλας ἀρετὰς ῥαθυμίαν. Ἐπειδὴ τοίνυν οὕτω ταῦτα διευκρινησάμεθα. Νοήσωμεν νύμφην μὲν εἶναι τὴν ἐν ἁπάσαις ταῖς ἀρεταῖς, τετελειωμένην ψυχήν. Νεάνιδας δὲ ταύτῃ ἑπομένας, τὰς ἀγαπώσας μὲν τὸν νυμφίον, καὶ ἀκολουθεῖν αὐτῷ σπουδαζούσας. Τὴν τελειότητα δὲ τῆς νύμφης, οὐδέπω μιμησαμένας. Καὶ ὅτι ταῦθ᾽ οὕτως ἔχει. Μαρ-

τυρεῖ τὸ πνεῦμα τὸ ἅγιον. Ἐν τῷ μδʹ. Ψαλμῷ, τὰ ὅμοια λέγων. Διηγησαμένου γὰρ τοῦ νυμφίου τὸ κάλλος. Καὶ τὴν ἐν τοῖς χείλεσι χάριν. Καὶ τὴν αἰώνιον εὐλογίαν, καὶ τὴν φοβερὰν παντευχίαν. Καὶ τῶν πολεμίων τὸν ὄλεθρον. Καὶ τῶν πάλαι αἰχμαλώτων λαῶν τὴν ὑπόπτωσιν, καὶ προσκύνησιν. Τὸν Βασιλικὸν αὐτοῦ, καὶ αἰώνιον θρόνον. Καὶ τὰ σκῆπτρα τῆς Βασιλείας τὰ τῇ δικαιοσύνῃ κεκοσμημένα. Πρὸς δὲ τούτοις, καὶ τὴν ἀνθρωπείαν ἀρετὴν ἣν μετελήλυθεν. Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ. Ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Πρὸς δὲ τούτοις, καὶ τὴν χρῖσιν τὴν κατὰ τὸ ἀνθρώπινον γεγενημένην. Καὶ τὰ δῶρα τὰ ὑπὸ τῶν μάγων προσενεχθέντα, παράγει. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη. Καὶ Βασίλισσαν μὲν καλεῖ, τὴν τετελειωμένην ἐν ἀρετῇ ψυχήν. Ἐπειδὴ καὶ Παῦλος οὕτω λέγει. Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. Ἱματισμὸν δὲ διάχρυσον καὶ ποικίλον, τὰ αὐτὰ τοῦ πνεύματος ποικίλα χαρίσματα. Εἶτα καὶ συμβουλὴν αὐτῇ προσφέρει. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου. Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου. Δείκνυσι δὲ οὐ μόνον αὐτῆς συγγενῆ ὄντα κατὰ τὸ ἀνθρώπινον. Ἀλλὰ καὶ κύριον, καὶ δεσπότην κατὰ τὴν κεκρυμμένην θεότητα. Καὶ τῆς ἀρρήτου φιλανθρωπίας αὐτὴν ἀναμιμνήσκων, φησί. Ὅτι αὐτός ἐστι κύριος καὶ θεός σου, καὶ προσκυνήσεις αὐτῷ. Προσαγορεύει αὐτῇ, καὶ τὴν οὐκ εἰς μακρὰν θεωμένην παρά τε Βασιλέων, καὶ ἀρχόντων προσκύνησιν. Τὸ πρόσωπόν σου φησὶ λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πρόσωπον δὲ τῆς ἐκκλη-

σίας, κατὰ μὲν τὸ ὁρώμενον, τὸ ἱερατικὸν ἀξίωμα. Κατὰ δὲ τὸ νοούμενον, αὐτὸς ὁ νυμφίος. Ὁ κεφαλὴ αὐτῆς γεγενῆσθαι ἀξιώσας, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν. Εἶτα τὴν κεκρυμμένην αὐτῆς διηγεῖται δόξαν. Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν. Ἐπειδὴ κατὰ τὸν μακάριον Παῦλον. Ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν Χριστῷ τῷ θεῷ. Κατὰ δὲ τὸν παρόντα βίον, πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. Διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἐσμέν. Διὰ τοῦτο μέν φησι. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν. Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη. Πάλιν κρώσσω. Τὰ χρυσᾶ καὶ ποικίλα, τὰ διάφορα λέγων χαρίσματα. Τούτοις γὰρ περιφέρει. Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτοῖς. Αἱ πλησίον αὐτῆς, ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται, ἐν εὐφροσύνῃ, καὶ ἀγαλλιάσει. Ἀχθήσονται εἰς ναὸν Βασιλέως. Εὔδηλον τι ἐκ τῶν εἰρημένων. Ὡς οἱ μὲν φθάσαντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας κατὰ τὸν μακάριον Παῦλον. Καὶ τῆς ἀρετῆς τὴν τελειότητα κτησάμενοι, νύμφη προσαγορεύονται. Οἱ δὲ μὴ δέπω τὴν τελειότητα φθάσαντες. Ἀλλὰ τύπων ὑποδεέστεροι τυγχάνοντες. Οἷον τινὲς νεάνιδες ἀκολουθοῦσι τῇ νύμφῃ, πᾶσαν εὔνοιαν καὶ φιλοστοργίαν περί τε αὐτὴν, καὶ τὸν νυμφίον αὐτῆς ἐπιδεικνύμεναι:~

Τῶν τριῶν Πατέρων:-

Ἀποκρινόμεναι δὲ πάλιν ὡς εἴρηται αἱ ἀναγόμεναι ψυχαὶ πρὸς τὴν ἐνάγεσθαι, φασίν. Ἐπειδὴ ὡς αὐτὴ ἔφης εἰσήγαγέ σε ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ. Ἐν ᾧ οἱ ἀπόκρυφοι

θησαυ-

θησαυροὶ τῆς σοφίας εἰσί. Καὶ τὸν ταύτης σοι πλοῦτον ὑπέδειξεν. Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί. Τίνι τρόπῳ; ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον. Ἤγουν ὑπὲρ τὴν δίκην οἶνον τῆς ἀληθείας τὸν νοῦν ἐξιστῶσαν. ἐπιφάνειάν τε τῶν ὁρατῶν, καὶ τὸ τοῦ νόμου γράμμα. Ἀγαπήσωμεν τὰ παρὰ σοῦ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα σύμβολα. Δι᾽ ὧν τὴν εἰσαγωγικὴν διδασκαλίαν ὡς γάλα ποτίζεις τοὺς ἐν Χριστῷ νηπίους, καὶ τρέφεις πρὸς θεοσέβειαν. Δι᾽ ἣν αἰτίαν, ὅτι εὐθύτης ἠγάπησέ σε, ἥτις ἐστὶ Χριστός. Αὐτὸς γὰρ εὐθύτης ἐστὶν, ὡς ἀλήθεια. Ἀγαπήσασα δέ σε, τὰ ἑαυτῆς σοι ἀπεκάλυψε μυστήρια. Κἀντεῦθεν ἀπλανῶς ἐνάγεις ἡμᾶς πρὸς τὴν ἀλήθειαν διὰ τῶν παρὰ σοῦ τελουμένων ἐν τῇ Ἐκκλησίᾳ συμβόλων. Διὸ δὴ ταῦτα ὑπὲρ τὰ ἐξιστῶντα τῆς ἀληθείας τὸ γράμματε, καὶ τὴν τῶν ὁρατῶν ἐπιφάνειαν, ἀγαπῆσαι ὑπισχνούμεθα:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Εἰσήνεγκέ με ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν σοί. Οὐ γὰρ ζηλοτυποῦσιν οὐδὲ φθονοῦσιν. Ἔξω μείνασαι καὶ μὴ δέπω τῆς παστάδος τυχοῦσαι. Ἀλλ᾽ εὐφραίνονται, καὶ ἀγαλλιῶνται, καὶ γάννυνται ἐπὶ τῇ τιμῇ τῆς νύμφης. Καὶ ἀρκοῦνται τὸ τῆς ἡδίστης αὐτῆς ἀπολαύειν φωνῆς. Διὸ ἐπάγουσιν. Ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον. Καὶ ὅπερ αὐτὴ τῷ νυμφίῳ ἔφη. Τοῦτο αὗται τῇ νύμφῃ φασί. Διὰ τὴν περὶ αὐτὴν εὔνοιαν, καὶ στοργὴν τοῦ νυμφίου τὴν διάνοιαν ἐπισπώμεναι. Φησὶ γὰρ καὶ ὁ Χριστὸς τοῖς Ἀποστόλοις. Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται. Καὶ ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ ἑνὸς τῶν μικρῶν τούτων τῶν

πιστευόν-

τοῖς δυόντων εἰς ἐμὲ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Μαστοὺς δὲ πάλιν τῆς νύμφης, αἱ νεάνιδες καλοῦσι. Τοὺς τῆς διδασκαλίας κρουνοὺς, τοὺς ἁπάσαις ταῖς ἡλικίαις προχέοντας τὰ νάματα. Καὶ ἐπιχεῦνται ἀγαπήσειν τῆς νύμφης τοὺς μαστοὺς, ὑπὲρ πᾶσαν ἀνθρωπίνην εὐφροσύνην. Τοῦτο γὰρ τροπικῶς ὁ οἶνος ὀνομάζεται. Ὁ εὐφραίνων καρδίαν ἀνθρώπου. Ἔστι δὲ ταῦτα καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ νέᾳ διαθήκῃ γεγενημένα, κατὰ μαθεῖν. Καὶ καθ' ἑκάστην δὲ ἡμέραν γινόμενα θεάσασθαι. Ἐν μὲν γὰρ τῇ παλαιᾷ τοῖς Προφήταις ὁ θεὸς ἀποκαλύπτων τὰ μέλλοντα. Δι' αὐτῶν τοὺς τηνικάδε ἀνθρώπους τὸ δέον ἐδίδασκε. Καὶ οἱ μὲν, τῶν ταμιείων, καὶ ἀποκρύφων ἀπέλαβον τοῦ θεοῦ. Καὶ ἐξιόντες ἔλεγον τοῖς ἀνθρώποις, τὰ ἀποκαλυπτόμενα καὶ δηλούμενα. Διὸ καὶ ὁ Δαβὶδ πρὸς τὸν θεὸν φησὶ, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Οἱ δὲ, διὰ τῶν προφητῶν τῶν θείων ναμάτων ἀπολαύοντες. Καὶ ὡς μεσίτας θεοῦ, καὶ ἀνθρώπων, τοῖς Προφήταις προσεῖχον. Καὶ οἱ Ἀπόστολοι δὲ ὡσαύτως θεόθεν ἐμπνεόμενοι τῆς εὐσεβείας τὸ κήρυγμα, εἰς ἅπαντας τοὺς ἀνθρώπους τοῦτο διαπορθμεύοντες, διετέλεσαν. Καὶ οἱ μὲν Ἀπόστολοι, τῶν δεσποτικῶν ἀπέλαυον ταμιείων. Οἱ δὲ τούτων ἀκροαταὶ, τῶν Ἀποστολικῶν ἐτύγχανον κρουνῶν, οἵων τινῶν μαστῶν, παντὸς οἴνου καὶ πάσης εὐφροσύνης τιμιωτέρων. Καὶ κατὰ τὸν παρόντα δὴ καιρὸν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι τὰ θεῖα νάματα, προσφέρουσι τῷ λαῷ, ὥσπερ ἔκ τινων ταμιείων ἀπολαμβάνοντες. Ὁ λαὸς δὲ, ὥσπερ ἀπό τινων μαστῶν, τὴν πνευματικὴν ἕλκει τροφήν. Καὶ πάσης αὐτὴν εὐφροσύνης βιωτικῆς ἀμείνω ἡγεῖται. Διὰ τοῦτο καὶ ἐν τοῖς ᾄσμασιν ἡ νύμφη φασίν. Εἰσήνεγκέ με ὁ

Βασι-

Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ. Αἱ δὲ νεάνιδες ἀπεκρίναντο, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί. Καὶ ἐπιχεῦνται λέγουσαι. Ἀγαπήσωμεν μαστοὺς σου ὑπὲρ οἶνον. Καὶ τὴν αἰτίαν ἐπιφέρουσιν. Εὐθύτης ἠγάπησέ σε. Εἰ γὰρ Χριστὸς καὶ εὐθὺς ὁ κύριος κατὰ τὸν μακάριον Δαβίδ. Καὶ ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς Βασιλείας σου. Καὶ διὰ τοῦτο ἠγάπησέ σε. Προσήκει καὶ ἡμᾶς ἐξηρτῆσθαι, καὶ διηνεκῶς προσεδρεύειν, καὶ τῶν σῶν ἀπολαύειν μαστῶν. Εἶτα πάλιν ἡ νύμφη φησί:~

» Μέλαινα εἰμὶ καὶ καλὴ θυγατέρες Ἱερουσαλήμ. Ὡς
» σκηνώματα κηδάρ, ὡς δέρρεις Σαλωμών. Μὴ βλέψη-
» τέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη. Ὅτι παρέβλεψέ
» με ὁ ἥλιος.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΗΓοῦμαι οὐκ ἔτι ταῦτα πρὸς τὰς νεάνιδας λέγειν τὴν νύμφην. Ἀλλὰ πρὸς τὰς ἐπὶ τῷ νόμῳ γαυριώσας. Καὶ ἐπὶ τῇ παλαιᾷ διαθήκῃ φρυαττομένας, καὶ μεγαλοφωνούσας αὐτῇ. Οὐ τὸ ἀλλόφυλον μόνον. Ἀλλὰ καὶ τὴν προτέραν δεισιδαιμονίαν, καὶ τὴν ἐντεῦθεν γινομένην μέλαιναν χρόαν. Διὸ λέγει πρὸς αὐτάς. Οὐ μόνον εἰμὶ μέλαινα, ἀλλὰ καὶ καλή. Ἀνέβλεψα γὰρ πάλαι τυφλώττουσα. Καὶ ῥάκια παλαιὰ περικειμένη. Νῦν ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη. Τὸ Βασιλικὸν ἔχον ἀξίωμα. Καὶ τῷ Βασιλεῖ παρέσταμαι. Ἐξωθησαμένη σε ἐπιμιχθῆσαν τῷ Βασιλεῖ, καὶ τοῦτον μὲν θανάτῳ παραδεδωκυῖαν. Τῷ πλήθει δὲ τῶν μοιχῶν, τὴν παστάδα μιάνασαν. Μὴ τοίνυν ὀνειδίζετέ μου τὸ

μέλαν

μέλαιν τῆς χρόας. Μὴ δὲ τὰ πρότερά μοι ἄγε εἰς μέσον κακά. Μέλαινα γάρ εἰμι ὁμολογῶ. Ἀλλὰ καλὴ καὶ ἀρέσκουσα τῷ νυμφίῳ. Φοβήθητι τῆς Μαρίας τὸ παράδειγμα. Ὠνείδισε γὰρ κἀκείνη Μωσῇ, ὅτι Αἰθιόπισσαν γυναῖκα ἠγάγετο. Καὶ ἐγένετο λεπρῶσα ὡσεὶ χιών. Καὶ ὡς ἀκάθαρτος ἔξω τῆς παρεμβολῆς ἐξεβλήθη. Καὶ οὐκ εἰσεληλύθει ἄχρις οὗ μετενόησε. Κἀγὼ τοίνυν Αἰθιόπισσα μὲν, ἀλλὰ τοῦ μεγάλου νομοθέτου νύμφη. Καὶ θυγάτηρ μὲν ἱερέως Μαδιὰμ, ἀνδρὸς εἰδωλολάτρου. Ἐπελαθόμην δὲ τοῦ λαοῦ μου καὶ τοῦ οἴκου τοῦ πατρός μου. Διὸ, ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους μου. Μὴ βλέψετέ με τοίνυν ὅτι ἐγώ εἰμι μεμελανωμένη. Ὅτι παρέβλεψέ με ὁ ἥλιος. Ὄψεσθέ με λελευκασμένην τὴν νῦν μεμελανωμένην, καὶ βοήσετε. Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη; Ἐρῶ δὲ ὑμῖν, καὶ τὴν αἰτίαν τῆς μελανώσεως ταύτης. Ἐμελανώθην γὰρ, λατρεύσασα τῇ κτίσει παρὰ τὸν κτίσαντα. Καὶ τὸν ἥλιον τοῦτον τὸν αἰσθητὸν, ἀντὶ τοῦ ἡλίου τῆς δικαιοσύνης προσκυνήσασα. Ἀλλ᾽ εἶδον τὴν διαφορὰν ἐκείνου καὶ τούτου. Καὶ καταλιποῦσα τὸ ποίημα, τὸν ποιητὴν προσεκύνησα. Μὴ βλέψετέ με τοίνυν, ὅτι ἐγώ εἰμι μεμελανωμένη. Ὅτι παρέβλεψέ με ὁ ἥλιος. Ἢ ὡς Σύμμαχος, ὅτι καθήψατό μου ὁ ἥλιος. Μέλαινα γάρ εἰμι καὶ καλὴ θυγατέρες Ἱερουσαλήμ. Μέλαινα διὰ τὴν προτέραν ἀσέβειαν. Καλὴ διὰ τὴν μετάνοιαν. Μέλαινα διὰ τὴν ἀπιστίαν, καλὴ διὰ τὴν πίστιν. Καὶ οὕτως σφόδρα εἰμὶ μέλαινα, ὡς τὰ σκηνώματα κηδάρ. Ὃ ἑρμηνεύεται σκοτασμός. Οὕτω δὲ γέγονα καλὴ, ὡς δέρρεις Σαλωμών. Ἀντὶ τοῦ, ὡς αἱ σκηναὶ τοῦ Σολομῶντος. Ὡς τὰ περιβόλαια τοῦ Σολομῶντος, περὶ ὧν ὁ

κύριος φησίν. Ἀποβλέψατε εἰς τὰ κρίνα τοῦ ἀγροῦ. Ἃ οὔτε νήθει οὔτε ὑφαίνει. Καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀμφιέννυσιν αὐτά. Ἀμὴν γὰρ λέγω ὑμῖν. Οὐδὲ Σολομὼν ἐν τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Διὸ καὶ μετὰ βραχὺ, κρῖνον αὐτὴν ὁ νυμφίος ὀνομάζει. Ὡς μὴ νηθοῦσαν μήτε ὑφαίνουσαν, τὸν ἀφρόντιδα δὲ βίον μετιοῦσαν, καὶ ὑπ᾽ αὐτοῦ τοῦ νυμφίου ἀμφιεννυμένην, καὶ τρεφομένην. Φησὶ τοίνυν ἡ νύμφη, ὅτι πάλαι τοῖς σκηνώμασι κηδὰρ ἀπεικασμένη, ὃ ἑρμηνεύεται σκοτασμός. Καὶ τῷ σκότει δουλεύουσα, καὶ τοῖς δαίμοσι λατρεύσασα. Νῦν ἐξαίφνης ἠμείφθην. Καὶ ἔοικα ταῖς δέρρεσι τοῦ Σαλωμῶντος ἐοικέναι. Ἐπειδὴ καὶ αὕτη οὐ μόνον νύμφη, ἀλλὰ καὶ ναὸς ἐγένετο τοῦ εἰρηνικοῦ Χῦ :~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Νύμφη οὖν τοῦ Χριστοῦ ἡ Ἐκκλησία, ἐπειδὴ ἐξ ἐθνῶν, καὶ ἐξ Ἰουδαίων συνετέθη. Καὶ οἱ μὲν ἐξ ἐθνῶν παντελῶς, πρώην ὑπῆρχον ἀφώτιστοι, ὡς μὴ ταῖς τῆς ἀληθείας αὐγαῖς διὰ νόμου, καὶ προφητῶν ἐλλαμπόμενοι. Οἱ δὲ ἐξ Ἰσραὴλ, ὡς οὕτω ταύταις καταυγαζόμενοι, οὐ πάντη τοῦ καλοῦ ὑπῆρχον ἀμέτοχοι. Ἀμφοτέρων λοιπὸν τουτωνὶ τῶν λαῶν, τῶν καὶ ταύτης μερῶν, τὰ ποτὲ ἐκ προαιρέσεως ἴδια, παρίστησι καὶ φησί. Μέλαινα εἰμὶ καὶ καλὴ θυγατέρες Ἱερουσαλήμ. Καὶ μέλαινα μὲν, διὰ τοὺς ἐξ ἐθνῶν ὡς παντελῶς ἀφωτίστους, καὶ τὸ τῆς δυσσεβείας σκότος περικειμένους. Καλὴ δὲ διὰ τοὺς ἐξ Ἱερουσαλήμ. Ὡς διὰ νόμου καὶ προφητῶν τῷ τῆς θεοσεβείας κάλλει προωραϊσθέντας. Αὖθις δ᾽ ὡς ἐν παραδείγματι, τὴν μελανότητα ὑποδεικνύουσα καὶ τὴν καλλονὴν, φάσκει. Ὡς σκηνώματα κηδάρ, ὡς δέρρεις Σαλωμών. Ἢ ὡς μέλαινα μὲν

εἰμι, διὰ τοὺς ἐξ ἐθνῶν, ὥσπερ οἰκητήρια σκότους. Σκοτασμὸς γὰρ τὸ κηδὰρ ἑρμηνεύεται. Καλὴ δὲ διὰ τοὺς ἐξ Ἱερουσαλὴμ, καθάπερ σκηνὴ εἰρηνικοῦ Βασιλέως. Ἐπειδήπερ τὴν σκηνὴν μὲν ἡ δέρρις. Τὸν δὲ εἰρηνικὸν, ὁ Σαλομὼν παρίστησι. Εἰρηνικὸς δὲ πάντως ἐστὶν, ὁ Βασιλεύων τῶν Ἰσραηλιτῶν νομικὸς, καὶ Προφητικὸς λόγος. Διὰ τὸ, ἀπαιτεῖν τούτους τὴν εἰς τὸν Θεὸν, καὶ τὸν πλησίον ἀγάπην. Τὸ δὲ θυγατέρες Ἱερουσαλὴμ, εἰκῆ παρὰ τῶν παραδειγμάτων τῆς μελανότητος, καὶ τῆς καλλονῆς ἐξεδόθη. Ἀλλ' οὖν ὑπερβατόν ἐστιν, ὡς συνηρτημένον κατὰ τὴν ἔννοιαν, τὸ μὴ βλέψητέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη. Φησὶ γὰρ ταῦτα τὸ ἓν μέρος πρὸς τὸ ἕτερον. Οἱ ἐξ ἐθνῶν δηλαδὴ πρὸς τοὺς ἐξ Ἰσραήλ. Θυγατέρες γάρ εἰσιν Ἱερουσαλὴμ, οἱ ἐξ Ἰσραὴλ πιστεύσαντες. Οἳ τοὺς ἐξ ἐθνῶν οὐκ ἐδέχοντο. Ὅπερ κατ' ἀρχὰς ἐπειδὴ τοῖς Ἀποστόλοις συμβέβηκε. Σκανδαλιζομένοις εἰς Πέτρον τὸν κορυφαῖον, ὅτι τὸν κορνήλιον ἐδέξατο, μέχρις ἂν οὗτοι παρ' αὐτοῦ τὴν ἀποκάλυψιν τῆς ὀθόνης μαθόντες τοῦ σκανδάλου ἀπηλλάγησαν. Παρορᾶσθαι γὰρ παρὰ τῶν Ἰσραηλιτῶν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τὴν ἑαυτῆς μελανότητα βουλομένη. Καὶ μὴ διὰ ταύτην ἀπ' αὐτῶν διακρίνεσθαι. Τὰ εἰρημένα πρὸς τούτου φησί. Μετὰ δὲ ταῦτα καὶ τὴν αἰτίαν αὐτοῖς ἀπαγγέλλει, δι' ἣν μεμελάνωτο. Λέγουσα, ὅτι παρέβλεψέ με ὁ ἥλιος. Ἤγουν μεμελανωμένη ἐγώ εἰμι. Ὅτι παρεβλέψατό με ὁ τῆς δικαιοσύνης ἥλιος. Νέφους περικαλύψαντός με ἀθείας, καὶ ταῖς τῆς θεογνωσίας ἀκτῖσιν οὐκ ἐάσαντός με καταλάμπεσθαι. Καθάπερ αὐτὴν νόμῳ, καὶ Προφήταις πρὸς θεογνωσίαν παιδαγωγούμενοι:~

Τοῦ

Τοῦ ὑπερτίμου Ψελλοῦ: διὰ Στίχων:-

Φησὶν ἡ νύμφη παρευθὺς πρὸς τοὺς Ἀγγέλους τάδε.
Οὓς θυγατέρας τῆς Σιὼν ἐκάλεσεν ὁ λόγος.

» Μέλαινα εἰμὶ καὶ καλὴ, θυγατέρες Ἱερουσαλὴμ, ὡς
» σκηνώματα κηδὰρ, ὡς δέρρεις Σαλομών.

ΤΑῦθ' ὁ μιλεῖ τὸ πρώτιστον, ἡ νύμφη τοὺς Ἀγγέλους.
Χρὴ γὰρ αὐτὰ τὰ ῥήματα τῆς νύμφης προτιθέναι.
Καὶ μηδαμῶς στιχοπλοκεῖν, ταῦτα καὶ μεταλλάττειν.
Ἀκούσατέ μου τῆς φωνῆς φησὶν ὦ θυγατέρες.
Τῆς ἄνω Ἱερουσαλὴμ τῆς σεβασμιωτάτης.
Ὁμοῦ γὰρ ἔγωγε καλὴ καὶ μέλαινα τυγχάνω.
Μέλαινα μὲν ὡς τοῦ κηδὰρ σκήνωμα προφανεῖσα.
Φημὶ δ' ἐκ παραβάσεως τῆς ἐντολῆς τῆς πρώτης.
Ὁ γὰρ κηδὰρ ὁ ζοφερὸς λέγεται καὶ σκοτῶδες.
Καλὴ δὲ πάλιν πέφυκα νυνὶ τῇ μετανοίᾳ.
Συνεκρωθεῖσα τῷ Χριστῷ, τῷ εἰρηνικωτάτῳ.
Εἰρηνικὸς γὰρ λέγεται παῖς Σαλομὼν ἀξίως.
Σὺ δὲ μὴ δ' ὅλως ἐκ πλαγῆς ἅπερ ἡ νύμφη λέγει.
Ὡς ἐν ταυτῷ καὶ μέλαινα, καὶ καλὴ νῦν τυγχάνω.
Πᾶσα γὰρ μέλλουσα ψυχὴ πρὸς ἀρετὰς προκόπτειν.
Καὶ πρὸς τὸ φῶς ἀνάγεσθαι καὶ φεύγειν ἐκ τοῦ σκότους.
Ὡς παρευθὺς ὁ λόφωτος καὶ καθαρὰ τυγχάνει.
Ἀλλ' ὅσον πρὸς τὴν ἀρετὴν προκόπτει μετὰ πόνου.
Τοσοῦτον ἀπαλλάττεται τοῦ σκότους τῆς ἀπάτης.
Καὶ λαμπροτέρα γίνεται πάντως, καὶ φαιδροτέρα.
Εἶτα φησὶ πρὸς τὰς αὐτὰς ἡ νύμφη θυγατέρας.

» Μὴ

» Μὴ βλέψετέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη,
» ὅτι παρέβλεψέ με ὁ ἥλιος.

Μὴ γοῦν νομίσητε φησὶν, οὕτως ἐμὲ πλασθῆναι.
Καὶ ζοφερὰν καὶ σκοτεινὴν, καὶ μεμελανωμένην.
Ἐπλάσθην γὰρ ὁλόφωτος παρὰ τοῦ πλαστουργοῦ μου.
Ἀλλ' ὁ φλογώδης ἥλιος τῶν πειρασμῶν ἡ ζέσις.
Δεινῶς με παρεβλέψατο καὶ μεμελάνωκέ με.

Εἶτα καὶ τὸν τρόπον καθ' ὃν παρωράθη ὑπὸ τοῦ τῆς δικαιοσύνης ἡλίου, φησίν.

» Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἤγουν· οἱ ἀποταχθέντες τῇ μητρὶ τῶν ὅλων ὡς αἰτία σοφία, λόγοι τῶν ὄντων. Οὐ πρὸς ταύτην με ἀνήγαγον. Ἐπείπερ ἠπατήθην διὰ τῆς ἐπιφανείας τῶν ὁρατῶν. Ἀλλ' ἀντιφανεῖς μοι δόξαντες, εἰς μυρίας δόξας κατέτεμον. Κἀντεῦθεν ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσι, ταῖς εἰρημέναις δόξαις ἐμμένειν. Καὶ πρὸς ἑαυτὴν τὴν ἀλήθειαν ἀσύμβλητον μένειν παρασκευάσαντες. Ταῦτα δέ μοι, ἐπισυνέβησαν. Ἐπειδὴ ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. Ὅς ἐστιν ὁ εἰρηκὼς, ἐγώ εἰμι ἡ ἄμπελος. Ὑμεῖς τὰ κλήματα. Ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, καὶ λόγος. Οὗ κατ' εἰκόνα κτισθεῖσα ἡ ἀνθρωπίνη φύσις, ἐνοειδῶς αὐτοῦ ἐν τῷ παντὶ ἔχε λόγους, ὡς μίγμα πάσης κτίσεως. Μὴ τηρήσασα δὲ τὸν ἕνα λόγον τῆς ἰδίας φύσεως. Ἀλλ' εἰς πολλὰς δόξας κατατμηθεῖσα, καὶ πολυθεΐᾳ δουλεύσασα. Τὸν ἴδιον ἀμπελῶνα οὐκ ἐφύλαξεν. Οὐ

δὲ γὰρ

δὲ γὰρ ἰθυγενῶς διὰ τοῦ παντὸς ὡς δι' εἰκόνος ἑώρα πρὸς τὸ ἀρχέτυπον. Ἤγουν διὰ τὴν αἰτίαν τῶν πρὸς τὸ αἴτιον:-

» Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί.

Τοῦ Ψελλοῦ: διὰ στίχων:-

Ἐμὲ γὰρ ἐπολέμησαν φησὶν ἡ νύμφη πάλαι.
Καὶ παραβάτην ἔδειξαν δαίμονες ἀποστάται.
Τούτους γὰρ εἴρηκεν υἱοὺς μητρὸς αὐτῆς τυγχάνειν.
Ὡς δὴ καὶ τούτους ἐν θεῷ κτισθέντας μετὰ πάντων.
Ἐπείπερ ὅσα κτίσματα τυγχάνομεν ἐν βίῳ.
Κἂν Ἄγγελοι κἂν ἄνθρωποι, κἂν δαίμονες κἂν λίθοι.
Ὡς ἀδελφοὶ τυγχάνομεν εἰς λόγους πλαστουργίας.
Σύμπαντες γὰρ ἐπλάσθημεν ἐν θεῷ παντεργάτου.
Εἶτα καὶ λέγει πρὸς αὐτὰς τὸν τρόπον τοῦ πολέμου.

» Ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶνι, ἀμπελῶνα ἐμὸν
» οὐκ ἐφύλαξα.

Ἐν Παραδείσῳ γὰρ φησὶν πλασθεῖσα, καὶ τεθεῖσα.
Ὥστε φυλάσσειν ἐντολὴν τοῦ μὴ φαγεῖν ἀκαίρως.
Τὸν νόμον οὐκ ἐφύλαξα, τὴν ἐντολὴν παρέβην.
Καὶ ταῦτα μὲν ὠδύρετο πρὸς τοὺς Ἀγγέλους δῆθεν.

» Υἱοὶ μητρός μου ἐμαχέσαντό μοι.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἔχεται δὲ, καὶ ταῦτα τῶν προειρημένων. Διδάσκει δὲ τὰς θυγατέρας Ἱερουσαλήμ. Ὅπως μέλαινα οὖσα, καὶ δυσειδής. Ἐξαίφνης καλὴ ἐγένετο. Υἱοὶ γάρ φησι μητρός μου

ἐμαχέ-

ἐμαχέσαντο ἐν ἐμοί. Υἱοὺς μὲν καλοῦσα τοὺς ἱεροὺς Ἀποστόλους. Περὶ ὧν τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ μδ΄. ψαλμῷ πρὸς αὐτὴν τὴν βασιλίδα. Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου. Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Μητέρα δὲ αὐτῆς καὶ αὐτῶν, καλῶν τὴν ἄνω Ἱερουσαλήμ. Περὶ ἧς ὁ μακάριος Παῦλος λέγει. Ἡ δὲ ἄνω Ἱερουσαλήμ, ἐλευθέρα ἐστί, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Οἱ τοίνυν υἱοί φησι τῆς μητρός μου ἐμαχέσαντο ἐν ἐμοί. Κατὰ τῆς εἰδωλολατρείας, καὶ τῆς ἄλλης παρανομίας γενόμενον τοῖς Ἀποστόλοις πόλεμον. Οἵτινες ἐν ἑκάστῳ τῶν ἀκροατῶν οἱονεί τινα μάχην καὶ πόλεμον ἀνεδέχοντο ἀγωνιζόμενοι. Ἐκβάλλειν μὲν τὰ πονηρὰ ἔθη τῶν ψυχῶν. Τοὺς δὲ τῆς εὐσεβείας ἐγκαταπῆξαι νόμους. Καὶ ἵνα σαφέστερον μάθωμεν πῶς ἐν ταῖς τῶν μαθητευομένων ψυχαῖς διεμάχοντο οἱ μακάριοι τῆς εὐσεβείας κήρυκες. Ἀκούσωμεν τοῦ μακαρίου Στεφάνου διαμαχομένου, καὶ λέγοντος. Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ, καὶ τοῖς ὠσίν. Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Καὶ ὁ μακάριος Παῦλος Κορινθίοις μὲν ἐπιστέλλων φησίν. Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία; Ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται; Καὶ πάλιν, μήπως ἐλθόντα με πρὸς ὑμᾶς, ταπεινώσει ὁ θεός με, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. Γαλάταις δὲ γράφων. Ὦ ἀνόητοι φησὶ Γαλάται. Τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι. Οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος. Οὕτως ἐπιτιμῶντες καὶ παραινοῦντες. Καὶ τὰς ῥυτίδας τῶν ἁμαρτημάτων διατείνοντες, καὶ τὰ γεγηρακότα ἀποξέοντες ἤθη νέαν ἀντὶ παλαιᾶς. Καὶ ἀντὶ δυσειδοῦς, καὶ

εἰδεχ-

εἰδεχθοῦς εὐπρεπῆ. Καὶ ἀντὶ μελαίνης λευκοτάτην ἀπεφήναντο, τοῦ κυρίου τὴν νύμφην, οἱ πρῶτοι τῆς εὐσεβείας ὑποφῆται καὶ κήρυκες. Διὰ τοῦτο φησὶν ἡ νύμφη δεῖξαι βουλομένη, τίνα τρόπον ὡραία γέγονε καὶ καλή φησιν. Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί. Ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν. Παρέδωκάν μοι γὰρ οἷον τινὰς ἀμπελῶνας, τὰς θείας ἐντολάς. Καὶ ταύτας οὐκ ἐργάζεσθαι μόνον καὶ γεωργεῖν, ἀλλὰ καὶ φυλάττειν παρεκελεύσαντο. Ἵνα μήτι τῶν πονηρῶν θηρίων λυμαίνηται τὸν καρπόν. Εἶτα ἐπιφέρει, ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. Διπλῆν ἔχει τὴν ἔννοιαν τὸ ῥητόν. Εὐσεβῆ δὲ ἑκατέραν, καὶ ὠφελείας μεστήν. Ἢ γὰρ τοῦτο λέγει. Ὅτι τὸν πρότερόν μου. Ἀμπελῶνα, ὃν περὶ τῆς πίστεως ἐγεώργουν τὸν πατρόθεν μοι παραδοθέντα, καταλέλοιπα ἀνεπιμέλητον, καὶ ἀφύλακτον. Ὥστε παντελῶς τὰ πρότερα ἤθη διαφθαρῆναι, καὶ λήθῃ παραδοθῆναι. Ἢ ὅτι τὸν ἐμὸν ἀμπελῶνα. Τουτέστι τῆς ἐμῆς ψυχῆς τὴν ὠφέλειαν, ἀφελομένη. Καὶ τὰ τῶν ἄλλων κέρδη τῶν οἰκείων κερδῶν προαιρουμένη. Τοῦτο γὰρ καὶ ὁ μακάριος Παῦλος φησί. Ὅτι ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς. Καὶ πάλιν. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Καὶ περὶ ἑαυτοῦ δέ φησιν. Ὅτι οὐ ζητῶ τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Τέθεικα δὲ ἀμφότερα τὰ νοήματα. Ἵν' ἔχοιεν οἱ ἐντυγχάνοντες ἀμφοτέρων τὴν γνῶσιν. Καὶ τὸ δοκοῦν αὐτοῖς ἀληθέστερον εἶναι, λάβωσι. Μετὰ ταῦτα ἡ νύμφη καταλιποῦσα τούς τε πρὸς τὰς νεάνιδας λόγους, καὶ τὴν πρὸς τὰς θυγατέρας Ἱερουσαλὴμ διδασκαλίαν. Τρέπεται πρὸς τὸν νυμφίον. Καὶ ἣν ἔχει περὶ αὐτὸν ἀγάπην, γυμνοῖ. Καὶ φησίν:~

Ἀπάγ-

» Ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου. Ποῦ ποι-
» μαίνεις. Ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ. Μήποτε γένω-
» μαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΔΕιμαίνουσα γὰρ καὶ ἀγωνιῶσα, μὴ στερηθῇ τοῦ νυμφίου. Καὶ ἑτέροις περιπέσῃ ποιμνίοις, οὐχ ὑπ' αὐτοῦ ποιμαινομένοις, ἀλλ' ὑπὸ ἄλλων τινῶν ἑτέρων αὐτοῦ ὀνομαζομένων. Οὐ κατὰ τὴν ἀξίαν, οὐ κατὰ τὸ κοινὸν τοῦ φρονήματος, ἀλλὰ κατὰ τὴν μίμησιν τοῦ ἐπιτηδεύματος, ἱκετεύει τὸν νυμφίον λέγουσα. Ἐπειδὴ ἠγάπησέ σε ἡ ψυχή μου. Εἰπέ μοι κατὰ τὸν τῆς μεσημβρίας καιρὸν, ποῦ ποιμαίνεις, ἢ ποῦ κοιτάζεις τὰ πρόβατα. Μὴ ἀγνοοῦσα τῇ δεκἀκεῖσε περινοστήσω. Καὶ ἀλωμένη καὶ πλανωμένη, περιπέσω ἀγέλαις. Οὐ τῆς σῆς ἐπιστασίας ἀξιωμέναις. Ἀλλὰ τινὰς ἄλλους νομέας καὶ βουκόλους ἐχούσαις. Τὸ γὰρ περιβαλλομένη, ῥεμβομένη ὁ Σύμμαχος τέθεικεν. Εἰκότως δὲ καὶ κατὰ τὸν τῆς μεσημβρίας καιρὸν, πυνθάνεται ἡ νύμφη, πῶς ὁ νυμφίος μένει. Ἐπειδὴ τοῦ φωτὸς τῆς γνώσεως ἐγκρατοῦς γενομένη. Ἀνεφύησαν αἱ αἱρέσεις, Χριστιανῶν μὲν ὄνομα ἔχουσαι, ἀλλ' ἔρημοι τῆς ἀληθείας ὑπάρχουσαι. Τούτου χάριν ἀγωνιῶσα, μαθεῖν ἐφίεται τοῦ νυμφίου τὸν τόπον. Ἔνθα καὶ τὸν τῆς μεσημβρίας καιρὸν κοιτάζει τὰ πρόβατα, ἵνα μὴ πέσῃ ταῖς τῶν καλουμένων ἑτέρων ἀγέλαις: Ἰστέον δὲ ὅτι ὥσπερ ἦσαν οἱ Προφῆται, καὶ τούτων ἐναντίοι ψευδοπροφῆται. Καὶ πάλιν Ἀπόστολοι, καὶ τὰ ἐναντία φρονοῦντες ψευδαπόστολοι. Οὕτως καὶ ψευδόχριστοι ὑπὸ τῆς θείας καλοῦνται γραφῆς. Διὸ καὶ ὁ κύριος φησί. Ὅτι ἀναστήσονται πολλοὶ ψευδοπροφῆται, καὶ πολ-

καὶ πολ-

καὶ πολλοὺς πλανήσουσι. Καὶ ὁ μακάριος δὲ Παῦλος. Οὐ μόνον ψευδαδέλφους οἶδε λέγειν, ἀλλὰ καὶ ψευδαποστόλους. Διὸ φησί. Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι εἰσί. Τούτοις ἡ νύμφη μὴ περιπεσεῖν ἱκετεύει. Ἐπειδὴ τὸ ποιμενικὸν ἐπιδείκνυνται σχῆμα. Καὶ ἀγέλας ὡσαύτως καὶ ποιμένας ἔχοντες. Φαίνονται. Ὁποῖοι εἰσὶν οἱ τὰ τοῦ Ἀρείου καὶ Εὐνομίου, καὶ Μαρκίωνος καὶ Βαλεντίνου, καὶ Μάνη καὶ Μοντανοῦ φρονοῦντες. Χρῆμα μὲν χριστιανικὸν ὄνομα περικείμενοι. Καὶ Ἐκκλησίας οἰκοδομοῦντες. Καὶ θείας γραφὰς πεπλανημένοις προβάτοις ἀναγινώσκοντες. Καὶ νέμοντες κακῶς τοὺς πειθομένους. Καὶ ἑταῖροι τοῦ νυμφίου νομιζόμενοι. Ἐπίβουλοι δὲ ὄντες, καὶ ὀλέθριοι. Καὶ δηλητήρια τοῖς προβάτοις ἀντὶ τῆς τροφίμου πόας ὀρέγοντες. Διὰ τοῦτο ἡ νύμφη ἱκετεύει τὸν νυμφίον, ὑποδεῖξαι αὐτῇ ποῦ κοιτάζει τὰ πρόβατα τὰ ἐν μεσημβρίᾳ. Ἵνα μὴ γένηται περιβαλλομένη ἢ ῥεμβομένη κατὰ τὸν Σύμμαχον, ἐπ' ἀγέλας τῶν ἑταίρων αὐτοῦ προσαγορευομένων. Ἐναντίων δὲ αὐτῷ ὑπαρχόντων:~

Τῶν τριῶν Πατέρων:-

ΛΟιπὸν ὁ αὐτὸς ἐμὸς ἀμπελών, οὗ με πρότερον διέστησεν ἡ πολύθεος πλάνη. Καὶ εἰς ὃν νῦν ἐφυτεύθη τῇ πίστει, ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἐν τῷ τὴν ἐπιφάνειαν τῶν αἰσθητῶν ὑπερκύψαι. Καὶ εἰς τοὺς λόγους τῶν νοητῶν παρακύψαι. Οἱ καλῶς θεωρούμενοι πρὸς τὴν ἀλήθειαν φέρουσι. Ποῦ ποιμαίνεις ὁ τρέφων κατ' ἀρετὴν καὶ ποτίζων κατὰ γνῶσιν ὕδωρ ζῶν ἐκ τῆς ἀενάου πηγῆς τὰ λογικὰ πρόβατα. Καὶ γὰρ οὐ μόνον ἡ ἄμπελος, ἀλλὰ καὶ ὁ καλὸς ποιμὴν, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς εἶ καθὼς

ἐν Εὐαγ-

ἐν Εὐαγγελίοις ἔφης. Καὶ ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ τοῦ πολλοῦ καμάτου ἀναπαύων ἐν τῷ ἰσκίῳ σου, πάσῃ ψευδεῖ ὑπολήψει φωτὶ τῆς ἐπιγνώσεώς σου. Τοῦ τῆς δικαιοσύνης ἡλίου σου ἀποπλανηθέντας τῆς ὁδοῦ τῆς ἀληθείας. Καὶ εἰς κρημνοὺς καὶ βάραθρα τὰς ἐναντίας φημὶ δόξας καταισυρέντας. Εἶτα θέλουσα τὴν αἰτίαν ἀναδιδάξαι, δῆλον ζητεῖ μαθεῖν τὸν τόπον. Ἐν ᾧ ποιμαίνεις καὶ κοιτάζει ὡς εἴρηται ὁ καλὸς ποιμὴν, φησί. Μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑτέρων σου. Ἤγουν μήποτε ἐν τῷ τῆς σῆς διδασκαλίας ἀμοιρῆσαι. Γένωμαι ὡς ψεῦδος, ἐν δεδομένη ἐπ' ἀλλοτρίαις τοῦ σοῦ ποιμνίου ἀγέλαις. Ταύταις τῆς ἀγνοίας τῆς ἀληθείας συναγελασάσης με:~

Τοῦ ὑπερτίμου Ψελλοῦ: διὰ Στίχων:-

Η Νύμφη οὖν προκόψασα μικρὸν ἐν μετανοίᾳ.
Φωνεῖ μεγάλα καὶ ζητεῖ τὸν λόγον καὶ νυμφίον.
Φησὶ γὰρ οὕτω πρὸς αὐτὸν ὥσπερ ἐρῶσα τοῦτον.

„ Ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου ποῦ ποιμαί-
„ νεις. Ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ.

Φησὶν ἐν τάχει λέγε μοι ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις.
Ὁ λόγος ὃν ἠγάπησα ψυχῆς αὐτῆς ἐκ μέσης.
Ἐν μεσημβρίᾳ μήποτε κοιτάζεις ὦ νυμφίε.
Πέπεισμαι γάρ σε καθαρῶς ἐν μεσημβρίᾳ μένειν.
Ἤγουν εἰς φῶς ἀπρόσιτον μηδόλως σκιὰν ἔχον.
Ἔνθα τὰ πρόβατα τὰ σὰ ποιμαίνεις θεὲ λόγε.
Καὶ καταπίπτεις ἀληθῶς φωτὶ τοῦ σοῦ προσώπου.
Ἂν ἐν ἐκείνῳ φθάσωσι, ταῦτά σοι καθυπνῶσιν.

Ἔνθα

Ἔνθα τὴν πλάνην τρέμουσα τῆς πρὸς ἐκεῖνον τρίβον.
Φησὶ καὶ τοῦ τὰ πρὸς αὐτὸν, τουτέστι τὸν νυμφίον.

„ Μήποτε γένωμαι ὡς περιπλανωμένη ἐπ' ἀγέλαις ἑτέ-
„ ρων σου.

Τὴν τῶν προβάτων σου νομὴν φησὶν ἀπάγγειλόν μοι.
Δέδοικα γὰρ μὴ πλανηθῶ δραμοῦσα παρ' ἐλπίδα.
Πρὸς τὰς ἀγέλας καὶ νομὰς ἴσως τὰς τῶν ἐρίφων.
Κἀντεῦθεν ἐλαθήσωμαι μακρὰν τῶν σῶν προβάτων.
Καὶ τῶν ἐρίφων κερδήσω τὰς δυσωνύμους μοίρας.
Ὅταν καθίσῃς ὡς κριτὴς τοῦ γένους τῶν ἀνθρώπων.
Ταῦτα μὲν οὖν ἐφθέγξατο πάντως πρὸς τὸν νυμφίον.
Ἡ παρθενεύουσα ψυχὴ καὶ νυμφοστολισθεῖσα.
Καὶ βουλομένη τῷ Χριστῷ τάχα συννεκρωθῆναι.
Σὺ δέ μοι νύμφην νόησον ὥσπερ ἐν ὑποθέσει,
Τὴν παρθενεύουσαν ψυχὴν τὴν τοῦ μεγάλου Παύλου.
Τοῦ πρὸς τοὺς τρίτους οὐρανοὺς ἀρθέντος ἀπορρήτως.
Τῆς ἄνω Ἱερουσαλὴμ τουτέστι τοὺς Ἀγγέλους.
Ἀλλ' ἴδωμεν καὶ τί φασιν οἱ φίλοι τοῦ νυμφίου.
Καὶ πῶς διδάσκουσιν αὐτὴν τὴν κοίτην τοῦ νυμφίου.
Ἄσματ' ἀρχὰς εἰρήκαμεν τοῦ λόγου θυγατέρας.
Φασὶ γὰρ οὕτω πρὸς αὐτὴν τὴν καθαρὰν παρθένον.

„ Ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξὶν, ἔξελθε σὺ
„ ἐν πτέρναις τῶν ποιμνίων σου, καὶ ποίμαινε τὰς ἐρίφους-
„ σου. Ἐπὶ σκηνώμασι τῶν ποιμένων.

Τοῦ Ψελλοῦ:-

Ὥσπερ παρθενεύουσα ψυχὴ φησὶ καὶ σεβασμία,

Εἴπερ

Εἴπερ ποθεῖς καταλαβεῖν ἀγέλας τῶν προβάτων.
Γνῶθι σαυτὸν τίς πέφυκας, τὸ πρὶν οὐ δόλως οὖσα.
Καὶ πῶς εἰκὼν τετίμησαι τυγχάνειν τοῦ δεσπότου.
Καὶ πάσης μετανάστηθι, τῆς κοσμικῆς ἀπάτης.
Καὶ δεῦρο κατασκόπευσον ἴχνη τὰ τῶν ποιμαίνων.
Καὶ τὰ μὲν ὄντα πρὸς ὁδὸν μεγάλην, καὶ πλατεῖαν.
Βδελύχθησον καὶ μίσησον, εἰσὶ γὰρ τῶν ἐρίφων.
Τὰ δὲ πρὸς τρίβον κείμενα στενὴν καὶ τεθλιμμένην.
Ἀγάπησον καὶ κράτησον, εἰσὶ γὰρ τῶν προβάτων.
Πρόσεχε οὖν μὴ πλανηθῇς ἐν πτέρναις τῶν ἐρίφων.

Ἀποκρίνεται οὖν ὁ νυμφίος τῇ νύμφῃ καὶ φησί:-

» Ἐὰν μὴ γνῷς σεαυτήν ἡ καλὴ ἐν γυναιξίν, ἔξελθε σὺ
» ἐν πτέρναις τῶν ποιμνίων. Καὶ ποίμαινε τὰς ἐρίφους σου
» ἐπὶ σκηνώμασι τῶν ποιμαίνων.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ο Λέγει τοιοῦτόν ἐστιν. Εἰς ἑαυτὴν ἀποβλέπουσα. Καὶ τὰ σαυτῆς περισκοποῦσα. Καλὴ γὰρ γέγονας, καὶ πασῶν γυναικῶν εὐπρεπεστάτη. Γνώριζε τὰς ὁμοίας σοι. Ἐὰν δὲ σαυτὴν ἠγνόησας, ἐξερεύνησον τῶν ποιμνίων τὰ ἴχνη. Καὶ ἀκολουθοῦσα ποίμαινε, μὴ τὰ πρόβατα μόνον, ἀλλὰ καὶ τὰς ἐρίφους σου ἐν τοῖς σκηνώμασι τῶν ποιμαίνων. Βούλεται γὰρ ὁ φιλάνθρωπος δεσπότης, οὐ μόνον τοὺς δικαίους, ἀλλὰ καὶ τοὺς ἁμαρτωλοὺς ἐπιμελείας πάσης ἀξιοῦσθαι. Διὸ φησί. Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Καὶ οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Καὶ διὰ Ἰεζεκιὴλ τοῦ Προφήτου. Μὴ θελήσει φησὶ

θελήσω

θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Καὶ ὁ μακάριος Ἀπόστολος Παῦλος περὶ αὐτοῦ φησί. Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὰ τοῦτο βούλεται αὐτὴν καὶ τοὺς ἐρίφους βόσκειν. Ἐν τύπῳ δὲ ἁμαρτωλῶν τοὺς ἐρίφους ἡ θεία παραλαμβάνει γραφή. Τούτους γὰρ ἐξ εὐωνύμων ὁ κύριος ἔφη σταθήσεσθαι. διακριθέντας ἐκ τῶν ἀμνῶν τῶν λαχόντων δεξιὰν χώραν. Ἐπειδὴ καὶ ἐν τῷ νόμῳ ὑπὲρ ἁμαρτίας, οὐ πρόβατον, ἀλλὰ χίμαρος ἐξ αἰγῶν προσεφέρετο. Διὰ τοῦτο λέγει τῇ νύμφῃ ὁ νυμφίος. Τοῖς ἴχνεσι τῶν ποιμνίων ἀκολούθει. Καὶ τῶν προλαβόντων ἁγίων, ἀνερεύνα τὸν βίον. Καὶ ἐν τοῖς τῶν ποιμένων ἐκείνων σκηνώμασι. Τουτέστιν ἐν ταῖς Ἀποστολικαῖς ἐκκλησίαις, βόσκε σου τοὺς ἐρίφους. Ἀκούσασα ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις. Ὁρᾶτε μὴ καταφρονήσητε, ἑνὸς τῶν μικρῶν τῶν ἐλαχίστων, τῶν πιστευόντων εἰς ἐμέ. Ἀμὴν γὰρ λέγω ὑμῖν. Οἱ Ἄγγελοι αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς:~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Ἀποκρινόμενος οὖν πρὸς ταύτην τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὁ καλὸς ποιμήν, καὶ νύμφην αὐτήν, φησίν. Εἰ μὴ ἔγνως σεαυτήν. Ἤτοι ἐὰν ἀγνοῇς σεαυτήν, ἐν ᾗ ὁ ἀπερίγραπτος περιγράφομαι, καὶ ὁρῶμαι ὡς ἐν εἰκόνι ἀρχετύπου, καὶ τὰς ἀλόγους αἰσθήσεις σου ῥυθμίζω. Καὶ διά τε τῶν ἀπειλῶν, ὡς διὰ ῥάβδων, καὶ τῶν Ἐπαγγελιῶν ὡς σύειγλος, πρὸς τὰς αἰωνίους σε ἄγω μάνδρας, ἐν αἷς σε ἀναπαύσω ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ. Ὅτι μὴν οὐδ' ὑπόπνος συσκιάζει πάθους, διὰ τὸ ἄφθαρτόν τε, καὶ ἀναμάρτητον. Ἡ καλὴ ἐν γυναιξίν,

ἡ ὡραία

ἡ ὡραία διὰ τὴν εἰς ἐμὲ πίστιν τε καὶ ἀγάπην, ἐν ποίῳ τινὶ ἔθνει ἀπιστίαν νοσοῦντι, καὶ ταῖς τῆς σαρκὸς ἐκθηλυνομένῳ, ἔξελθε σύ. Ἤγουν ἐπειδὴ σὺ μὴ ἔγνως τὸ περὶ σὲ μυστήριον νοερῶς. Ἔξελθε ἀπὸ τῆς κατὰ νοῦν ἐνδότητος πρὸς τὴν αἴσθησιν σύ, ἡ λογικὴ πάντως. Εἰ γὰρ τοῦ ποιμαίνω θέλει ὅλως μαθεῖν, οὐδ' ἐν τῇ τοιᾷδε ἐξελεύσει δεῖ σε πρὸς ἀλογίαν τραπῆναι. Ἔξελθε δὲ ἐν πτέρναις τῶν ποιμνίων. Ἤτοι ἐν ταῖς κατ' ἐνέργειαν βάσεσι τῶν διαφόρων φύσεων. Διὸ ἑκάστην τούτων, ἀνιχνεύων ὁ λόγος δείζεται, ποίμνια, ἅπερ αἱ τῶν ὄντων χρῶνται φύσεις, τὸ ἀξιοῦσθαι κατὰ ὑφ' ἑκάστην τούτων μερικῶς προνοίας, ὡς παρὰ ποιμένος τοῦ τῶν ὅλων προνοητοῦ καὶ θεοῦ. Καὶ ποίμαινε τὰς ἐρίφους σου. Τὰ πάθη πάντως, ὡς τῆς ἀριστερᾶς μοίρας ὑπάρχοντα ἐπισκηνώμασι τῶν ποιμνίων. Ἐπὶ ταῖς ἕξεσι δηλαδὴ τῶν φύσεων, ὡς μεταβάλλουσα προαιρετικῶς. Τὴν μὲν αἰτίαν πάντων τῶν κακῶν ῥαθυμίαν, πρὸς τὴν καθ' ἕξιν φυσικὴν ἐν ὑπάρχουσαν τῷ μύρμηκι, καὶ τῇ μελίσσῃ, ἐπιμέλειαν, ἑτοιμάζουσα καὶ αὐτὴ κατὰ τὸ παρὸν τὴν τῶν μελλόντων ἀπόλαυσιν. Ὥσπερ κἀκεῖνα ἔαρος ὥρα καὶ θέρους, τὴν τοῦ χειμῶνος τροφήν. Διὰ γὰρ τῆς ἐπιμελείας τρυγᾶται ἐκ τοῦ τῆς ψυχῆς τριμεροῦς ἡ δικαιοσύνη. Ἥτις ἑτοιμασία τῆς τῶν μελλόντων ἐστὶν ἀπολαύσεως. Τὴν δὲ ἀφροσύνην, ἥτις ἐκ τοῦ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν τροπὴ τῆς λογικῆς ὑπάρχει δυνάμεως, πρὸς τὴν ὁμοίως ἐνοῦσαν τῷ ὄφει φρόνησιν. Ὅλην ἑαυτὴν προδιδοῦσα ὑπὲρ τοῦ φυλάξαι τὸν λόγον τῆς πίστεως. Ὥσπερ κἀκεῖνος ὅλον προδίδωσιν ἑαυτὸν ὑπὲρ τοῦ φυλάξαι τὴν ἑαυτοῦ κεφαλήν. Τῇ δὲ μήνιδι ἥτις τῆς θυμικῆς δυνάμεως ἐστὶν ἐκ τροπή, πρὸς τὴν ὡσαύτως ἐν ὑπάρχουσαν ἀκε-

ραιότητα τῇ περιστερᾷ, μὴ ἀφισταμένη κατὰ διάθεσιν τῶν πολεμούντων, ὥσπερ δὴ κἀκείνη κἂν μυρία ἐπιβουλεύηται. Κἂν τ' ἀναντία αὐτῆς ἀπόλλυσιν. Οὐ μακρὰν τῶν ἐπιβουλευόντων ἀφίσταται. Καὶ τὴν ἀκολασίαν, ἥτις, τῆς ἐπιθυμητικῆς δυνάμεως ἐστὶν ἐκ τροπή, πρὸς τὴν ὁμοίως ἐν ὑπάρχουσαν τῇ τρυγόνι σωφροσύνην ἐγκρατῶς, ἔνθα ἀναγκαία χρεία κατεπείγει χρωμένη τῇ ἡδονῇ. Ὥσπερ δὴ κἀκείνη διὰ γονοτοκίαν μονοζυγοῦσα :~

Τοῦ Ψελλοῦ :-

Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τοῦ καλοῦ νυμφίου.
Ἤδη γὰρ πρώτως ὁ μιλεῖ τῇ νύμφῃ λέγων τάδε.

„ Τῇ ἵππῳ μου ἐν ἅρμασι φαραὼ ὡμοίωσά σε ἡ πλη-
„ σίον μου.

Βλέπων αὐτὴν σφαδάζουσαν ἐξ ἐρωτοληψίας.
Καὶ πρὸς ἐκεῖνον σπεύδουσαν δραμεῖν καὶ καταπαῦσαι
Ἵππῳ παρείκασεν αὐτὴν αἰθεροπτηνοδρόμον.
Οὕτως γὰρ θραύσει σὺν ἐχθροὺς φησὶ πρὸς τὴν παρθένον.
Ὥσπερ κατέθραυσε ποτὲ καὶ σὺν φαραωνίτας.
Ἡ δύναμις τῆς ἵππου μου τῆς ἀνατεταμένης.
Τουτέστι τῆς Ἀγγελικῆς ταγματοστραταρχίας.
Τίνος δὲ χάριν ἐρωτᾷς τὴν τῶν Ἀγγέλων τάξιν.
Ἵππῳ παρείκασεν ἁπλῶς ὁ λόγος καὶ νυμφίος.
Πᾶς τις τοξότης πόλεμον συνάπτων ἀντιπάλῳ.
Τόξον λαμβάνει καὶ νευρὰν καὶ κέρως τε καὶ δόρυ.
Πεζὸς πεζῷ γὰρ πολεμεῖ ῥαβδοῦχος τε ῥαβδούχῳ.
Ἐπεὶ γοῦν ἡ παράταξις τότε τῶν Αἰγυπτίων.

Τούτου δὴ χάριν εἴρηκεν ἵππον ἐξ ἴσου λόγος.
Τὴν ἀντιστᾶσαν δύναμιν Ἀγγελικὴν ἐκείνοις.
Ἵνα μὴ δόξῃς δὲ λοιπὸν ὑβρίζεσθαι τὴν νύμφην.
Ἐξισουμένην ἐμφανῶς ἵππῳ παρὰ τοῦ λόγου.
Ἄκουσον τί φησιν ἑξῆς πρὸς ταύτην ὁ νυμφίος.

» Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλοί σου
» ὡς ὁρμίσκοι.

Κἂν ἵππῳ ὥσπερ παρείκασα φησὶ δρομικωτάτῳ.
Ἀλλ' οὐκοῦν χρήζεις χαλινοὺς ἐν σιαγόνι φέρειν.
Αἱ σαὶ γὰρ ὡραιώθησαν ἐξόχως σιαγόνες.
Τὴν ἔμφυτον ὡς χαλινὸν ἔχουσαι σωφροσύνην.
Δίκην τρυγόνος σώφρονος. Τρυγόνος φιλερήμου.

Οἱ τράχηλοί σου θαυμαστοὶ καὶ κεκαλλωπισμένοι,
Τὸν χρύσεον βαστάζοντες κλοιὸν τῆς παροιμίας.
Ὁρμίσκος γάρ μοι νόησον, ὃν ἔφην κλοιὸν ὧδε.

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

Ἥπερ ὁ νυμφίος τῆς ἐξ ἐθνῶν Ἐκκλησίας αἰνιξάμενος ταύτῃ, εἴπ' ἐν αὐτῇ ποιμαίνει διὰ τοῦ ἀποκριθῆναι ταύτῃ, τὸ εἰ μὴ ἔγνως σεαυτήν, νῦν ὃ ἠνίξατο ἀποδεικνύων φησί, τῇ ἵππῳ μου ἐν ἅρμασι φαραὼ ὡμοίωσά σε ἡ πλησίον μου. Ταῦτα δὲ ἵνα σαφῆ γένοιντο, οὕτω συντακτέον. Τῇ ἵππῳ μου ὡμοίωσά σε ἡ πλησίον μου ἐν ἅρμασι φαραώ. Ἤγουν τοῖς Ἀποστόλοις μου ἐπιβὰς ἐφ' οὓς τὴν ἱππασίαν ἐποιησάμην ἐπὶ πάντα τῆς οἰκουμένης τὰ πέρατα. Ὀξέως δραμόντας εἰς τὸ ἐμὸν κήρυγμα. Ἐοικυῖαν κατ' ἀρετὴν σε ἀπέδειξα.

Διὸ

Διὸ ὥσπερ ἐν ἐκείνοις ποιμαίνων, δέδειγμαι καὶ ἐν σοί. Ἢ διὰ τὴν εἰς ἐμὲ πίστιν ἐγγύς μου ἐν τοῖς χρηματίσασιν ἅρμασι τοῦ νοητοῦ φαραὼ ἔθνεσιν. Ὡς φέρουσι τὸν ἐν ἑαυτοῖς ἐποχούμενον. Καὶ γὰρ ἵππος μὲν πληθυντικῶς καλεῖται ἡ ἱππικὴ δύναμις. Ἥτις ἐστὶν οἱ ἅγιοι Ἀπόστολοι, κατὰ τὸ ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου. Καὶ ἡ ἱππασία σου σωτηρία. Ἅρματα δὲ τοῦ νοητοῦ φαραώ, τὰ τῶν ἐθνῶν συστήματα, ὡς ἐξηρτημένα τοῦ πονηροτάτου βουλήματος αὐτοῦ. Ἐν οἷς συστήμασιν, ἡ τοῦ κηρύγματος τῶν Ἀποστόλων ἀκούσασα Ἐκκλησία, καὶ πιστεύσασα εἰς τὸν ὑπ' αὐτῶν κηρυττόμενον Χριστόν. Καὶ τούτου πλησίον γενομένη. Ἐπειδήπερ ἡ πίστις τοῦ πιστεύοντος, καὶ τοῦ πιστευομένου, ἄμεσός ἐστιν ἕνωσις, τοῖς Ἀποστόλοις ὡμοίωται παρ' αὐτοῦ τοῦ Χριστοῦ, πεισθεῖσα ταῖς αὐτοῦ ἐντολαῖς, καὶ τὸν Ἀποστολικὸν βίον μιμησαμένη. Λοιπὸν ὅπως ὡμοίωσεν αὐτὴν τοῖς Ἀποστόλοις φησί. Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος. Ἤτοι θαυμασίως αἱ σιαγόνες σου ὡραϊσμέναι εἰσί, μιμησάμεναι τὴν δίκην τρυγόνος ἐνδειξαμένην ἐν ἐγκρατείᾳ τὸ σῶφρον, τῶν Ἀποστόλων ὁμήγυριν. Ἥτις οὐ κατὰ ἔθνη ἀκολάστῳ τῇ τῶν σιαγόνων κινήσει ἐχρήσατο. Πρός τε ἀδολεσχίαις ἐν διαλέξεσι, καὶ βαττολογίαις ἐν προσευχαῖς. Καὶ ἀδδηφαγίαις ἐν βρώμασιν, ἐξ ἧς καὶ ἡ λοιπὴ πᾶσα ἀκολασία ὑφίσταται. Ἀλλὰ μᾶλλον σώφρονι τοσοῦτον, ὥστε τῷ συντετμημένῳ μὲν καὶ συντετελεσμένῳ λόγῳ, τὴν κατηργημένην τῶν ἑλλήνων νικήσασα σοφίαν. Ταῖς δὲ προσευχαῖς, τὴν Βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ μόνον ζητεῖν. Καὶ βρώμασιν, οὐ τοῖς πολυτελέσι καὶ ἡδέσι χρῆσθαι, ἀλλὰ τοῖς ἀναγκαίοις ἀρκεῖσθαι. Κἀντεῦθεν ἐν πᾶσι ζῆν ἐγκρατῶς, καὶ μὴ δὲ πρὸς ἐπίδειξιν ταῦτα ποιεῖν.

 Μᾶλλον

Μᾶλλον δὲ κατὰ τὸ ἀνδρεῖον τοσοῦτον ἐνδείκνυσθαι, ὡς οὕτως ἐπιεικῶς φέρειν, τὸ ἐν τῇ δεξιᾷ σιαγόνι ῥάπισμα, ὥστε στρέφειν τῷ ῥαπίζοντι καὶ τὴν ἄλλην, κατὰ μίμησιν Χριστοῦ, φέροντος ἀνεξικάκως ῥαπίσματα. Καὶ τὸ δυνατὸν τῆς ἐντολῆς τῇ πράξει βεβαιοῦντος. Καὶ κατὰ τὸ φιλέρημον ὄρνεον τὴν τρυγόνα, ἀναχωρησάσης τὴν ἔρημον. Κἀκεῖσε νηστευσάσης, καὶ ὄντως διδαξάσης τὸ ἀνεπίδεκτον, καὶ οὕτω μὲν θαυμασίως ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τὴν σωφροσύνην κατ᾽ ἐπιθυμίαν ἐγκράτεια. Καὶ τὴν ἀνδρείαν κατὰ θυμὸν ἐν ὑπομονῇ ἐπιδειξαμένης σου. Ὁμοίοις δὲ τούτοις συνωραιώθη τράχηλός σου ὡς ὁρμίσκος. Οὐ γὰρ σιδηροῦς σου ὁ τράχηλος, ὡς διὰ τὴν ὑπερηφανίαν, δύσκαμπτος. Ἀλλὰ κέκαμπται διὰ μετριοφροσύνην, ὡς ὁρμίσκος. Ὃς κατασκευασμένος ἐστὶν ἐκ χρυσοῦ. Οὗ τὸ δόκιμον καὶ καθαρὸν, διὰ τὸ ἀνυπόκριτον. Μιμεῖταί σου τὸ ταπεινὸν φρόνημα. Εἰ δὲ τὴν ἀνυπόκριτον ταπεινοφροσύνην ὁ ὁρμίσκος σημαίνει ὡς εἴρηται, ὁ τῆς νύμφης Χριστοῦ τράχηλος ὡς ὁρμίσκοις ἐπαινούμενος, καὶ πλῆθος ἐμφαίνει ἀρετῶν, καὶ τὴν ἐφ᾽ ἑκάστῳ ταπεινοφροσύνην. Ὡς γὰρ ὁ ὁρμίσκος ἐν ὀρθῷ τῷ σχήματι χαλκευθεὶς ὕστερον, κάμπτεται τῇ χρείᾳ συσχηματιζόμενος, οὕτως ὁ τὴν ἀρετὴν τέλειος ταπεινοῦται διὰ συγκατάβασιν. Ὀρθὸς ὢν τῷ βίῳ, καὶ τῇ μετριοφροσύνῃ καμπτόμενος. Τράχηλος δὲ περιβεβλημένος τὴν ταπεινοφροσύνην, τὸ λογικόν ἐστι ψυχῆς, ὃ δίκην τραχήλου συνάπτοντος τὴν κεφαλὴν τῷ λοιπῷ σώματι, συνάπτει τὸν νοῦν τῇ αἰσθήσει. Τοὺς μὲν κατὰ νοῦν λόγους τῶν ἀρετῶν, κατὰ τοὺς τούτου τρόπους κατάγων πρὸς τὴν αἴσθησιν. Τοὺς δὲ τρόπους πάλιν αὐτῶν κατὰ τοὺς τούτων λόγους. Ἀνάγων πρὸς νοῦν. Ὃ καὶ κάμπτεται

διὰ τα-

διὰ ταπεινοφροσύνην. Μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενον, ἀλλὰ διὰ τὸν Χριστὸν συστελλόμενον. Καὶ οὕτω μὲν τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν τῇ ἐξ Ἰσραὴλ ὁμηγύρει τῶν Ἀποστόλων ὡμοίωσε διὰ τῆς εἰς αὐτὸν πίστεως ὁ νυμφίος ταύτης Χριστός. Τὸ τριμερὲς τῆς ψυχῆς δι᾽ ἐγκρατείας καὶ ὑπομονῆς καὶ ταπεινοφροσύνης ἐκ τοῦ παρὰ φύσιν πρὸς τὸ κατὰ φύσιν ἐπαναγαγὼν, καὶ ἀπαλλάξας τῆς διὰ τὴν ἀπιστίαν μελανότητος:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

» Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ, ὡμοίωσά σε ἡ πλη-
» σίον μου.

Τροπικῶς ἐνταῦθα Φαραώ. Τὸν τῆς ἡμετέρας φύσεως προσηγόρευσεν ἀλητήριον, καὶ κοινὸν ἡμῶν πολέμιον. Ὡς τὸν Φαραὼ παραπλησίως ἐν τοῖς ἁγίοις τοῦ βαπτίσματος ὕδασιν ὑποβρύχιον πεποίηκε. Τῇ ἵππῳ μου τοίνυν χρησάμενος, τὰ ἅρματα τοῦ Φαραὼ κατεπόντισα. Ὁμοίωσε κεινῶ πλησίον μου γενομένην, καὶ ἀγάπην περὶ ἐμὲ κτησαμένην. Ἐχρήσατο δὲ, οἱονεὶ ὀχήματι, τῇ τοῦ δούλου μορφῇ ἣν κενώσας ἑαυτὸν ἀνέλαβεν, ἵνα παντὶ τῷ γένει πραγματεύσηται σωτηρίαν. Ταύτῃ τοίνυν τῇ ἵππῳ ἀπεικάζει τὴν νύμφην. Καὶ μαρτυρεῖ τῷ νοήματι. Ὁ Ἀπόστολος οὑτωσὶ λέγων περὶ τοῦ σωτῆρος Χριστοῦ. Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Καὶ πάλιν. Ὑμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. Ἐκ τῶν Ἀποστολικῶν τοίνυν

ῥημά-

ῥημάτων, τὰ μυστικὰ τοῦ ἄσματος νοήσωμεν ῥήματα. Καὶ ἀκούσωμεν τοῦ νυμφίου λέγοντος. Ὅτι σὲ τὴν πλησίον με γενομένην, καὶ διὰ τοῦ πλησίον ὀνομαζομένην, καὶ ἐκ τοῦ πράγματος καρπουμένην τὸ ὄνομα. Τῇ ἵππῳ μου ἐοικέναι φησίν. Ἡ χρησάμενος, τὸν νοητὸν Φαραὼ, σὺν τοῖς ἅρμασιν αὐτοῦ καταποντίσα. Καὶ σοὶ τὴν ἐλευθερίαν ἐδωρησάμην, τούτοις ἐπάγει. Τί ὡραιώθησαν αἱ σιαγόνες σε, ὡς τρυγόνος. τράχηλός σου ὡς ὁρμίσκοι. Ἀλλὰ μὴ πάλιν σαρκικῶς νοήσωμεν τὴν σιαγόνα, καὶ τὸν τράχηλον. Λάβωμεν δὲ εἰς νοῦν, ὅτι καὶ πολλάκις ἡ θεία γραφὴ σωματικοῖς ὀνόμασι, καὶ ἐπὶ τῆς ψυχῆς κέχρηται. Καὶ ποτὲ μὲν φησὶν ὁ Προφήτης Ἱερεμίας. Τὴν κοιλίαν μου τὴν κοιλίαν μου ἐγὼ ἀλγῶ. Καὶ δεικνὺς ὡς οὐ περὶ ταύτης λέγει. Ἐπάγει, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου. Ποτὲ δὲ ὁ μακάριος Παῦλος, λέγει. Τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν. Ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. Οὔτε περὶ χειρῶν, οὔτε περὶ ποδῶν, οὔτε περὶ τῆς ὁρωμένης χωλότητος, ὁ μακάριος παρήνεσε Παῦλος. Ἀλλὰ τὰς πρακτικὰς τῆς ψυχῆς ἐνεργείας, τούτοις τοῖς ὀνόμασι προσηγόρευσεν. Οὕτω τοίνυν νοήσωμεν, τὸ, ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλοί σου ὡς ὁρμίσκοι. Ἐκ πολλῶν γὰρ ἀνδρῶν καὶ γυναικῶν ἡ Ἐκκλησία συγκεκροτημένη, ἔχει τινὰς μὲν σιαγόνας, τινὰς δὲ ὀφθαλμούς. Τινὰς δὲ ἀκοάς. Τινὰς δὲ στόματα. Ἄλλους δὲ χεῖρας, καὶ ἄλλους πόδας ὀνομαζομένους. Ἐπαινεῖ τοίνυν ὁ νυμφίος, τοὺς τὴν σεμνότητα μετιόντας, καὶ τὸ τῆς αἰδοῦς ἐρύθημα κεκτημένους, καὶ φησί. Ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος. Τὴν δὲ τρυγόνα φασὶν οἱ τὰς φύσεις τῶν

ζώων

ζώων συγγεγραφότες. Οὐ φιλέρημον εἶναι μόνον, ἀλλὰ καὶ σώφρονα. Καὶ τόν τε ἄρρενα μιᾷ θηλείᾳ συναπτόμενον, τὴν τε θήλειαν ἑνὶ ἄρρενι κοινωνοῦσαν. Καὶ οὐδὲ μετὰ τὴν ἀποβίωσιν ἑτέρῳ ἢ ἑτέρᾳ συναφθῆναι ἀνεχομένην. Εἰκότως τοίνυν ταύτῃ ἐοικέναι τὴν Ἐκκλησίαν φησί, τὴν τῷ Χριστῷ συναφθεῖσαν, καὶ τὰς τῶν ἄλλων κοινωνίας διαφυγοῦσαν. Καὶ μηδὲ μετὰ τὸν θάνατον αὐτοῦ καταλιπεῖν αὐτὸν ἀνεχομένην. Ἀλλὰ ἀναμείνασαν τὴν ἀνάστασιν, καὶ ἀναμένουσαν αὐτοῦ τὴν δευτέραν παρουσίαν. Καὶ τὸν τράχηλον δὲ αὐτῆς ὁρμίσκοις ἐοικέναι φησί. Περιδέῤῥεον δέ ἐστι τοῦτο καὶ εἶδος κόσμου τὸν τράχηλον καλλωπίζοντος. Ἐπαινεῖ δὲ αὐτὴν καλῶς ἕλκοντα τὸν τῆς εὐσεβείας ζυγόν. Περὶ οὗ φησὶν ἐν Εὐαγγελίοις ὁ νυμφίος. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. Ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. Διὰ τοῦτο ἐν τοῖς ἄσμασι θαυμάζει τὸν τράχηλον τοῦτον φέροντα τὸν ζυγόν. Ὡς οὐ δεόμενον, τῆς ἔξωθεν κοσμήσεως, καὶ ἐπεισάκτου ὡραϊσμοῦ, ἀλλ' οἴκοθεν ἐνέχοντος τὴν εὐπρέπειαν. Ὡς ἀπεικάζεσθαι γυμνὸν ὄντα ὁρμίσκοις. Ἄλλους τραχήλους κοσμῆσαι. Τούτων ὑπὸ τοῦ νυμφίου ῥηθέντων. Ἀποκρίνονται καὶ οἱ δορυφόροι τοῦ νυμφίου, καὶ ὑπισχνοῦνται. Καὶ φασὶ τῇ νύμφῃ:—

„ Ὁμοιώματα χρυσίου ποιήσομέν σοι, μετὰ στιγμάτων
„ τοῦ ἀργυρίου ἕως οὗ ὁ Βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ.

ΘΕΟΔΩΡΗ'ΤΟΥ:-

Δοκοῦσι δέ μοι σημαίνειν ἐνταῦθα, τὸν περὶ τῆς παρουσίας τοῦ δεσπότου Χριστοῦ καιρόν. Καὶ παραμυθοῦνται

τὴν

τὴν νύμφην. Ὅτε πάντα τὸν περὶ τῆς ἀναστάσεως τοῦ Βασιλέως καιρὸν, ἡμεῖς σοι συνεσόμεθα. Καὶ διακοσμήσωμέν σε τῷ δυνατῷ κόσμῳ. Καὶ οὐ καταλείψωμέν σε ἕως ἀναστῇ. Ἀλλὰ προσοίσομέν σοι ὁμοιώματα, χρυσίου καὶ στίγματα ἀργυρίου. Ἀκολούθως δὲ ἔφασαν ὁμοιώματα χρυσίου, καὶ οὐκ αὐτὸν τὸν χρυσόν. Ἐπειδὴ μείζονα τοῦ νυμφίου τὰ δῶρα. Τὰ δὲ τῶν ἐκείνου διακόνων οὐ τὴν ἴσην ἔχει δόξαν. Διὸ τοῖς θείοις Εὐαγγελίοις πλείονα προσφέρομεν τὴν τιμήν. Τιμῶμεν εἰ καὶ νόμον καὶ τοὺς Προφήτας. Καὶ τὰ τῶν ἁγίων Ἀποστόλων συγγράμματα. Εἰκότως τοίνυν ἔφασαν οἱ τοῦ νυμφίου διάκονοι. Ὁμοιώματα τοῦ χρυσίου ποιήσωμέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου. Ἕως οὗ ὁ Βασιλεὺς ἐν ἀνακλήσει αὐτοῦ. Στίγματα δὲ ἀργυρίου καὶ ὁμοιώματα χρυσίου, τὸ ποικίλον τῶν χαρισμάτων νοήσωμεν, καὶ τῆς περὶ ἡμᾶς ὑπὸ τοῦ θεοῦ γινομένης προνοίας. Ἀπολαύομεν γὰρ καὶ τῆς παρ' Ἀγγέλων βοηθείας, παρεμβαλεῖ γὰρ Ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Καὶ τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Καὶ ὁ νόμος δὲ αὐτὸς, Ἀγγέλων διακονούντων ἐδόθη. Διὸ φησὶν ὁ Ἀπόστολος. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος. Ἐν ὅσῳ τοίνυν ὁ Βασιλεὺς ἀνακλίνεται, καὶ ἀνίσταται. Ἡμεῖς φησὶ τὰ δυνατὰ προσοίσομεν. Ἀνάκλησιν δὲ αὐτοῦ, τὸν θάνατον προσαγορεύουσι. Διὸ καὶ ὁ Βαλαὰμ Προφητεύων φησίν. Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν. Καὶ μετ' ὀλίγα. Κατακλιθεὶς, ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἀναστήσει αὐτόν. Οἱ εὐλογοῦντές σε, εὐλόγηνται. Καὶ οἱ καταρώμενοί σε, κεκατήρανται. Ταῦτα δὲ καὶ

ἐν τῇ

ἐν τῇ Προφητείᾳ τοῦ Πατριάρχου Ἰακὼβ, τῇ πρὸς τὸν Ἰούδαν εἰρημένῃ ἐστὶν εὑρεῖν :~

Τῶν τριῶν Πατέρων :-

Οἱ δὲ τοῦ νυμφίου φίλοι, εἶεν δὲ πάντως οὗτοι, οἱ ἅγιοι Ἄγγελοι, ὡς τὸ αὐτοῦ ποιοῦντες πανάγιον θέλημα. Τὰ ἑξῆς ὑπισχνοῦνται τῇ νύμφῃ λέγοντες. Ὁμοιώματα χρυσίου ποιήσωμέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου. Ἕως οὗ ὁ Βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ. Ἤγουν ἐπειδὴ τῆς διὰ τὴν εἰδωλολατρείαν μελανότητος ἀπηλλάγης, καὶ τοῖς Ἀποστόλοις κατ' ἀρετὴν ὁμοιώθης. Καὶ τῆς ἀληθείας κατὰ γνῶσιν ἱερᾶς, τὴν μὲν θείαν φύσιν αὐτὴν τὴν ἀσυγκρίτως πάσης φύσεως ὑπερέχουσαν, καθάπερ τῶν λοιπῶν ὑλῶν ὁ χρυσὸς, παραστῆσαί σοι οὐ δυνάμεθα. Ἀθέατος γάρ ἐστι πᾶσι καὶ ἀκατάληπτος. Εἰκάσματα δέ τινα ταύτης, ἐκ τῆς τῶν ὄντων θεωρίας δηλαδὴ, τοὺς δίκην στιγμάτων ἀργυρίου τηλαυγεῖς, καὶ μερισμένους ἐν τῷ παντὶ λόγους ὑποδείξομέν σοι, ἕως οὗ ὁ τῶν ὅλων δεσπότης, αὐτὴ ἡ ἀλήθεια ἐν ἐπαναπαύσει αὐτοῦ τῇ ἐν σοὶ, οἰκεῖον ἐκ σφράγισμα αὐτὴν ἀποδείξει. Κἀντεῦθεν γνῷς, ἑαυτὴν μὲν εἰκόνα αὐτοῦ καὶ ὁμοίωμα, αὐτὸν δὲ ἐν σοὶ ποιμαίνοντα. Καὶ ὥσπερ ἔν τινι σφραγῖδι ἐν τῷ ἰδίῳ τυπώματι κοιταζόμενον :~

Τοῦ Ψελλοῦ: διὰ Στίχων :-

Οἱ μέντοι φίλοι βλέποντες τούτων τὰς ὁμιλίας,
Καὶ τὸ τῆς νύμφης ζώπυρον πολὺ πρὸς τὸν νυμφίον,
Πρὸς δὲ τὴν συγκατάβασιν ἐκείνου πρὸς τὴν νύμφην,
Κἀκ τούτων ἐπιγνώσαντες τοῦ πράγματος τὸ τέλος.

Ὡς ἄρα καταβήσεται πρὸς ταύτην ὁ νυμφίος.
Ἐπανακλιθησόμενος βασιλικῶς ἐν ταύτῃ.
Τὴν νύμφην εὐτρεπίζουσι δῆθεν καταχρυσοῦντες.
Ἵν᾽ ἐπειδὰν ὁ βασιλεὺς ἐπιδημῆσαι θέλῃ,
Εὑρήσει πρὸς ἀνάπαυσιν αὐτὴν ἑτοιμοτάτην.
Φασὶ γὰρ οὕτω πρὸς αὐτὴν οἱ φίλοι τοῦ νυμφίου.

» Ὁμοιώματα χρυσίου ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ
» ἀργυρίου. Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ.

Ἐπεὶ φησὶν ὁ βασιλεὺς ἀνακλιθῆναι μένει
Ἐν σοὶ τῇ τούτου καθαρᾷ φιλούσῃ καὶ ζητούσῃ.
Δεῦρο λοιπὸν καὶ παρήγμην, καλῶς ἐκμαθεῖσα.
Κἂν γὰρ οὐ λάμπεις ὡς χρυσὸς ταῖς ἀρεταῖς ὡς νύμφη.
Ἀκμὴν γὰρ ἀργυρολαμπεῖς ἀπὸ τῆς σκοτομήνης.
Ἀλλ᾽ ὅμως χρυσαυγήσομεν καὶ παρευνάσομέν σοι.
Χερουβικῷ καὶ φλογερῷ καὶ σεβασμίῳ θρόνῳ:
Ὁ βασιλεὺς γὰρ κατελθὼν ἀνακλιθήσεταί σοι.
Τὴν γὰρ ῥηθεῖσαν ἅπασαν ὧδε δραματουργίαν.
Τὴν θαυμαστὴν ἀλλοίωσιν τῆς νύμφης καὶ παρθένου,
Τὴν ἐξ ἀργύρου πρὸς χρυσὸν φημὶ γεγενημένην,
Παρὰ τῶν φίλων δηλαδὴ τοῦ λόγου καὶ νυμφίου.
Ὡς ἀρρωγήνυμοι νόησον καὶ χάριν πρὸς τὴν νύμφην.
Ἐκ τῶν Ἀγγέλων τοῦ θεοῦ δοθεῖσαν ἐπαξίως.
Τοῦτο γὰρ ἔθος πέφυκε τοῖς φίλοις τοῦ δεσπότου.
Ἵν᾽ ἐπειδὰν ἀθροίσωσι ψυχὴν τινὰ παρθένον.
Ἐπειγομένην πρὸς Χριστὸν καλῶς ἐπαναλῦσαι.
Κύκλωθεν παρεμβάλλουσιν ὡς φύλακες ἐκείνης.
Ἀρήγοντες καὶ φέροντες πρὸς ἐναρέτους τρόπους.

Μέχρις ἂν δείξωσιν αὐτὴν δεξιὰν τῷ δεσπότῃ.
Ἀλλ᾽ ἤδη προχωρήσωμεν τῷ λόγῳ περαιτέρω.
Καὶ τὴν προκόψασαν ψυχὴν ταῖς χάρισι τῶν φίλων.
Ἴδωμεν τί φησιν εὐθύς, αὕτη ὡς πρὸς τοὺς φίλους.
Φησὶ δ᾽ αὐταῖς ταῖς λέξεσιν οὕτω πρὸς τοὺς Ἀγγέλους.

Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ:-

Βλέπεις καρπὸν τῆς προκοπῆς ψυχῆς τῆς ἐναρέτου.
Ἰδοὺ γὰρ ἡ προκόψασα πρὸς ἀρετὰς παρθένος.
Ὥσπερ καὶ προσεγγίσασα τῷ ποθουμένῳ λόγῳ,
Ἐπεγνωκέναι μὲν ἐρεῖ τὸ κάλλος τοῦ νυμφίου.
Πλὴν δι᾽ αἰσθήσεως τινὸς ὀσφραντικῆς καὶ μόνης.
Τίνος δὲ χάριν ἐρωτᾷς, οὐ λέγει μύρον ἄλλον.
Ἀλλὰ τοῦ νάρδου μέμνηται μυρίζειν τὸν δεσπότην.
Τὸ μὲν, ὅτι καὶ πρώτιστον ἐστὶ τῶν ἄλλων μύρων.
Τὸ δ᾽ αὖ, ὅτι καὶ πέφυκεν ἐμφάσεις ἔχον θείας.
Ὥσπερ γὰρ εἴ τις ἄνθρωπος ἐκ τοῦ παρόντος βίου.
Κἂν πάσας φέρων κατορθοῖ τὰς ἀρετὰς ἐμπόνως.
Ἂν μὴ Χριστὸν ἐνδέδυται βαπτίσματι τῷ θείῳ.
Οὐδὲν ὄντως ὀνίνησι ταῖς ἀρεταῖς ἁπάσαις.
Τοῦτον τὸν τρόπον ἴδῃ τις ἀρρήτως ἐν καρδίᾳ,
Παρά τινος τῶν μυρεψῶν κατασκευαζομένου.
Οἱ γὰρ βουλόμενοι ποτὲ κατασκευάσαι νάρδον,
Κἂν εἴδη βάλωσι πολλὰ μυρεψικὰ πρὸς τοῦτο.
Εἰ μὴ καὶ νάρδου βάλωσιν ἥτις ἐστὶ βοτάνη,
Εἰς μάτην πεπονήκασιν ὄντως οἱ ναρδεργάται.
Ἄλλως τε δὲ καὶ προσκληθεὶς Χριστὸς ὁ καὶ νυμφίος,
Εἰς δεῖπνον Σίμωνος λεπροῦ καταπεπονημένου.

Τοῦτο τὸ μύρον ἤλειπται παρὰ τῆς μοιχαλίδος.
Ὁ λόγος τοίνυν μέμνηται τοῦ νάρδου προσηκόντως.-

ΘΕΟΔΩΡΗΤΟΥ.-

Τούτων ἄνωθεν οὕτως ῥηθέντων ὑπὸ τῶν τοῦ νυμφίου διακόνων, πάλιν ἡ νύμφη φησίν. Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ. Ἀπόδεσμος στακτῆς ἀδελφιδοῦς μου ἐμοί. Ζητητέον δὲ πρότερον, τί δήποτε αὐτὸν ἀδελφιδοῦν ὀνομάζει; νύμφην δὲ ἐδιδάχθημεν τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν. Ἀλλὰ καὶ γυναῖκα προτέραν τοῦ νυμφίου, τὴν Ἰουδαίων πληθύν. Λαβοῦσαν Βιβλίον ἀποστασίου, εἰς τὰς χεῖρας αὐτῆς διὰ τὴν οἰκείαν ἀκολασίαν. Ἀδελφαὶ δὲ τυγχάνουσιν, ἄμφω γὰρ τὸν Ἀδὰμ αὐχοῦσι πατέρα. Ἀλλ' ὁ νυμφίος ἐκ τῆς προτέρας ἐβλάστησε κατὰ τὸ ἀνθρώπινον. Φησὶ γὰρ ὁ μακάριος Παῦλος. Πρόδηλον δὲ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος. Καὶ πάλιν, τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν. Ἀλλ' ὡς ἐφ' ἑνὸς καὶ τῷ σπέρματι αὐτοῦ, ὅς ἐστι Χριστός. Καὶ περὶ τοῦ Δαβὶδ φησὶν ὁ μακάριος Πέτρος. Ὅτι Προφήτης ὑπάρχων. Καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεός. Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ, τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν. Προϊδὼν ἐλάλησε περὶ τοῦ θανάτου, ὅτι οὐκ ἐγκατελήφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου. Οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Ἐπειδὴ τοίνυν ἀδελφιδαὶ τυγχάνουσαι, ἥτε Ἰουδαίων πληθύς, καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία. Ἐκείνης δὲ υἱὸς ὁ Χριστὸς τὸ κατὰ σάρκα. Εἰκότως αὐτὸν ἀδελφιδοῦν ἡ νύμφη καλεῖ, ὡς τῆς ἀδελφῆς αὐτῆς υἱὸν γενόμενον κατὰ τὸ ἀνθρώπινον. Οὗτος τοίνυν ὁ ἀδελφιδός μου ἐμοί. Καὶ νάρδος ἐστὶ καὶ ἀπόδεσμος στακτῆς.

Πολλοῖς

Πολλοῖς γὰρ αὐτὸν ὀνόμασι προσαγορεύω, ὑπὸ τῆς εὐοσμίας τοῦ μύρου αὐτοῦ καταθελγομένη. Καὶ οὐ δύναμαι ἑνὶ ὀνόματι χρήσασθαι. Πάσας γὰρ ὁ μὲν τὰς προσηγορείας, νικᾷ τῆς εὐοσμίας τῶν χαρίτων αὐτοῦ ἡ δύναμις. Ἀλλ' ὑπὸ τῆς ἀγάπης αὐτοῦ νικωμένη. Καὶ νάρδον αὐτὸν ὀνομάζω. καὶ ἀπόδεσμον στακτῆς προσαγορεύω. Νάρδον μὲν, ὡς καὶ ἀληφέντα τῇ νάρδῳ τῇ πιστικῇ τῇ πολυτίμῳ. Ἧς ἡ ὀσμὴ ὅλον τὸν οἶκον ἐπλήρωσε. Τόπον ἔχοντα τῆς οἰκουμένης. Ἐπλήρωσε γὰρ τῆς εὐώδους πίστεως τὴν οἰκουμένην, ἡ ὑπὸ τῶν εὐσεβῶν τῷ κυρίῳ προσενεχθεῖσα θεραπεία. Ἀπόδεσμον δὲ αὐτὸν καλῶ στακτῆς, ἐπειδὴ αὐτὸς κατέβη ὡς ὑετὸς ἐπὶ πόκον. Καὶ ὡσεὶ σταγὼν, ἡ στάζουσα ἐπὶ τὴν γῆν. Κέκληται δὲ ὑπὸ τῶν Προφητῶν καὶ σταγών. Ἔσται γάρ φησιν ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου, συναγόμενος συναχθήσεται Ἰακώβ. Ἰστέον δὲ ὅτι ὁ σύμμαχος καὶ ὁ ἀκύλας, σμύρνην τὴν στακτὴν ὀνομάκασι. Δηλοῖ δὲ ἡ σμύρνα τοῦ νυμφίου τὸν θάνατον, καὶ τὴν ἐκεῖθεν εὐοσμίαν τῇ νύμφῃ προσέθηκε δέ:~

» Ὅτι ἀναμέσον τῶν μαστῶν μου
» αὐλισθήσεται.

Τουτέστιν ἐν τῷ ἡγεμονικῷ τῆς ψυχῆς μου. Ὅτι καρδία ἐπαναπαύεται μεταξὺ τῶν μαστῶν διακειμένη. Δηλοῖ δὲ τοῦτο τῆς Προφητείας τὸ πέρας τῆς ὑπὸ τοῦ θεοῦ λεγομένης. Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. Καὶ ἔσομαι αὐτῶν θεός. Καὶ αὐτοὶ ἔσονταί μοι λαός. λέγει κύριος παντοκράτωρ. Καὶ αὐτὸς δὲ ὁ νυμφίος ὑπισχνεῖται λέγων. Ὅτι ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσωμεν.

Διὸ

Διὸ καὶ ὁ Παῦλος βοᾷ. Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. Τούτου ἡ νύμφη φησὶν, ἀναμέσον τῶν μαστῶν μου αὐλισθήσεται:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ΄ΡΩΝ:-

ΕΝ τεῦθεν οὖν ἡ νύμφη τοῖς τῶν ἀρετῶν διαφόροις κατὰ πρᾶξιν μὲν τρόποις. Κατὰ θεωρίαν δὲ λόγοις καθαρθεῖσα καὶ φωτισθεῖσα. Εἶτα εἰς τελειότητα ἀναγομένη πρὸς τοὺς τὰ προειρημένα πρὸς αὐτὴν φυσιοῦντας φίλους τοῦ νυμφίου ἀποκρινομένη, φησὶν. Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ. Ἤγουν ἡ ἐκ τῶν διαφόρων κατὰ πρᾶξιν τρόπων, καὶ κατὰ θεωρίαν λόγων δίκην, τῆς ἐκ διαφόρων ἀρωμάτων συγκειμένης νάρδου κραθεῖσά μοι ἔμπρακτος γνῶσις, παρέσχεν ἔμφασιν αὐτοῦ, τοῦ κατ' οὐσίαν ἀπροσίτου νυμφίου. Οὗ τὸν χαρακτῆρα φέρω, ὡς εἰκὼν αὐτοῦ καὶ ὁμοίωμα. Μίγμα γὰρ αὕτη τῶν ἐν τῷ παντὶ μετοχῶν τοῦ ἑνὸς τῶν ὅλων αἰτίου ὑπάρχουσα. Ὡς κρᾶμα κατὰ φύσιν οὖσαν, νοητῆς καὶ αἰσθητῆς κτίσεως. Καὶ κατὰ γνώμην τοὺς ἐν τῷ παντὶ λόγους καὶ τρόπους ἐν ἑαυτῇ κεράσασα. Κἀντεῦθεν ἀποδοῦσα τῷ κατ' εἰκόνα, τὴν καθ' ὁμοίωσιν τρόπων, ἐν ἑαυτῇ τοῦτον δεικνύει ὡς ἐν εἰκόνι ἀρχέτυπον. Ἐπεὶ δ' ὡς εἴρηκεν ἐν αἰσθήσει γέγονε τοῦ νυμφίου. Τί ταύτῃ αὐτός ἐστι, φησὶν. Ἀπόδεσμος στακτῆς ἀδελφιδός μου ἐμοί. Ἤτοι συνοχή ἐστιν ἐμοὶ καὶ συντήρησις, τῆς μεταδοτικῆς σταγόνος τῆς θείας χάριτος. Ὃ κατὰ τὴν τοῦ συμμάχου ἑρμηνείαν ἀγαπητός μου. Ἐπείπερ αὐτὸς πιστευόμενος. Τὰ πνευματικὰ συντηρεῖ τῇ Ἐκκλησίᾳ χαρίσματα. Καὶ ἱστᾶ τοὺς πιστοὺς, τοῦ μὴ ἀπὸ τῆς ἀληθείας τρέπεσθαι. Εἶτα ὅπου ἐν αὐτῇ περιπολεύσας. Τὴν ἀτρε-

ψίαν

ψίαν ταύτῃ χαρίσεται, φάσκει. Τούτων δὲ μέσον ἡ καρδία ἐστὶν, ἐξ ἧς τῷ λοιπῷ σώματι, τὸ ζωτικὸν διαδίδοται πνεῦμα. Ἥτις ὑπεμφαίνει τὸν ἡγεμόνα νοῦν, ἐν ᾧ περιπολεύσει ὁ κύριος. Ὅταν ἡ νύμφη αὐτοῦ διὰ τελειότητα αὐτῷ κολληθεῖσα, πνεῦμα γένηται ἕν. Εἰσοικιζομένη τὴν ἕξιν τῆς ἀρετῆς· διὰ τῆς τοῦ παναγίου πνεύματος ἐνεργείας. Δι' ἧς ἡ ἐν Χριστῷ κεκρυμμένη ζωὴ εἰς πάσας τὰς τῆς ψυχῆς δυνάμεις ὡς ταύτης μέλη διαδοῦσα, ἀτρεψίαν αὐταῖς ἐμποιήσει. Καὶ οὕτω μὲν ὁ νυμφίος τῇ νύμφῃ ἔσεται τῶν καλῶν ἀτρεψία, ὅταν τελεία ἀναδειχθῇ:~

Τοῦ Ψελλοῦ:-

Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τῶν ἑξῆς λογίων.
Ἡ νύμφη γὰρ ταῖς προκοπαῖς ὡς ἔνθους γινομένη.
Ἔτι συνείρειν ἀγαπᾷ τὸν λόγον πρὸς τοὺς φίλους.
Φησὶ γοῦν τάδε πρὸς αὐτοὺς, μετὰ τὸν νάρδου λόγον.

» Ἀπόδεσμος στακτῆς ἀδελφιδός μου ἐμοὶ ἀναμέσον τῶν
» μαστῶν μου αὐλισθήσεται.

Ἔθος ἐστὶν ὡς λέγουσι κόραις ταῖς φιλοκόσμοις.
Μὴ μόνον ἔξωθεν αὐτὰς ἐξόχως καλλωπίζειν.
Ὡς ἐφελκύσωσιν αὐτῶν τὸν ἐραστὴν ἐν τάχει.
Ἀλλὰ καὶ μᾶλλον ἔσωθεν αὐτῶν τῶν ἱματίων,
Κατασκευὰς τιθέασιν ἀπὸ τῶν μυρεπνόων.
Ἐπεὶ γοῦν γεγυναίκισαι τῷ λόγῳ τῶν ᾀσμάτων,
Ἡ παρθενεύουσα ψυχὴ καὶ τρόποις ἀρρενόφρων,
Καὶ νυμφικῶς συνέσταλται πρὸς γάμους ἐπειγομένη.
Λόγους τινὰς γυναικικοὺς εἰκός ἐστι, καὶ λέγειν.

Κἀν

Κἂν ἰσχύωσιν ἀπόρρητον τὸν λογισμὸν ἐν βάθει.
Τοῦτο γοῦν λέγει περιφανῶς ὥσπερ αἰκιζομένη.
Ὅτι κἂν φέρωσι τινὲς γυναῖκες ἄλλα μύρα.
Πρὸς ἔρωτα θερμότερον, ἔνδον τῶν ἱματίων.
Ἀλλ᾽ ἔγω γε μυρίσματος ἀντὶ παντὸς εὐώδους,
Αὐτὸν ἐκεῖνον κτήσομαι τὸν κάλλιστον νυμφίον.
Ὥσπερ ἀπόδεσμόν τινα μύρων εὐωδεστάτων.
Καλῶς ἀπηωρήσασα περὶ τὸν τράχηλόν μου.
Μᾶλλον δὲ τοῦτο καθαρῶς αἰνίσσεται τῷ λόγῳ.
Ὅτι κἂν ἄλλαι τῶν ψυχῶν τῷ βίῳ πεφυρμέναι,
Ἄλλας φροντίδας ἔχωσι τῶν κοσμικῶν πραγμάτων.
Ἐγὼ δ᾽ ἀλλὰ τὴν ἡδονὴν γνοῦσά μου τοῦ νυμφίου,
Αὐτὸν χαράξω ταῖς πλαξὶ ταῖς τῆς ἐμῆς καρδίας.
Μαστῶν γὰρ μέσον πέφυκεν ὁ τόπος τῆς καρδίας.

» Βότρυν τῆς Κύπρου ἀδελφιδός μου ἐμοὶ ἐν ἀμπελῶ-
» σιν ἐνγαδδί.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἀπορoῦσα ἡ νύμφη ποῖον ὄνομα ἐπιθῇ τῷ νυμφίῳ, τῇ δὲ κἀκεῖσε περινοσεῖ. Καὶ πανταχόθεν προσηγορίας ἐρανιζομένη, ἐπιτίθησιν αὐτῷ. Ἐπειγομένη μὲν ὑπὸ τῆς ἀγάπης αὐτοῦ καλεῖν. Οὐ δυναμένη δὲ εὑρεῖν τὴν ἀξίαν προσηγορίαν. Διὸ πάλιν βότρυν αὐτὸν ὀνομάζει Κύπρου. Τουτέστι κυπρίζοντα. Ἄρτι τοῦ ἀνθεῖν ἀρξάμενον. Εὐώδης γὰρ ἡ ἄμπελος, κατ᾽ ἐκεῖνον τὸν καιρόν. Προστίθησι δὲ ὅτι καὶ ἐν τοῖς ἀμπελῶσιν, ἐνγαδδί. Τοιοῦτός ἐστιν εὐώδης. Εἰ μὲν οὖν τὸ χωρίον σημαίνει τὸ ἐν τῇ Ἰουδαίᾳ. Ὡς ἀμπελῶσι θαυ-

μαστοῖς κεκοσμημένον. Νοητέον τροπικῶς, ὅτι ὑπὲρ ἐκείνας τοὺς ἀμπέλους, εὐώδης σου ὁ βότρυς ὑπάρχει. Εἰ δὲ διὰ τὴν τοῦ ὀνόματος σημασίαν τὴν προσηγορίαν τοῦ ἐνγαδδὶ τέθεικεν. Ὅπερ ἑρμηνεύεται ὀφθαλμὸς πειρατηρίου. Νοητέον οὕτως. Ὅτι καὶ ἐν πειρασμοῖς ὑπάρχουσα, καὶ ὑπὸ πολλῶν πολεμουμένη, τῆς σῆς εὐοσμίας ἀντιλαμβάνομαι. Καὶ τῶν κατὰ τὸν παρόντα καιρὸν ἀνθούντων ἀμπελώνων, τροπικῶς νοουμένων. πειρατηρίου δὲ ὄντων μέσου. Πειρατήριον γάρ ἐστιν ὁ βίος ἀνθρώπου, ἐπὶ τῆς γῆς, παρ᾽ ἐκείνῳ τὴν εὐοσμίαν τοῦ κυπρίζοντός σου βότρυος. Εἰ δὲ ὁ ἄρτι ἀνθῶν, τοιοῦτός ἐστι. Σκοπητέον οἷος ὁ περκάζων. Καὶ πόσον τούτου κρείττων. Ἐνθυμητέον οἷος ὁ πέπειρος, καὶ ταῖς ληνοῖς ἐπιτήδειος. Ἡγοῦμαι γὰρ τὸν αὐτὸν ἀναλόγως ταῖς πνευματικαῖς ἡλικίαις. Τοῖς μὲν, ἀνθεῖν. Τοῖς δὲ, ὀμφακίζειν. Τοῖς δὲ ὑποπερκάζειν. Τοῖς δὲ ὑποπέπειρον εἶναι, ὑπὸ δὲ τῶν τελείων πίνεσθαι. Τὸ γὰρ ποτήριον αὐτοῦ, μεθύσκον ὡσεὶ κράτιστον:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:-

» Βότρυς τῆς Κύπρου ἀδελφιδός μου ἐμοὶ ἐν ἀμπελῶσιν
» ἐν γαδδί.

Ἤτοι δίκην σταφυλῆς ἔτι ἀνθούσης. Καὶ τὸν εὐφραντικὸν τῆς καρδίας οἶνον ἐπαγγελλομένης ὁ ἀγαπητός μου καρποφορεῖταί μοι διὰ τὴν ἐμὴν ἀτέλειαν. Ὡς ἐν ἀμπελῶσι, ταῖς διαφόροις τῶν ὄντων φύσεσιν. Αἵ εἰσι διορατικαὶ ἐν τῷ ὀφθαλμῷ τοῦ πειρατηρίου, ὅπερ ἑρμηνεύεται τὸ γαδδί. Δηλονότι τῇ ὄψει τοῦ βασανίζοντος τὰς φύσεις καὶ τὴν ἐν ὅλοις ἀλήθειαν ἐρευνῶντος λόγου. Οὗτος γὰρ ταύτας διερευνώμε-

νος ὡς ἀνθοῦντα βότρυν τοῖς τούτων λόγοις, καρποφορεῖ τὴν ἀλήθειαν. Ἥτις ὥσπερ ἐξ ἧς οἶνος τὸν νοῦν ἐκστήσει τῶν τύπων. Ὃ πλὴν καὶ τοῦ ἐν τῷ παντὶ διαφόρους λόγους περὶ ἑαυτὴν συνάψει ἑνοειδῶς :~

Τοῦ Ψελλοῦ :-

Ἐχόμην δ' ἔτι λείψανον τῶν ἐκ τῆς νύμφης λόγων,
Ὅπερ ὡς ἔστιν ἐφικτὸν τανῦν ἑρμηνευτέον.
Λέγει γὰρ οὕτω πρὸς αὐτοὺς ἡ νύμφη τοὺς Ἀγγέλους.

» Βότρυς τῆς Κύπρου ἀδελφιδός μου ἐμοὶ ἐν ἀμπελῶ-
» σιν ἐν γαδδί.

Ὢ τῆς καλῆς ἐναλλαγῆς τῆς προκοπῆς τῆς νύμφης.
Ἡ πρὸ μικροῦ γὰρ ἐμφανῶς ἵππῳ παρεικασθεῖσα.
Ἄρτι λαμπρῶς προκόψασα ταῖς χάρισι τῶν φίλων.
Ὡς βοτρυφόρον ἄμπελον αὐτὴν ἐπιγινώσκει.
Ψυχὴ γὰρ πᾶσα καθαρὰ ποθοῦσα τὸν δεσπότην.
Πάντοτε πάντα γίνεται τῇ προκοπῇ τῶν ἔργων.
Νυνὶ μὲν θρόνος Χερουβὶμ, καὶ θρόνος Βασιλέως.
Νῦν δ' ἄμπελος κατάκαρπος ἐν ταῖς αὐλαῖς κυρίου.
Ὅπερ οὖν λέγει καθαρῶς ἡ νύμφη τοῦτο λέγει.
Ὡς ἔγνων τὸν ἀδελφιδοῦν, τουτέστι τὸν νυμφίον.
Ὅστις ἀπέσταξεν ἡμῖν γλεῦκος ἀθανασίας.
Οὐκ ἔστι πάσαις ὥριμος ψυχαῖς ταῖς ἐν ἀρεταῖς.
Ἀλλ' ἐξαλλάσσει τὸ τερπνὸν εἶδος αὐτοῦ πολλάκις.
Κατὰ τὸ μέτρον δηλαδὴ τῶν ἀρετῶν ἑκάστου.
Ἀνθεῖ γὰρ ἄλλαις τῶν ψυχῶν, ἐν ἄλλαις δὲ κυπρίζει.
Ἐν ἄλλαις δ' ὥριμός ἐστιν, ἐν ἄλλαις δὲ περκάζει.

Ἡ νύμ-

Ἡ νύμφη τοίνυν φέρουσα κυπρίζοντα τὸν βότρυν.
Δείκνυσιν ὅτι προκοπὴν οὐκ ἔφθασε τελείαν.
Εἶθ' ὥσπερ ἐπαυξάνουσα τοῦ κυπρισμοῦ τὸ κάλλος.
Οὕτως φησὶ κυπρίζει μοι Χριστὸς ὁ καὶ νυμφίος.
Ὥσπερ κυπρίζουσι τερπνῶς ἐν τῷ γαδδὶ τῷ τόπῳ.
Οἱ τῶν ἀμπέλων βότρυες εὐώδεις πεφυκότες.
Γῆ γὰρ ὥς φασι τοῦ γαδδὶ ἀμπελοτρόφος οὖσα.
Τὴν πᾶσαν ὑπερήλασεν, εἰς τὴν ἡ εὐβοτρύαν.
Τῆς γοῦν ἁγνῆς, καὶ καθαρᾶς ψυχῆς εἰπούσης τάδε.
Ὁ λόγος ἀποκρίνεται λέγων τῇ νύμφῃ ταῦτα.

» Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου ἰδοὺ καλή. Οἱ ὀφθαλ-
» μοί σου περιστεραί.

Ὥσπερ οἱ χρυσογνώμονες οὕς φασι χρυσοχόους.
Ἂν τὸν χρυσὸν θελήσωσι τὸν κεκιβδηλωμένον.
Λαμπρότερον ἐργάσασθαι, καὶ καθαρὸν ἐξόχως.
Πολλάκις βάλλουσιν αὐτὸν ἐν τοῖς χωνευτηρίοις.
Τοῦτον τὸν τρόπον δείκνυσι τὴν νύμφην νῦν ὁ λόγος.
Ὁ τῶν ψυχῶν θεραπευτὴς τῶν μεμελανωμένων.
Ἵππῳ γὰρ ταύτην πρότερον, τῷ λόγῳ παρεικάσας,
Καὶ δείξας ἔτι χαμερπῆ τυγχάνειν τὴν παρθένον.
Πρὸς ἀρετὴν ἠρέθισε ταύτην ὑψηλοτέραν.
Ἡ δὲ, προκόψασα τελείως ταῖς χάρισι τῶν φίλων.
Γίνεται θρόνος πύρινος τοῦ πάντων Βασιλέως.
Ἀλλ' ἔτι πάλιν φθάνουσα ταῖς ἀρεταῖς εἰς ὕψος.
Καὶ πάλιν προσεγγίσασα τῷ καθαρῷ νυμφίῳ.
Λαμπρῶς ἐγκωμιάζεται, καὶ παρὰ τοῦ νυμφίου.
Ἰδοὺ γὰρ ἡ καλὴ φησι, καὶ πλήρης μου πλησίον.

Εἶτα διπλοῦν τὸν ἔπαινον τοῦ κάλλους ἐπιφέρων.
Πάλιν ἰδοὺ φησὶ καλὴ τυγχάνεις ὦ παρθένε.
Ἔχεις γὰρ ὄμματα τερπνὰ περιστερᾶς παρθένου.
Ὁπότε σου τοὺς ὀφθαλμοὺς ἀπέστρεψας τῆς πλάνης.
Καὶ πρὸς ἐμὲ τὸν πλαστουργὸν τὸν σὸν ἐνατενίζεις.
Περιστερᾶς δὲ μέμνηται νῦν ὀφθαλμὸς λόγος.
Τὸ καθαρὸν τοῦ βλέμματος σημαίνων τῆς παρθένου.
Καὶ γὰρ τοιοῦτον καθαρὸν ἔχει ἐκείνη βλέμμα.
Ὥστε κατ᾽ εἶδε καθαρῶς τὸν κάλλιστον νυμφίον.

Τούτων ὑπὸ τῆς νύμφης ῥηθέντων, πάλιν αὐτῇ ὁ νυμφίος προσδιαλέγεται καὶ φησίν :-

» Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου ἰδοὺ εἶ καλή, ὀφθαλμοί σου
» περιστεραί.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἐπαινεῖ αὐτῆς πάλιν τὸ κάλλος, καὶ θαυμάζει τὴν ὥραν, καὶ τῷ διπλασιασμῷ τὴν εὐπρέπειαν αὐτῆς ἐκπλήττεται. Πρὸ δὲ πάντων, τοὺς ὀφθαλμοὺς αὐτῆς ἐγκωμιάζει, καὶ φησίν. Οἱ ὀφθαλμοί σου περιστεραί. Τουτέστι πνευματικοί. Ἐν εἴδει γὰρ περιστερᾶς ἐπεφοίτησε τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐνῴκησε τῷ νυμφίῳ. Διὰ τοῦτο οὐ λέγει τό, ὡσεὶ περιστεράς, ἀλλὰ περιστεραί. Τουτέστι πνευματικοί, χάριτος θείας πεπληρωμένοι. Ἀχλύος ἐλεύθεροι, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι. Καὶ τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. Καὶ δυναμένη λέγειν, ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ:~

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Οὕτω τοίνυν τὴν νύμφην ὁ νυμφίος ὁρῶν. Κατὰ πρᾶξιν μὲν καθαράν. Κατὰ θεωρίαν δέ, πεφωτισμένην. Φησὶ πρὸς αὐτήν. Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου ἰδοὺ εἶ καλή. Ὀφθαλμοί σου περιστεραί. Ἤγουν ἰδοὺ ὑπάρχεις ὡραία κατὰ μετοχὴν τῆς ἐμῆς ὡραιότητος. Ὡς τὸ διὰ τὴν πρώην ἀπιστίαν αἶσχος ἀποβαλλομένη, καὶ ἐγγίσασά μοι κατ᾽ ἀρετὴν ἐν τῷ μιμήσασθαι τοὺς ἐμοὺς μιμητὰς Ἀποστόλους. Ἰδοὺ ὑπάρχεις ὡραία ὡς παρὰ τῶν Ἀγγέλων μου, τὰς ἐν τῷ παντὶ διδαχθεῖσα ἐμφάσεις μου. Κἀντεῦθεν ὡραϊσθεῖσα, καὶ κατὰ γνῶσιν ἐπειδήπερ οἱ νοεροὶ ὀφθαλμοί σου πνευματικοί. Ἐν τῷ μὴ ἀπατᾶσθαι τοῖς ἐν αἰσθήσεσι τερπνοῖς. Ἀλλ᾽ ὡς ἐν ἐσόπτροις τούτοις τὰ κεκρυμμένα διορᾶν νοητὰ κάλλη:-

Ἀποκρίνεται πάλιν ἡ νύμφη, καὶ φησίν.

» Ἰδοὺ καλὸς ἀδελφιδός μου καί γε ὡραῖος πρὸς κλίνην
» ἡμῶν σύσκιος. Δοκοὶ οἴκων ἡμῶν. Κέδροι. Φατνώμα-
» τα ἡμῶν κυπάρισσοι.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Μέχρι μὲν οὖν τοῦ παρόντος, τὴν εὐοσμίαν αὐτοῦ διετέλει θαυμάζουσα. Νῦν δὲ αὐτοῦ καὶ τὴν ὥραν ἐκπλήττεται. Φωτισθεῖσα τοὺς ὀφθαλμούς. Καὶ πνευματικοὺς αὐτοὺς κτησαμένη, ὡς καὶ περιστερᾶς ὀνομασθῆναι. Διό φησιν. Ὅτι καλὸς καὶ ὡραῖος, ὁ ἀδελφιδός μου. Κλίνην δὲ ὡς οἶμαι, τὴν θείαν καλεῖ γραφήν. Ἐν ᾗ ὅτε νυμφίος, καὶ ἡ νύμφη διαναπαυόμενοι, κοινωνοῦσιν ἀλλήλοις κατὰ τὴν πνευματικήν

ματικὴν

ματικὴν κοινωνίαν. Καὶ ὁ μὲν, δίδωσι τοῦ λόγου τὰ σπέρματα. Ἡ δὲ δεχομένη, συλλαμβάνει καὶ κύει, καὶ ὠδίνει, καὶ βοᾷ μετὰ τοῦ Προφήτου. Διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐκυήσαμεν ἐπὶ τῆς γῆς. Σύσκιον δὲ καλεῖ τὴν κλίνην ὡς βοηθουμένην ὑπὸ τῆς τοῦ πνεύματος χάριτος. Καὶ τοῦ καύματος τῆς ἁμαρτίας ἀπηλλαγμένην. ὅπερ γὰρ ἡ νεφέλη τῷ Ἰσραὴλ γέγονε, τοῦτο ἡμῖν ἡ τοῦ πνεύματος βοήθεια. Διὰ τοῦτό φησι. Πρὸς κλίνην ἡμῶν σύσκιος. Δοκοὶ οἴκων ἡμῶν κέδροι. Φατνώματα ἡμῶν κυπάρισσοι. Ταῦτα δὲ τὰ εἴδη τῶν ξύλων παρέλαβεν. Ἐπειδὴ ἡ μὲν κέδρος ἔχει τὸ ἄσηπτον. Ἡ δὲ κυπάρισσος, τὸ εὐῶδες. Ἀμφότερα δὲ παρὰ τῇ θείᾳ γραφῇ ἐστιν εὑρεῖν. Ἥτις ἡμῶν οὐ μόνη κλίνη. Ἀλλὰ καὶ οἶκος τυγχάνει καὶ τράπεζα, καὶ τροφή. Καὶ οὐ μόνον τὴν εὐωδίαν παρέχει, ἀλλὰ καὶ τὸ ἄσηπτον, καὶ τὸ ἀπαθὲς καὶ ἀθάνατον ἐπαγγέλλεται. Εἰ δέ τις βούλοιτο οἴκους τῆς νύμφης. Καὶ τὰς ἀπανταχοῦ γῆς καὶ θαλάσσης Ἐκκλησίας καλεῖν, οὐ διαμαρτήσεται τῆς ἀληθείας. Τῶν κέδρων καὶ τῶν κυπαρίσσων, τροπικῶς νοουμένων. Τῶν μὲν ὡς δοκῶν τιμιωτέρων. Αἱ γὰρ δοκοὶ, τὸν ὄροφον φέρουσι. Τῶν δὲ ὑποδεεστέρων φατνωμάτων, ὀνομαζομένων.

Οὕτως ἐπαινεθεὶς ὁ νυμφίος ὑπὸ
τῆς νύμφης. Διδάσκει
ὡς οὐδέπω
τὸ ἀληθινὸν αὐτοῦ, τεθέαται κάλλος. Ἀλλ' ἔτι
τῇ τοῦ κάλλους ἐνετρύ-
φησε σκιᾷ:-

(?)

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Πρὸς ταῦτα δὲ ἡ νύμφη ἐπειδὴ παρὰ τοῦ νυμφίου μεμαρτύρηται πνευματικοὺς ἔχειν ὀφθαλμοὺς. Κἀντεῦθεν μὴ ἀπατωμένους, ἀλλὰ τὸ κυρίως καλὸν. Ὅθεν ἡ ὡραιότης αὐτῇ γέγονε κατὰ μετοχὴν γνωρίζουσα. Τάδε φησίν. Ἰδοὺ εἶ καλὴ ἀδελφιδός μου. Δηλονότι σὺ μόνος ἂν δικαίως λέγῃ ὁ καλὸς ὁ ἀγαπητός μου. Οὐ κατὰ μετοχὴν, καλὰ τὰ καλά. Καίγε ὡραῖος τῷ ἀπροσίτῳ κάλλει, τῆς οὐσίας. Ὁ γοῦν οὕτως ὡραῖος. Πρὸς κλίνην ἡμῶν σύσκιος. Ἤτοι ἐν τῇ ἡμετέρᾳ φύσει ἐφ' ἧς ὡς ἐπὶ κλίνης ἀναπαύη ἡ τοῦ θεοῦ καὶ πατρὸς ὁλολαμπὴς ἡ ἄσκιος ἀκτὶς, σκιωδῶς ὁρᾷ ὡς ἐν εἰκόνι ἀρχέτυπον. Ἐπεὶ δὲ καὶ οἰκητήριον σου ἡμεῖς, ἡ πιστεύσασα εἰς σὲ Ἐκκλησία ἐσμέν. Δοκοὶ ἡμῶν κέδροι. Ἤγουν τὰ τῆς εὐσεβείας δόγματα, ἃ δίκην δοκῶν συνέχουσιν οἰκίαν. Τὴν τῶν πιστῶν Ἐκκλησίαν συνέχουσιν οἷα περ κέδρος ἑδραίως ἐρριζωμένοι. Τῇ εἰς Χριστὸν στερρᾷ πίστει ἡδραίωνται. Καὶ ταῖς προσβαλλούσαις τῇ Ἐκκλησίᾳ. Δίκην συμφορῶν αἱ ῥέοντες καὶ πειρασμῶν, οὐκ ἐῶσι ταύτην καταπεσεῖν. Φατνώματα ἡμῶν κυπάρισσοι. Φατνώματα δέ εἰσι, διαποικίλλουσαι τὸ τῆς ὀροφῆς κάλλος, ἐναρμόνιος καὶ γλυφώδης πῆξις σανίδων. Αἵπερ ἐὰν ὦσιν ἐκ κυπαρίσσων τὸ εὔπνουν τε ἔχουσι. Καὶ σηπεδόνος σχεδὸν εἰσὶν ἀπαράδεκτοι. Ὧν δίκην αἱ ἀρεταὶ τὴν Ἐκκλησίαν καθωραΐζουσι. Καὶ τῆς τῶν παθῶν σηπεδόνος εἰσὶν ἀπαράδεκτοι. Καὶ εὐωδίαν πνευματικὴν ἀφιᾶσι, τοῖς γεγυμνασμένοις τὰ τῆς ψυχῆς αἰσθητήρια:~

Τὴν

ΤΗν νύμφην ἐπαινέσαντος τοῦ καθαροῦ νυμφίου.
Ἀνταποκρίνεται λοιπὸν κἀκείνη τὸν νυμφίον :-

Τοῦ Ψελλοῦ :-

» Ἰδοὺ καλὸς ἀδελφιδός μου καὶ φύσει ὡραῖος.

ΙΔοὺ καλὸς φησὶ καὶ σὺ τυγχάνεις ὦ νυμφίε.
Ὥσπερ δ' ἐκεῖνος εἴρηκε διπλοῦς αὐτὴν ἐπαίνους.
Καλῶς εἰποῦσα πέφυκας νυμφίε καὶ ὡραῖος.
Ἀδελφιδοῦν δ' ὠνόμασεν ἡ νύμφη τὸν δεσπότην.
Τὴν ἀπὸ τῆς σαρκώσεως αὐτοῦ πρὸς τοὺς ἀνθρώπους.
Αἰνιττομένη προφανῶς συγγενικὴν μερίδα.
Ἣν μάλιστα πλατύτερον κάτωθεν διδαχθεῖσα.
Ἀντεπαινέσασα, καὶ γὰρ ἡ νύμφη τὸν νυμφίον.

» Πρὸς κλίνην ἡμῶν σύσκιος.

ἮΛθες φησὶ πρὸς τὴν ἡμῶν ἀσθενεστάτην κλίνην.
Τὴν ἀστραπὴν τὴν θεϊκὴν ἐντέχνως συσκιάσας,
Εἰ μὴ γὰρ ἔκρυψας αὐτὴν οἷς οἶδας τρόποις μόνος.
Τάχ' ἂν κατηναλώθημεν ἐξ ἀστραπῆς τῆς θείας.
Ὅλον δὲ τοῦτο πέφυκε τοῦ λόγου τὸ κρυψίνουν.
Ἐπεὶ γὰρ οἱ νυμφαγωγοί, καὶ φίλοι τοῦ νυμφίου.
Ὡς ἄνωθεν εἰρήκαμεν τὸν λόγον περὶ τούτου.
Ὑπαργυρείζεσαν αὐτὴν ἐχρύσωσαν τοῖς τρόποις.
Καὶ κλίνην ἀπειργάσαντο βασιλικὴν πορφύραν.
Ἐπανεκλίθη γοῦν ὁ βασιλεὺς ἐν ταύτῃ.
Λοιπὸν ἡ νύμφη πρὸς αὐτὸν ἐκθαμβουμένη λέγει.
Πρὸς κλίνην ἦλθες σύσκιος ἡμῶν ὡς ἠβουλήθης.

Ἀλλ'-

Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τὴν ἑξῆς ἀσμάτων.
Φησὶ γὰρ ἔτι πρὸς αὐτὸν ἡ νύμφη τὸν νυμφίον :-

» Δοκοὶ ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι.

ἘΠεὶ φησὶν ἐλήλυθας νῦν πρὸς ἡμᾶς νυμφίε.
Οὐκέτι δεδιττώμεθα βροχὰς ἢ νιφάδας ῥαγδαίας.
Οὔτε κινήσεις ποταμῶν, τῶν πονηρῶν ῥευμάτων.
Ἀλλ' οὐδὲ πνεύσεις τοῦ βορρᾶ πνεύματος ἐναντίου.
Ἐμὲ γὰρ ἣν εὐδόκησας εἶναι σου κατοικίαν,
Καλῶς ἐπῳκοδόμησας ἐν σεαυτῷ νυμφίε.
Ὁ λίθος ὄντως ὁ τερπνὸς καὶ τῆς ζωῆς ἡ πέτρα.
Ὅθεν δοκῶ μὲν τοὺς δοκοὺς ἡμῶν κεδρίνους εἶναι.
Καὶ πάλιν τὰ φατνώματα δένδρων ἐκ κυπαρίσσων.
Ἐπεὶ γοῦν ἐμνημόνευσεν ἐνθάδε κατοικίας.
Καὶ φατνωμάτων καὶ δοκῶν, οὐκ εἴασε μνησθῆναι.
Σὺ δέ μοι τὰ φατνώματα καὶ τοὺς δοκοὺς ἀκούων.
Τὰς ἀρετὰς ἐνόμισον τυγχάνειν ταῦτα πάντα.
Ἐν αἷς ἐλθὼν ἐστέγασεν αὐτὴν ὁ θεῖος λόγος.
Καὶ πειρασμῶν ἀνένδεκτον εἰργάσατο τελείως.
Ἀνέμους τοίνυν καὶ βροχάς, ἢ ποταμοὺς ἀκούων,
Δαιμόνων ταῦτα πειρασμοὺς γίνωσκε πεφυκέναι :-

» Ἐγὼ γάρ φησιν ἄνθος τοῦ πεδίου κρίνον τῶν κοι-
» λωμάτων.

ΘΕΟΔΩΡΗΤΟΥ :-

ΤΗν ἀνθρωπίνην μου φησὶν εὐμορφίαν τεθέασαι. Ἐπειδὴ θεὸν οὐδεὶς ἑώρακε πώποτε. Ἐγὼ γὰρ τοῦ πεδίου ἄνθος

ἐγενό-

ἐγγυόμην. Τουτέστι γήϊνον ἀνέλαβον σῶμα, καὶ ἐν τῇ γῇ ἐβλάστησα προαιώνιος ὑπάρχων καὶ ὑψηλός. Μᾶλλον δὲ ἀμέτρητος. Κεῖνον ἐγγυόμην, οὐκ ὀρέων, οὐδὲ βουνῶν. Οὐδὲ πεδίων ἁπλῶς, ἀλλὰ κοιλωμάτων. Οὐ γὰρ μόνον τοῖς ζῶσιν εὐηγγελίσατο τὴν σωτηρίαν. Ἀλλὰ καὶ τοῖς νεκροῖς τὴν ἀνάστασιν. Κατελθὼν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ἵνα πληρώσῃ τὰ πάντα. Διὰ τοῦτο τοῦ μὲν πεδίου ἄνθος ἑαυτὸν ὀνομάζει. Κεῖνον δὲ τῶν κοιλωμάτων. Τουτέστι τῶν τεθνηκότων. Καὶ γὰρ ἐκείνοις τὴν ἀναβίωσιν, ἐπηγγείλατό τε καὶ ἐπραγματεύσατο:~

„ Ἐγὼ ἄνθος τοῦ πεδίου. Κεῖνον τῶν κοιλωμάτων.

Τῶν τριῶν Πατέρων:-

ΗΤοι ἐγὼ ἡ ἐξ Ἰσραὴλ καὶ ἐξ ἐθνῶν Ἐκκλησία. Κατὰ μὲν τὴν ἐξ Ἰσραήλ, ὡς νόμῳ καὶ Προφήταις, ἀπιστίας καὶ κακίας προκαθαρθέντας. Κἀντεῦθεν δίκην πεδίου προομαλισθέντας. Καὶ οὐκ ἐπὶ πολὺ τοῦ καλοῦ, ἀφεστηκότας, ἐξήνθησα τῇ ἀρετῇ. Τὸν ὄμβρον γνωστικῶς δεξαμένη τὸν ἐπουράνιον. Κατὰ δὲ τὴν ἐξ ἐθνῶν, ὡς διὰ τὴν πρώτην ἀπιστίαν τῆς φυσικῆς ὁμαλότητος στερηθέντας, καὶ τῷ χειμάρρῳ τῶν παθῶν κοιλαθέντας. Οἷάπερ κρίνον ἀπὸ τοῦ κοίλου πρὸς τὸ ὑψηλὸν ἀναθάλλον, καὶ ἐφ' ἱκανὸν ἐκ τῆς ῥίζης καλαμοειδῶς ἀνατρέχον, ὡς ἂν μὴ κρύπτοιτο τοῖς κοιλώμασι, ἀλλὰ τὸ κάλλος τούτου ἐν μετεώρῳ ὁρῷτο, τῇ εἰς Χριστὸν πίστει ἐρρίζωμαι. Καὶ διὰ καθάρσεως, τῆς τῶν παθῶν ὑπερεξανέστην συγχύσεως. Καὶ ἐπὶ τῷ ὕψει τῆς γνωστικῆς θεωρίας τῷ κάλλει τῆς ἀρετῆς καθωραΐσμαι:~

Τοῦ Ψελλοῦ:-

ΚΑιρὸς λοιπὸν καὶ τῶν ἑξῆς ἀκοῦσαι ταύτης λόγων.
Φησὶ γὰρ οὕτω πρὸς αὐτὸν ὥσπερ ἐγκαυχωμένη.

„ Ἐγὼ δὲ ἄνθος τοῦ πεδίου κεῖνον τῶν κοιλάδων.

ΥΠέρευγε τῆς προκοπῆς τῆς καθαρᾶς παρθένου.
Ἴδε γὰρ ἔγνως ἑαυτὴν τοῦ ξύμπαντος πεδίου.
Τῆς ἀνθρωπίνης φύσεως ἄνθος ἐκλελεγμένον.
Εἶτα καὶ κεῖνον καθ' ἑξῆς ἐκ τῶν κοιλάδων θεῖον.
Μυρίζει γὰρ ὡς ἀληθῶς πᾶσα ψυχὴ τοῖς τρόποις.
Ταῖς ἀρεταῖς ἀνθήσασα καὶ καθωραϊσθεῖσα.
Καὶ μὴ μερίμναις κοσμικαῖς ὅλως ἀποπνιγεῖσα.
Καὶ μάρτυς τούτου πέφυκε Χριστὸς ὁ καὶ νυμφίος.
Προσμαρτυρῶν ὡς ἀληθῶς τῷ λόγῳ τῷ τῆς νύμφης.
Φησὶ γὰρ οὕτω πρὸς αὐτὴν ὡς καθαρμὸν εὑρήσεις.

„ Ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, οὕτως ἡ πλησίον μου
„ ἐν μέσῳ τῶν θυγατέρων.

ΟΡθῶς φησὶ λελάληκας περὶ σαυτῆς ὦ νύμφη.
Οὕτως γὰρ μέσον τῶν ψυχῶν τῶν δῆθεν θυγατέρων.
Τῶν ἐν μερίμναις πάντοτε συγκαταπνιγομένων.
Σὺ μόνη νῦν ἐξήνθησας ὥσπερ ἡ εὔπνοον ῥόδον.
Καλεῖ δὲ ταύτην ἀδελφὴν ὁ λόγος καὶ νυμφίος.
Ὡς ἐκπληρώσασαν καλῶς τὸ θέλημα τὸ θεῖον.
Ὁ λέγων γὰρ αὐτός ἐστιν ἐν τοῖς Εὐαγγελίοις.
Ἐκείνους ἔχειν ἀδελφούς, καὶ συγγενεῖς καὶ φίλους.
Τοὺς πληρωτὰς τῶν πατρικῶν ἐκείνου κελευσμάτων:-

Εἴτοι ἐπειδὴ ἐν τούτοις τοῖς ὀνόμασι προσηγόρευσε, φησὶ τῇ νύμφῃ:-

ΘΕΟΔΩΡΗΤΟΥ:-

„ Ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, οὕτως ἡ πλησίον μου
„ ἀναμέσον τῶν θυγατέρων.

Ὅση γὰρ διαφορὰ τοῦ κρίνου πρὸς τὰς ἀκάνθας, τοσοῦτον διενήνοχεν τὸ κάλλος τῶν θυγατέρων. Αἳ τοῦτο μὲν προσαγορεύονται διὰ τὸ τῆς κλήσεως ἀξιωθῆναι. Τοῦ δὲ ἐκλεκταὶ εἶναι, ἑαυτὰς ἀπεστερήκεισαν. Πολλοὶ γάρ φησι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. Τούτῳ τῷ ὀνόματι καὶ ὁ Προφήτης Ἡσαΐας ὀνομάζει τὴν νύμφην λέγων. Εὐφράνθητι ἔρημος διψῶσα. Εὐφρανθήτω ἔρημος καὶ ἀνθήτω ὡς κρίνον. Ἔρημος γὰρ ἦν πρότερον καὶ ἄκαρπος, καὶ ἄνυδρος, ἡ νύμφη προσαγορευομένη, καὶ κλίνην οὐκ ἔχουσα σύσκιον. Ἐδίψει δὲ τὸν νυμφίον. Διὸ καὶ βοᾷ. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. Καὶ τοῦτο ὁ Προφήτης εἰδώς. (Πνευματικὸς γὰρ ἦν) ἔλεγεν. Εὐφρανθήτω ἔρημος διψῶσα. Ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθήτω ὡς κρίνον. Διὰ τοῦτο καὶ ὁ νυμφίος φησὶ πρὸς αὐτήν. Ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν. Οὕτως ἡ πλησίον μου ἀναμέσον τῶν θυγατέρων. Καὶ ἔοικεν ἐνταῦθα τὰς τῶν αἱρετικῶν Ἐκκλησίας θυγατέρας καλεῖν. Διὰ τὴν αὐτοῦ κλῆσιν, καὶ οὐ διὰ τὴν ἐκείνων προαίρεσιν. Κἀκείνας μὲν, ἀκάνθαις ἀπεικάζειν. Ταύτην δὲ κρίνον εὐώδες τε καὶ ἔξωθεν λαμπρότητα ἔχοντι. Καὶ τὸ χρυσοειδὲς ἄνθος ἐν μέσῳ περικείμενον. Τοιαύτη δέ ἐστιν, ἡ τὴν τῆς δικαιοσύνης λαμπρότητα περικειμένη ψυχή. Καὶ τὸ πνευματικὸν

ικὸν

ικὸν τῆς σοφίας, καὶ τῆς γνώσεως χάρισμα ἔνδον ἐν τοῖς ταμείοις κρυπτόμενον περιφέρουσα:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

Ὅθεν ὁ νυμφίος κρίνῳ παρεικάζων τὴν νύμφην, Ὡς μὴ συμπνιγομένην ταῖς τοῦ βίου ἀκάνθαις φησί.

„ Ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἐν
„ μέσῳ τῶν θυγατέρων.

Καὶ ταύτην μὲν, κρίνῳ παρομοιοῖ διὰ τὸ μὴ ὅλως ποτὲ τὴν ὑπὲρ τῶν βιωτικῶν μέριμναν ἀναδέχεσθαι, ἀλλ᾽ ἀφροντίστως, τοῖς παρατυχοῦσιν ἐκπληροῦν τὴν τοῦ σώματος χρείαν. Ὅπερ καὶ ἐν Εὐαγγελίοις διδάσκων λέγει περὶ ἐνδύματος, τί μεριμνᾶτε. Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει. Οὐ κοπιᾷ, οὐδὲ νήθει. Δεικνὺς ὅτι οἱ τὴν ἀταλαίπωρον, καὶ αὐτοσχέδιον διαγωγὴν, διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν ἑλόμενοι. Παραπλήσιοι εἰσὶ κρίνοις, ἀμφιεννυμένοις ἀπόνως, τὴν τῆς ἀλουργίδος τοῦ Σολομῶντος ἐνδοξοτέραν φυσικὴν δόξαν. Τὰς δὲ ἐκθηλυνομένας ψυχὰς ταῖς σαρκικαῖς ἡδοναῖς. Καὶ διὰ τοῦτο θυγατέρας τοῦ διαβόλου ὡς πάλιν φησὶν ἐν Εὐαγγελίοις. Ὅτι ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. Ἀκάνθαις παρεικάζει, διὰ τὸ πᾶσαν τὴν μέριμναν περὶ τὰ βιωτικὰ ἠσχοληκέναι, ἵν᾽ εὐπορῶσι τῆς ὕλης τῶν ἡδονῶν. Αἳ οὐχὶ τῷ τῶν ὅλων προνοητῇ πιστεύουσιν ἑαυτάς. Ἀλλὰ τὸ πᾶν ἑαυτοῖς. Καὶ διὰ τοῦτο ταῖς τῶν προσκαίρων φροντίσι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι:~

Ἀμε-

Ἀμείβεται τὸν νυμφίον ἡ νύμφη, καὶ φησὶ πρὸς αὐτόν.

» Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ. Οὕτως ἀδελφι-
» δός μου ἀναμέσον τῶν υἱῶν. Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμη-
» σα καὶ ἐκάθισα. Καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λά-
» ρυγγί μου.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Πολλὴ δὲ ἡ διαφορὰ τοῦ μήλου πρὸς τὸ κρίνον. Τὸ μὲν γὰρ, μόνην τὴν ὄψιν καὶ τὴν ὄσφρησιν εὐφραίνει. Τὸ δὲ μῆλον πρὸς τῇ ὄψει καὶ τῇ ὀσφρήσει. Καὶ τὴν γεῦσιν τοῖς βουλομένοις παρέχει. Ἐδώδιμον γάρ ἐστι καὶ ἐσθίεται. Διὰ τοῦτο ἡ μὲν νύμφη κρίνον ὀνομάζεται, ὁ δὲ νυμφίος μῆλον. Ὁ μὲν γὰρ, ἐσθίεται καὶ γίνεται τροφὴ τῇ νύμφῃ. Ἡ δὲ, οὐκ ἐσθίεται, ἀλλὰ μόνην ἔχει τὴν εὐοσμίαν. Διὰ τοῦτο φησὶν, ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν. Υἱοὺς δὲ προσαγορεύει, (ὥσπερ ἐκεῖ θυγατέρας,) τοὺς τῆς μὲν κλήσεως ἀξιωθέντας. Ἀναξίους δὲ σφᾶς αὐτοὺς καταστήσαντας τῆς ἐκλογῆς, οὓς ἐοικέναι ξύλοις δρυμοῦ, καὶ δένδρεσιν ἀκάρποις, ἡ νύμφη φησί. Τὸν δὲ νυμφίον ὀνομάζει μῆλον, ὃ καὶ τῇ ἁφῇ λεῖον. Καὶ τῇ γεύσει ἡδὺ καὶ τῇ ὀσμῇ εὐῶδες καὶ τῇ ὄψει τερπνότατον καὶ χαριέστατον. καὶ τῇ ἀκοῇ ἥδιστον. Ἅμα γὰρ τὸ ἀκοῦσαι, πάσας τῷ λόγῳ τὰς αἰσθήσεις προσφέρομεν. Τοιοῦτος δὲ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ καὶ νυμφίος, πάσας ἡμῶν τὰς αἰσθήσεις τυγχάνει. Ἐν τῇ τούτου σκιᾷ λέγει ἡ νύμφη ἐπιθυμῆσαι καθίσαι. Καὶ τοῦτο πεποιηκέναι. Μετὰ δὲ ταῦτα, φησὶ, καὶ τοῦ καρποῦ μεταλαβεῖν. Καὶ γλυκύτατον τοῦτον ἐν τῷ λάρυγγι φανῆναι.

Βούλεται γὰρ φυγεῖν τὰς τῆς κακίας ἀκτῖνας συγκαίειν ἐπισταμένας, ἵνα μὴ πάλιν γένηται μέλαινα. Σκιὰ δὲ τοῦ νυμφίου, τὰ νῦν ἐν ἐσόπτρῳ καὶ αἰνίγματι κατὰ τὸν μακάριον Παῦλον φαινόμενα. Ἄρτι μὲν γὰρ φησὶ βλέπω, ὡς ἐν ἐσόπτρῳ καὶ ὡς ἐν αἰνίγματι. Τότε δὲ, πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γινώσκω ἐκ μέρους. Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. Διὰ τοῦτο φησὶν ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα. Καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου. Καὶ γὰρ ὑπὸ τὴν σκιὰν καθημένη, τρυγῶ τὸν καρπὸν καὶ τούτου μεταλαμβάνω. Καὶ μαρτυροῦσιν οἱ μεμυημένοι τοῖς τοῦ νυμφίου μέλεσιν ἐντρυφῶντες:~

Τῶν τριῶν Πατέρων:-

Ἐπεὶ δὲ διὰ παντὸς τοῦ δράματος ὥσπερ ἐναντιοφθόγγοις μελῳδίαις ὁ νυμφίος τε καὶ ἡ νύμφη ἀντευφημοῦσιν ἀλλήλους ἐνδεικνύμενοι ταῖς συνεχέσι φιλοφροσύναις, τὸν πρὸς ἀλλήλους πόθον. Τάδε πάλιν ἀντιφθέγγεται πρὸς τὸν νυμφίον ἡ νύμφη. Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν. Ἤτοι καθάπερ μῆλον τὴν ὥραν μὲν εὐπρεπὲς, εὐῶδες δὲ τὴν ὀσμὴν, καὶ τὴν γεῦσιν γλυκύ. Κἀντεῦθεν χρήσιμον πρὸς ἐδωδὴν λογικοῖς. Ἐν τοῖς τούτου ἐστερημένοις ξύλοις τοῦ δρυμοῦ. Ὃς ὑλώδης τέ ἐστι καὶ καρπὸν φέρει. Ἀλόγοις πρὸς βρῶσιν καὶ οὐ λογικοῖς ἐπιτήδειον, οὕτω ὁ ἀγαπητός μου ἐν τοῖς τῶν ἀνθρώπων υἱοῖς. Κάλλει μὲν γὰρ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Οὐ μόνον ὡς θεοῦ μονογενὴς υἱὸς καὶ λόγος. Ἀλλὰ καὶ ὡς ἐν ἀνθρώποις ἀναμάρτητος μόνος. Εὐώδης δὲ, ταῖς πρὸς τοὺς εἰς αὐτὸν πιστεύοντας μεταδόσεσι τῶν χαρισμάτων τοῦ πνεύματος. Δι᾽ ὧν τούτου ἐν αἰσ-

ἐν αἰσθήσει γινόμεθα. Τὴν δὲ γεῦσιν γλυκύς. Γεύσασθε γάρ φησι καὶ ἴδετε ὅτι Χριστὸς ὁ κύριος. Ἐπειδὴ γλυκύτης μέλιτος, οὐ τοῖς μὴ γευσαμένοις, ἀλλὰ τοῖς γευσαμένοις γνωστή. Ὅθεν καὶ τροφή ἐστι λογικῶν. Ζωὴν πνευματικὴν τούτοις διδούς. Οἱ δὲ λοιποὶ τῶν ἀνθρώπων υἱοί. Ἐπειδὴ πάντες ἥμαρτον, καὶ τῆς θείας δόξης ἐστέρηνται. Δίκην δρυμοῦ τῇ σχέσει τῶν παρόντων ὑλομανοῦσι. Καὶ διὰ τῶν παθῶν τῶν ἀλόγων ἑαυτοὺς ἐκτρέφουσι. Διό φησιν. Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα. Σκιὰ δὲ πάντως Χριστῷ, ἡ χριστοειδὴς πολιτεία. Ἐφ' ἧς ὁ διὰ πόθου ἱδρωθείς, τῷ καύσωνι τῶν παθῶν οὐ συγκαίεται. Ἀλλ' ὑπ' αὐτῆς σκέπεται. Καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου. Καρπὸς δὲ τούτου ἐστὶν ὁ καρπὸς τοῦ πνεύματος. Ὅς ἐστι κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον, χαρά. Εἰρήνη. Μακροθυμία. Χρηστότης, καὶ τὰ λοιπά. Οὗ τῆς χρηστότητος ἐν αἰσθήσει ὑπάρχουσιν, οἱ κατὰ πεῖραν τούτου τρεφόμενοι. Οὐδὲν γὰρ χαρᾶς πνευματικῆς, ἀπαθείας τε καὶ ἀγάπης γλυκύτερον. Λάρυγξ δὲ τῆς γλυκύτητος τοῦ πνευματικοῦ καρποῦ αἰσθανόμενος, εἴη ἂν ἡ λογικὴ δύναμις τῆς ψυχῆς. Ἐπειδήπερ ταύτης χωρὶς οὐ προσφέρεται λόγος. Ὥσπερ οὔτε βρώματα λάρυγγος ἄνευ:~

Τοῦ Ψελλοῦ:-

Τούτων ὡς δ' ἤκουσε λοιπὸν ἡ νύμφη τῶν ἐπαίνων.
Ἀντιτεχνάζεται τινὰς ἐπαίνους τῷ νυμφίῳ.
Λέγει γὰρ λέξεσιν αὐταῖς, τοιάδε πρὸς τὸν δεσπότην.

» Ὡς μῆλον ἐν ξύλοις τοῦ δρυμοῦ. Οὕτως ἀδελφιδός μου
» ἀναμέσον τῶν υἱῶν.

Ὥσπερ φησὶν ἐν ταῖς ψυχαῖς ἁπάσαις τῶν ἀνθρώπων.
Ἃς θυγατέρας εἴρηκας ὦ λόγε καὶ νυμφίε.
Ἔγωγε μόνη πέφυκα κεῖνον ὥσπερ ἐν φύῃ.
Οὕτω καὶ σὺ τοὺς οὐρανοὺς ἀρρητοτρόπως κλίνας.
Καὶ κατελθὼν ἐπὶ τῆς γῆς εἰς τὸν ὑλώδη βίον.
Καὶ σαρκωθεὶς τὸ καθ' ἡμᾶς ἐν τῷ δὲ τῷ δρυμῶνι.
Ὤφθης ἐν μέσῳ τῶν υἱῶν τοῦ τῆδε τῶν ἀνθρώπων.
Ὡς μῆλον εὐωδέστατον καὶ γεῦσιν καθηδύνον.
Τίνος δὲ χάριν ἐρωτᾷς τὸν λόγον λέγειν μῆλον.
Ὅτι δὲ χάριτας πολλὰς ἔχει καρπὸς τὸ μῆλον.
Καὶ γὰρ ἀποθλιβόμενος παρά τινος ὡς θέμις.
Τὴν ῥῦσιν αἱματόμικτον τὴν ὑδαρώδει πέμπει.
Κἀντεῦθεν ὑπαινίττεται κρουνοὺς τοὺς σωτηρίους.
Τοὺς πρὶν πλευρόθεν βλύσαντας τοῦ λόγου καὶ σωτῆρος.
Ὡς ἄγαμαι τὴν φρόνησιν τῆς καθαρᾶς παρθένου.
Σοφῶς γὰρ εἴρηκεν αὐτὸν τυγχάνειν ὄντως μῆλον.
Πᾶσα μὲν γὰρ ὡς ἀληθῶς ψυχὴ ἡ ἀνθρωπίνη.
Κἂν ἀρεταῖς ὑπεραρθῇ, κἂν πρὸς Ἀγγέλους φθάσει.
Ἄνθος καὶ μόνον κρίνεται, καὶ κρίνον ἐν κοιλάδων.
Τὴν γεωργὸν οὐ τρέφουσα βοτάνη γὰρ οὐ τρέφει.
Ἀλλ' ἑαυτὴν λαμπρύνουσα τῷ κάλλει τῆς ἰδέας.
Οὐδὲ γὰρ χρήζει παρ' ἡμῶν ὁ Γεωργὸς κερδαίνειν.
Ὅπου φησὶν ὁ Ψαλμῳδὸς πρὸς τὸν αὐτὸν νυμφίον.
Ὡς ἀγαθῶν σε τῶν ἐμῶν, οὐ δόλως χρείαν ἔχεις.
Ἀλλ' ὁ Χριστὸς ὁ Γεωργὸς ἡμῶν ὁ καὶ νυμφίος.

Ὁ μῆλον ὄντως γεγονὼς ἀπὸ τοῦ σαρκωθῆναι.
Τὰς τρεῖς καὶ πρώτας ἐν ἡμῖν αἰσθήσεις ἐπευφραίνει.
Τὴν ὅρασιν τὴν ὄσφρησιν καὶ μάλιστα τὴν γεῦσιν.
Ὡραῖος γὰρ εἰς ὅρασιν ὡς ἀληθῶς τυγχάνει.
Ὁ πάντων ὡραιότατος τῶν γηγενῶν δεσπότης.
Καὶ τοὺς ὁρῶντας εἰς αὐτὸν, ἐργάζεται φωστῆρας.
Ἡδύς τε πρὸς τὴν ὄσφρησιν ὑπάρχων μύρον πλέει.
Τὸ μέχρι γὰρ τοῦ πώγωνος πρὶν καταβαῖνον μύρον.
Τοῦ Ἀαρὼν αὐτός ἐστιν ὁ καθαρὸς νυμφίος.
Γλυκύτατος γὰρ πέφυκε καὶ μάλιστα πρὸς γεῦσιν.
Ὥστε τὴν ζωὴν τὴν ἄληκτον διδοὺς τοῖς γευσαμένοις.
Ὁ τρώγων γάρ φησιν αὐτὸς σῶμα τοὐμὸν ἀξίως,
Αὐτὸς κερδήσει τὴν ζωὴν, τὴν ὄντως αἰωνίαν.
Ἀρκοῦσι ταῦτα τῷ σκοπῷ καὶ λόγῳ τῷ τοῦ μήλου.
Τὸ τῶν ἀσμάτων δὲ λοιπὸν καλῶς ἑρμηνευτέον.
Φησὶν ἡ νύμφη καθεξῆς περὶ τοῦ θείου λόγου :-

» Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα. Καὶ ὁ καρ-
» πὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου.

Τοῦτου φησὶ τοῦ θαυμαστοῦ, καὶ ζωηφόρου μήλου.
Πολλάκις ἐπεθύμησα τοῦ τὴν σκιὰν προσβλέψαι.
Ὅτεν ἡ φλὸξ τῶν πειρασμῶν σφόδρα κατέφλεξέ με.
Ἀλλ' ἰδοὺ νῦν ἐκάθισα καὶ τέρπομαι καὶ χαίρω.
Καὶ τὸν φλογμὸν ἐξέφυγα τὸν τῶν πειρατηρίων.
Καὶ μελετῶ τὰς ἐντολὰς ἁπάσας τοῦ κυρίου.
Ὁ πόθος μου ὁ γλυκύτατος ὁ λόγος, καὶ νυμφίος.
Κατασκιάσῃ μὲν αὐτὴν ταῖς πτέρυξι ταῖς θείαις.
Ἀποτειχίσῃ δὲ μακρὰν τοῦ πειρασμοῦ τὴν φλόγα.

Ταῦ-

Ταῦτα μὲν οὕτως εἴρηκεν ὥσπερ ἐγκαυχωμένη.
Παρακαλεῖ δὲ καθεξῆς τοὺς φίλους τοῦ νυμφίου.
Ἔτι προσκόψαι καὶ δραμεῖν πρὸς τὸν καλὸν νυμφίον.
Φησὶ γὰρ οὕτω πρὸς αὐτοὺς ἀλλὰ μοι σκοπητέον :-

» Ἐξαγάγετέ με εἰς οἶκον τοῦ οἴνου. Τάξατε ἐπ' ἐμὲ
» ἀγάπην. Στηρίξατέ με ἐν μύροις. Στιβάσατέ με ἐν
» μήλοις. Ὅτι τετρωμένη ἀγάπης ἐγώ.

Φησὶ διψῶ τὴν προσκοπὴν, τὴν ὡς πρὸς τὸν νυμφίον.
Τὸν βότρυν λέγω τῆς ζωῆς τὸν πέπειρον τὸν θεῖον.
Τὸν γλεῦκος ἀποστάζοντα τῷ σταυρικῷ θανάτῳ.
Καὶ τοίνυν εἰσαγάγετε κἀμὲ πρὸς οἶκον τοῦτον.
Ὡς ἂν ἰδοῦσα καθαρῶς τὸ κάλλος τοῦ νυμφίου.
Τὸ ζώπυρον αὐξήσω μου τῆς πρὸς αὐτὸν ἀγάπης.
Ἔτι δὲ πάλιν δυσωπῶ τυχεῖν τῶν μειζοτέρων.
Τάδε γὰρ λέγει πρὸς αὐτοὺς, τουτέστι τοὺς Ἀγγέλους.

» Στηρίξατέ με ἐν μύροις. Στιβάσατέ με ἐν μήλοις.

Ἐπεὶ φησὶν ἠγάπησεν ἐμὲ τὴν ἀπωσμένην.
Ὁ θαυμαστὸς ὁ φοβερὸς ὁ κάλλιστος νυμφίος.
Στηρίξατέ με τὸ λοιπὸν ὑμεῖς οἱ τούτου φίλοι.
Πρὸς τὴν ἀγάπην τὴν αὐτοῦ τοῦ λόγου καὶ νυμφίου.
Ὥσπερ μοι πρότερον χρυσὸν, ἄρτι διδόντες μύρα.
Τὰ πάσης ἀποτρεπτικὰ δυσώδους ἁμαρτίας.
Ὡς ἂν μηκέτι πλανηθῶ καὶ παρεκκλίνω πάλιν.
Σὺ δ' ἀρετὰς ἐννόησον τὰ μύρα τὰ τῶν φίλων.
Ἀλλ' ἔτι πάλιν λιπαρεῖ τοῖς μήλοις στιβασθῆναι.
Ποτὲ μὲν γὰρ προσομιλεῖ τοῖς φίλοις ὥσπερ νύμφη.

 Ἡ πα-

Ἡ παρθενεύουσα ψυχή, καὶ νυμφοστολισμένη.
Ποτὲ δ' ὡς κλίνη χρυσαυγής, ποτὲ δ' ὡς θεῖος θρόνος.
Καὶ γὰρ ὡς ὄντως ἐν μιᾷ ψυχῇ καθαρωτάτῃ.
Νυνὶ μὲν ἀνακλίνεται Χριστὸς ὁ καὶ νυμφίος.
Νυνὶ δὲ καὶ περιπατεῖ καὶ κάθηται πολλάκις.
Ἅπαν δὲ τοῦτο πέφυκεν ὁ στιβασμὸς τῶν μήλων.
Ποθεῖ καὶ φλέγεται καλῶς ἡ νύμφη τῷ νυμφίῳ.
Ὅστις καὶ μῆλον λέγεται φανὲν ἐκ τοῦ δρυμῶνος.
Καὶ θέλει τοῦτον γίνεσθαι, πάντοτε ταῦτα πάντα.
Τροφή, τρυφή τε, καὶ σκιά, καὶ στιβασμὸς τῆς στέγης.
Ὥσπερ κἀκείνη γίνεται ξύμπαντα πρὸς ἐκεῖνον.
Νύμφη, καὶ θρόνος, καὶ στρωμνή, καὶ πάλιν κατοικίας.
Εἶτα φησὶ πρὸς τοὺς αὐτοῦ ἀγγέλους τὴν αἰτίαν:-

Τῆς παρακλήσεως αὐτῆς τῆς συνεχοῦς πρὸς τούτους :-

„ Ὅτι τετρωμένη ἀγάπης ἐγώ.

Ἐγὼ φησὶν ἐκδυσωπῶ τὴν ὑμετέραν χάριν.
Τὴν στέγην ὅλην μου καλῶς ἐν μήλοις στιβασθῆναι.
Ὅτι τῷ βέλει τέτρωμαι τῷ τῆς ἀγάπης τούτου.
Ἀγάπην τίνων νόησον τὸν ἄναρχον πατέρα.
Καὶ βέλος ὄντως ἐκλεκτόν, τὸν λόγον καὶ νυμφίον.
Τοῦτον γὰρ πέμπειν εἴωθεν ἐπὶ τοὺς σωζομένους :-

„ Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου. Τάξατε ἐπ' ἐμὲ
„ ἀγάπην.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Οἶκον δὲ οἴνου καλεῖν, αὐτὴν ἡγοῦμαι τὰς θείας ληνοὺς περὶ ὧν ὁ Προφήτης φησίν. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου

κύριε

κύριε τῶν δυνάμεων. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου. Ὑπὲρ γὰρ τῶν ληνῶν τὸν ψαλμὸν ὀνομάσας, ταῦτα ἐπήγαγε διδάσκων ὡς ληνοὺς καλεῖ τὰς τοῦ θεοῦ Ἐκκλησίας. Ἐν αἷς ὁ πνευματικὸς οἶνος ἀποθλιβόμενος, καὶ οἱονεὶ ληνοβατούμενος, εὐφραίνει τῶν εὐσεβῶν τὰς ψυχάς, κατὰ τὴν Προφητείαν τὴν λέγουσαν. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου. Καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Διὰ τοῦτο καὶ ἀξιοῖ ἡ νύμφη, εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ. Καὶ παρακαλεῖ τοὺς τοῦ νυμφίου διακόνους λέγουσα. Τάξατε ἐπ' ἐμὲ ἀγάπην. Τουτέστι διδάξατέ με τῆς ἀγάπης τὸν τρόπον. Ἵνα μὴ ἀγαπήσω πατέρα ἢ μητέρα ὑπὲρ τὸν νυμφίον. Ἢ ἀγρόν, ἢ ἀμπελῶνας, καὶ ἀναξία τοῦ νυμφῶνος φανῶ. Αὐτὸς γὰρ ἀπεφήνατο λέγων. Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὁ ἀγαπῶν υἱοὺς ἢ θυγατέρας ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὁ παλαιὸς δὲ νόμος ὁ τῷ Ἀδὰμ δοθείς, τοιαῦτα διηγόρευσεν. Ἀντὶ τούτου, καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. Καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τάξατε τοίνυν ἐπ' ἐμὲ ἀγάπην, ἵνα τῷ νυμφίῳ μου συναφθῶ. Καὶ τοῦτον καὶ πατρός, καὶ μητρὸς καὶ τῶν ἄλλων προτιμήσω. Στηρίξατέ με ἐν μύροις. Τουτέστι βεβαιώσατέ με τῇ τοῦ νυμφίου εὐοσμίᾳ. Καὶ ὑπερειδήσατέ με, ἵνα μηδέν με σαλεύσῃ. Διαπαντός μοι τὴν εὐωδίαν ἐκείνην προσφέροντες, ἵνα μὴ λαβοῦσα λήθην τοῦ νυμφίου, περὶ ἕτερα πλανηθῶ. Ἀλλὰ καὶ στιβάσατέ με ἐν μήλοις, ἀντὶ τοῦ καρποῖς με τοῦ νυμφίου φορτίσατε. Ἵνα ὑπὸ τὴν σκιὰν αὐτοῦ καθημένη, καὶ τῶν μύρων αὐτοῦ ὀσφραινομένη. Καὶ τῷ καρπῷ αὐτοῦ τρεφο-

πομέ

τωμένη. Ἄληστον αὐτοῦ διαφυλάξω τὴν μνήμην. Τέτρωμαι γὰρ αὐτοῦ τῇ ἀγάπῃ. Καὶ γὰρ βέλος ἐκλεκτὸν ὑπάρχει, καὶ τιτρώσκει τὰς βαλλομένας ψυχάς:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ΄ΡΩΝ:-

ΟὟΤΩ μὲν, ἡ νύμφη τοῦ νυμφίου τὸ κάλλος. Τὴν εὐωδίαν. Τὴν σκέπην. Τὴν γλυκύτητα καταμαθοῦσα, ἀνακηρύττει. Τὰ δὲ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Λειτουργικὰ πνεύματα. Προσκαλουμένη συνεργὸν, πρὸς διηνεκῆ αὐτοῦ ἀπόλαυσιν. Φησὶν, εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου. Ἤγουν διδάξατέ με τοὺς θείους περὶ τῆς σαρκώσεως λόγους. Οἶνον γάρ φησι τὸν εὐφραίνοντα τὰς ψυχὰς, τῶν τούτου μεταλαμβανόντων, καὶ πρὸς θέωσιν ἐξιστῶντα θεὸν λόγον. Οὗ οἶκος ἡ προσληφθεῖσα παρ' αὐτοῦ σάρξ. Εἰς ὃν οἶκον εἰσαγάγεται ἡ Ἐκκλησία. Μία σὰρξ μετὰ Χριστοῦ ἐσομένη, ὥς φησιν ὁ Ἀπόστολος, περὶ τοῦ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὅστις φησὶν ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν. Σαρκὸς γὰρ καὶ αἵματος Χριστοῦ, ἡ τῶν πιστῶν Ἐκκλησία μεταλαμβάνουσα. Καὶ σύσσωμος αὐτῷ γινομένη, καὶ κατὰ γνῶσιν τοὺς περὶ σαρκώσεως λόγους. Δι' ἀγγέλων μανθάνουσα. Καὶ κατ' ἀρετὴν τοὺς τούτων τρόπους ἐμφαίνουσα. Εἰς οἶκον τοῦ οἴνου εἰσέρχεται. Οἰκητήριον θεοῦ ἀποτελουμένη, ἐν ἁγίῳ πνεύματι. Οὕτω δὲ εἰς οἶκον τοῦ οἴνου εἰσαγαγόντες με, τάξατε ἐπ' ἐμὲ ἀγάπην. Ἤτοι τὴν κατὰ χάριν θείαν κοινωνίαν. Ἧς πρῶτοι, αὐτοῦ κατὰ τάξιν μεταλαμβάνετε. Τάξατε καὶ ἐπ' ἐμέ. Ἀναλόγως ἕκαστον τῶν πιστῶν μυσταγωγοῦντες τὰ θεῖα. Στηρίξατέ με ἐν μύροις. Δηλαδὴ ῥώσατέ με ἐν τοῖς δίκην μύρων εὐωδιάζουσι ταῖς ψυ-

χαῖς τῶν πιστῶν, τοῖς τοῦ παναγίου πνεύματος χαρίσμασι. Καὶ πρὸς θεοσέβειαν ἐπιχύσατε, τὴν διὰ τὴν σωματικὴν ἀσθένειαν ἐκλυομένων. Στιβάσατέ με ἐν μήλοις. Ἤγουν πληρώσατέ με γνώσεως θείας, ἐν τοῖς δίκην μύρων τὸν λάρυγγα γλυκαίνουσι θείοις λογίοις. Ταῦτα δὲ αἰτῶ παρ' ὑμῶν, ὅτι τετρωμένη ἀγάπης ἐγώ. Ἤτοι ἐπειδὴ νυττομένη, οὐχ ὑπὸ φόβου ἀλλ' ὑπὸ ἀγάπης, (ἔξω γὰρ αὕτη βάλλει τὸν φόβον.) εἰμὶ ἐγὼ ἡ νυμφευθεῖσα τῷ Χριστῷ διὰ πίστεως. Ὡς γὰρ πρότερον αὕτη τῷ φόβῳ μὲν τῶν κολάσεων καθαρθεῖσα. Εἶτα δὲ καὶ τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν φωτισθεῖσα. Νῦν σπεύδει διὰ τῆς ἀγάπης εἰς τελειότητ' ἀναχθῆναι παρὰ τῶν ἁγίων Ἀγγέλων. Ὅθεν φησίν:~

„ *Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. Καὶ ἡ δεξιὰ*
„ *αὐτοῦ, περιλήψεταί με.*

ΔΗλονότι αἱ τῶν κολάσεων ὡς ὑποδεχομένων τοὺς ἐξ εὐωνύμων ἀπειλαί. Ὑπὸ τὸ, δίκην κεφαλῆς ἀρχικὸν τῆς ψυχῆς μου πάντως τὸ νοερὸν, ὑποτάσσεται αὐτῷ τὸ αἰσθητικόν. Διὰ τοῦτο λοιπὸν ἐν ἐλπίσιν εἰμὶ, ὅτι καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. Ἤτοι τὰ ἐν Ἐπαγγελίαις ἀγαθά. Ὡς τοὺς ἐκ δεξιῶν ὑποδεχομένη Βασιλεία. Δηλαδὴ τοῦ θεοῦ κατὰ τὸν μέλλοντα αἰῶνα περικυκλώσει με. Ὡς μὴ ἀρχὴν χρονικὴν μήτε τέλος ἔχουσα. Ἐμοὶ δὲ καὶ ἀρχὴ καὶ τέλος εὑρισκομένη. Δι' αὐτὴν γὰρ ὡς ἂν ταύτην κληρονομήσω ὁ ἐξ ἀρχῆς γέγονα. Καὶ εἰς ταύτην πάλιν διὰ φιλανθρωπίαν κατ' αὐτῷ, παυομένη πάσης κινήσεως, καὶ ὑπ' αὐτῆς ὁριζομένη:~

Τοῦ Ψελλοῦ :-

Ἀλλὰ προστίθησι τινὰς ἡ νύμφη πάλιν λόγους.
Λέγουσα τάδε πρὸς αὐτοῦ ὡς καθ' εἱρμὸν εὑρήσεις :-

» Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. Καὶ ἡ δεξιὰ
» αὐτοῦ περιλήψεταί με.

Ἡ τῶν ἀσμάτων δύναμις τούτων καταθυμίζει.
Ἰδοὺ γὰρ βέλος γίνεται χερσὶ ταῖς τοῦ τοξότου.
Ἡ πρὸ μικροῦ τῷ θαυμαστῷ κατὰ τρωθεῖσα βέλει.
Ὡς ἡ τὸ πάλαι πέπονθε ψυχὴ καλῶς τρωθεῖσα.
Κἀκεῖνος γὰρ γινόμενος πιστὸς ἐξ ἀπιστίας.
Καὶ ζωγρηθεὶς παρὰ Χριστοῦ τοῦ λόγου καὶ σωτῆρος.
Εὐθὺς πρὸς ἔθνη τὰ μακρὰν καὶ πλάνης βεβυσμένα.
Παρὰ τοῦ θείου πνεύματος αὐτὸς ἐξαπεστάλη.
Εἰς τὸ ζωγρεύειν τὰς ψυχὰς τὰς ἐκπεπλανημένας.
Τῷ λόγῳ τοῦ κηρύγματος καὶ τῆς διδασκαλίας.
Ταῦτα μὲν οὕτως ἔχουσιν ὡς οἶμαι στεφηφόρε.
Σὺ δὲ μὴ δόλως ἐκπλαγεὶς ἅπερ ἡ νύμφη λέγει.
Ὡς ἄρα χεὶρ εὐώνυμος αὐτοῦ τῇ κεφαλῇ μου.
Ἡ τούτου δ' αὖθις δεξιὰ, καὶ περιλήψεταί με.
Τρόπον γὰρ βέλους κοσμικοῦ, καὶ πεπωμένου λέγω.
Ὁ λόγος ἐσχημάτισεν αὐτὴν ἐξαποστεῖλαι :-

» Εὐώνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου.
» Καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.

ΘΕΟΔΩΡΗΤΟΥ :-

Ἀλλὰ μὴ πάλιν εἰς σωματικὰς καταπέσωμεν δόξας, εὐωνύμου καὶ δεξιᾶς ἐπαΐοντες. Καὶ γὰρ περὶ τῆς σοφίας, ἥτις ἐστὶν ἕξις καὶ οὐκ οὐσία. Φησὶν ὁ Σολομών. Ὅτι μῆκος βίου, καὶ ἔτι ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς. Ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς, πλοῦτος καὶ δόξα. Καὶ περὶ τῆς περιλήψεως πάλιν ἐστὶν εὑρεῖν ἐν ταῖς παροιμίαις εἰρημένον. Ἐράσθητι αὐτῆς καὶ τηρήσει σε. Περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε. Τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ. Ἐντεῦθεν τοίνυν τὰς ἀφορμὰς λαβόντες. Πνευματικώτερον κἀκεῖνα νοήσωμεν. Τοῦ θείου λόγου καὶ τῆς εὐσεβοῦς ψυχῆς εἶναι κοινωνίαν πιστεύοντες, τὴν καλουμένην περίληψιν. Καὶ τὸ εὐώνυμον δὲ καὶ δεξιὸν ὡς ἀφ' ἡμῶν ληφθὲν, νοητέον. Ἵνα δὲ καὶ ἀθεώρητον αὐτὸν καταλίπωμεν, οὕτωσὶ νοήσωμεν. Εὐεργετεῖν οἶδε καὶ κολάζειν ὁ θεός. Τοῖς ἀξίοις ἀπονέμων ἀμφότερα. Τὴν εὐεργετικὴν τοίνυν χάριν ἐπὶ τῆς δεξιᾶς νοήσαντες. Τὴν δὲ κολαστικὴν, ἐπὶ τῆς εὐωνύμου. Ἀκούσωμεν τῆς νύμφης λεγούσης. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. Τουτέστιν ἄνω εἰμὶ τῶν κολάσεων. Οὐχ ὑπόκειμαι ταύταις διὰ τὸ, τῷ νυμφίῳ πλησιάσαι, καὶ τῆς θεραπείας αὐτοῦ φροντίσαι. Ἡ δεξιὰ αὐτοῦ περιλήψεται. Ἀντὶ τοῦ ταῖς εὐεργεσίαις αὐτοῦ κατακοσμήσει με, καὶ τούτων ἐμπλήσει με. Οἱονεὶ περιπτυσσόμενος, καὶ περιλαμβάνων, καὶ τὴν ἐμὴν ἐπιθυμίαν πληρῶν. Τοῦτο δὲ καὶ ὁ Μακάριος

Παῦλος παραδηλῶν ἔλεγχε. Ο῎τι οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. Γένοιτο καὶ ἡμᾶς πεῖραν τῆς κολαστικῆς αὐτοῦ δυνάμεως μὴ λαβεῖν, μὴ δ᾽ ἐγγίσασθαι τῶν ἠπειλημένων τιμωριῶν. Τῶν ἐπηγγελμένων ἀπολαῦσαι δωρεῶν. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ι῾ησοῦ Χριστοῦ. Ω῟ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α᾽μήν:-

(?)





ΛΟ'ΓΟΣ β'.

„ Ω῞ρκισα ὑμᾶς θυγατέρες Ι῾ερουσαλὴμ. Ε᾽ν δυνάμεσι, καὶ ἰσχύσεσι τοῦ ἀγροῦ. Ε᾽ὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως θελήσει.

ΘΕΟΔΩΡΗ'ΤΟΥ:-

Ο῾Ι μὲν σωμάτων ἐρῶντες μόνοι τῶν ποθουμένων ἀπολαύειν σπουδάζουσι. Τοῖς δὲ πειρωμένοις, λῃστεύειν τοὺς αὐτοῖς ἀνακειμένας, μετὰ πολλῆς ἀπελαύνουσι τῆς σφοδρότητος. Οἱ δὲ πνευματικῶς ὁρῶντες καὶ τὸν θεὸν ποθοῦντες, πάντας ἀνθρώπους κοινωνῆσαι αὐτοῖς τοῦ φίλτρου παρακαλοῦσι. Διὸ καὶ ἐν τῷ ἄσματι τῶν ἀσμάτων ἡ νύμφη διηγησαμένη τὴν τοῦ νυμφίου περίληψιν. Ο῎τι εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. Καὶ εἰρηκυῖα. Καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με, οὐκ ἀνέχεται μόνη ἐν τρυφᾷν τῷ νυμφίῳ. Οὐδὲ ἀπολαύειν ἡγεῖται μόνη τῶν ἱερῶν ἐκείνων ἀπολαύειν ἀγκαλῶν, ἀλλὰ καὶ τὰς νεάνιδας παρακαλεῖ. Οὐ παρακαλεῖ δὲ μόνον, ἀλλὰ καὶ βιάζεται. Καὶ ἀνάγκην ἐπιτίθησιν ὅρκου, ἵνα ἐγείρωσι, καὶ ἐξεγείρωσι τὴν ἀγάπην, ἕως ἂν ὁ νυμφίος ἐθελήσῃ. Θυγατέρας δὲ Ι῾ερουσαλὴμ δηλονότι τῆς ἐπουρανίου ταύτας προσαγορεύει. Περὶ ἧς ὁ μακάριος Παῦλος φησίν. Η῾ δὲ ἄνω Ι῾ερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Α᾽γρὸν δὲ, τὸν κόσμον ὀνομάζει. Οὕτως γὰρ

καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις τὴν παραβολὴν εἰρημένων φησίν. Ὅτι ἀγρός ἐστιν ὁ κόσμος. Δυνάμεις δὲ καὶ ἰσχύσεσιν ἀγροῦ. Τὰς Ἀγγελικὰς δυνάμεις φησί, τὰς τὸν κόσμον περιπολούσας, κατὰ τὸ θεοῦ θέλημα. Ἢ τοὺς ἁγίους Προφήτας καὶ Ἀποστόλους, οἱ θείου πνεύματος πληρωθέντες. Καὶ τὴν οἰκουμένην περινοστήσαντες. Τοὺς ἀνθέους καὶ θεομισεῖς ἐξήλασαν δαίμονας, καὶ τὴν εὐσέβειαν ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς κατεφύτευσαν. Ἐν ἀπολαύσει τοίνυν ἡ νύμφη τοῦ νυμφίου γενομένη. Καὶ πειραματεῦσα τὴν ἄρρητον ἐκείνην τροφήν, βοᾷ καὶ λέγει. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην. Ἕως οὗ θελήσῃ. Τουτέστι, μὴ ἐάσητε ἐν ὑμῖν τὴν περὶ τὸν θεὸν ἀγάπην καθευδῆσαι. Ἀλλὰ διεγείρατε αὐτὴν καὶ πυρσεύσατε, καὶ ἐπιβάλετε οἱονεὶ ἔλαιον τῶν εὐεργεσιῶν τὴν μνήμην, ἵνα μὴ καὶ περὶ ὑμῶν ῥηθῇ, Ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδέν. Ἐὰν γὰρ μὴ ἀπαγγείλητε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Καὶ μὴ μνησθῆτε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίει. Ἀλλ' ἐπιλάθησθε τῶν εὐεργεσιῶν αὐτοῦ. Σβεσθήσεται ἡ ἀγάπη καὶ οἱονεὶ νεκρωθήσεται. Χρὴ δὲ ἡμᾶς διηνεκῶς ἐξάπτειν αὐτὴν καὶ διεγείρειν, καὶ εἰς ὕψος αὐτὴν αἴρειν τὴν φλόγα. Μέτρον δὲ, ποιεῖσθαι τῆς ἀγάπης τοῦ νυμφίου τὸ βούλημα, μὴ πρότερον οὖν παύσασθε ταύτην διεγείροντες, καὶ τὴν πυρὰν αὐτῆς ἐξάπτοντες, ἕως ἂν ὁ νυμφίος ἔχειν αὐτὴν εἴπῃ τὸ μέτρον. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ μακαρίου Παύλου Κορινθίοις γραφέντα. Καὶ διὰ Κορινθίων πᾶσιν ἡμῖν. Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε. Κραταιοῦσθε. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Καὶ

ἐν τῷ

ἐν τῷ τέλει δὲ τῆς Ἐπιστολῆς φησίν. Εἴ τις οὐ φιλεῖ τὸν κύριον Ἰησοῦν, ἤτω ἀνάθεμα. Οὕτως ἀγαπῶσιν οἱ θερμῶς ἀγαπῶντες τὸν σεσωκότα, ὡς τοὺς ἀγαπᾶν αὐτὸν οὐκ ἐθέλοντας. Ὡς ὀδωδότα καὶ σεσηπότα βδελύττεσθαι σώματα. Τοῦτο σημαίνει λέγων καὶ ὁ μακάριος Δαβίδ. Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα. Καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς. Εἰς ἐχθροὺς ἐγένοντό μοι. Περὶ δὲ τῶν φιλούντων αὐτὸν φησίν. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ θεός. Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Οὕτω δὲ φιλεῖν τοὺς φιλοῦντας τοὺς φίλους. Οἱ μακάριοι ἄνδρες ὑπὸ τοῦ θεοῦ τῶν ὅλων ἐδιδάχθησαν. Αὐτὸς γὰρ πρῶτος ἔφη τῷ Ἀβραάμ, εὐλογήσω τοὺς εὐλογοῦντάς σε. Καὶ τοὺς καταρωμένους σε καταράσομαι. Λέγει δὲ καὶ τῷ Ἰσραήλ. Ἐχθρεύσω τοὺς ἐχθρούς σου. Καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σε. Ἐντεῦθεν ἐδιδάχθη καὶ ὁ Δαβίδ ἐκεῖνα εἰπεῖν. Καὶ ὁ Μακάριος Παῦλος, ἀνάθεμα ποιῆσαι τοὺς μὴ φιλοῦντας τὸν κύριον. Διὰ τοῦτο καὶ ἡ νύμφη ὁρκίζει τὰς θυγατέρας Ἱερουσαλήμ, ἐγεῖραι καὶ ἐξεγεῖραι τὴν περὶ τὸν νυμφίον, ἀγάπην. Ἕως ἂν αὐτὸς ἐθελήσῃ :~

Ἡ διδάσκαλος ψυχὴ πρὸς τὰς μαθητευομένας φησί :-

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ´ΡΩΝ:-

Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ. Ὥρκισα δὲ πῶς; Τὰς τοῦ νυμφίου ἀπειλὰς καὶ τὰς ἐπαγγελίας τὰς δίκην ὅρκου ἀναγκαζούσας τοὺς ἀκούοντας αὐτοῦ μόνον, τὸν φόβον καὶ τὸν πόθον τηρεῖν. Ἀναδιδάξασα πάντας ὑμᾶς τὰς ἐν ἁγίῳ ἀποτεχθείσας μοι, πνεύματι. Ὅπερ ὅρασις ἐστὶν εἰρήνης.

Ὡς

Ὡς ὁδηγοῦν ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. Ἥτις ἐστὶν ὁ καταλλάξας ἡμᾶς τῷ ἰδίῳ Πατρὶ μονογενὴς αὐτοῦ λόγος. Ὅρασις γὰρ εἰρήνης τὸ, Ἱερουσαλὴμ ἑρμηνεύεται. Ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ. Ἤγουν τοιουτοτρόπως ὥρκισα ὑμᾶς. Ἐὰν ἐν ταῖς ψυχικαῖς δυνάμεσι καὶ ταῖς σωματικαῖς αἰσθήσεσι. Δι᾽ ὧν αἱ τοιαῦται δυνάμεις ἐνεργεῖν ἰσχύουσιν, ὡς ἐν ἀγρῷ τῷ κόσμῳ. Ἐγείρετε κατ᾽ ἀρετὴν ἐφ᾽ ἑαυταῖς καὶ ἐπιπλέον, ἐξεγείρητε κατὰ γνῶσιν τὴν ἀγάπην, ἥ ἐστιν ὁ ὑπὲρ τῆς ἡμῶν σωτηρίας καταδεξάμενος θάνατος μονογενὴς τοῦ θεοῦ υἱὸς, καὶ λόγος. Ἕως ἂν θελήσῃ ἀξιῶσαι ἡμᾶς τῆς αὐτοῦ ἐμφανείας διὰ τῆς κατὰ χάριν θεώσεως. Εἰ γὰρ μὴ οὕτω διατεθῆτε περὶ τὴν ἀγάπην, εἰς μάτην λοιπὸν ἀνεδίδαξα ὑμᾶς τὰς τοῦ νυμφίου ἀπειλὰς, καὶ ἐπαγγελίας. μὴ βεβαιώσασαι διὰ τούτων, ὥσπερ δι᾽ ὅρκου τὸν πρὸς αὐτὸν ὑμέτερον φόβον, καὶ πόθον, ἕως ἂν αὐτὸς ἡ ἀγάπη ἥτις οὐδέποτε ἐκπίπτει, ἐπιφανεὶς ἡμῖν, τὴν αὐτοψίαν χαρίσηται:-

Τοῦ Ψελλοῦ:-

Ἀλλὰ καιρὸς καὶ τῶν ἑξῆς ἀσμάτων ἐπακοῦσαι.
Ἀντιβολεῖ γὰρ καθεξῆς, καὶ πάλιν τοὺς Ἀγγέλους.

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνά-
» μεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε, καὶ
» ἐξεγείρητε.

Ἀγρὸν τὸν κόσμον νόησον, ἰσχὺν δὲ τούτου πάλιν.
Τὴν τοῦ δεσπότου δύναμιν, τοῦ λόγου καὶ νυμφίου.
Φησὶ γὰρ, ὡς νυμφαγωγοὶ, καὶ φίλοι τοῦ νυμφίου.

Ἐκείνας

Ἐκείνας καταλείψασα τὰς συνεχεῖς αἰτήσεις.
Μεθ᾽ ὅρκου φέρω δέησιν ὑμῖν ἀπὸ καρδίας.
Μὴ δέποτε παυθήσεσθε λαμπρύνοντές με πλέον.
Καὶ τὴν ἐμὴν αὐξάνοντες ἀγάπην πρὸς τὸν λόγον.
Μέχρις ἂν ὅλην με καλὴν ἐργάσησθε τοῖς τρόποις.
Καὶ μέχρις ἂν ἐκπληρωθῇ θέλημα τοῦ νυμφίου.
Τοῦτο δ᾽ ἐστὶ τὸ θέλημα καὶ μόνον τοῦ νυμφίου.
Τοῦ θέλοντος τὸ, σώζεσθαι πάντας ἀνθρώπους ὄντως.
Τὸ καθαράν με παντελῶς καὶ θεαυγῆ φανῆναι.
Ἀλλ᾽ αὖθις θεωρήσωμεν τὰ καθ᾽ εἱρμὸν τοῦ λόγου:-

» Φωνὴ τοῦ ἀδελφιδοῦ μου.

Πόσον τὸ ἀκατάληπτον ὄντως ἐστὶ τὸ θεῖον.
Ὅτι κἂν πάσας ἀρετὰς τις κατορθώσῃ πόνοις.
Κἂν ὑψωθῇ πρὸς οὐρανοὺς τοῖς ἐν ἀρεταῖς τρόποις.
Κἀντεῦθεν συνεγγὺς θεοῦ νομίσῃ καθεστάναι.
Ἔξω τυγχάνει πόρρωθεν τῆς θεϊκῆς οὐσίας.
Ἰδοὺ γὰρ ἡ προκόψασα καὶ φθάσασα πρὸς ὕψος.
Καὶ προσδοκῶσα συνεγγὺς εἶναι τοῦ νυμφίου.
Οὐσίαν τῆς θεότητος οὐδόλως ἐπεγνώκει.
Φωνὴν δὲ τούτου νόησον τῶν Προφητῶν τὰς ῥήσεις.
Τὰς τὴν τοῦ λόγου σάρκωσιν ἀρρήτως προδηλούσας.
Εἶτα καὶ τὸ φησὶν ἑξῆς, ἐκεῖνο σκοπητέον:-

» Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη. Διαλλόμενος ἐπὶ
» τοὺς βουνούς.

Εἰποῦσα πρῶτον τῆς φωνῆς ἀκοῦσαι τοῦ νυμφίου.
Οὗτος φησὶ νῦν ἔρχεται πηδῶν ἐπὶ τὰ ὄρη.

Καλῶς

Καλῶς ἐφιλοσόφησεν ἡ καθαρὰ παρθένος.
Ὁ γάρτοι λόγος τοῦ θεοῦ περὶ τῆς εἰς γῆν καθόδου.
Προφήταις ἐξαπέστειλε προλέγειν τὰς ἐκείνου.
Τὴν πρὸς ἀνθρώπους κάθοδον καὶ σάρκωσιν τὴν θείαν.
Μετὰ δὲ τούτους ἔφθασε κἀκεῖνος οὐρανόθεν.
Ὁ δὲ παρὼν αἰνίττεται λόγος ὁ τῶν ἀσμάτων.
Τὰ τῆς ἐνανθρωπήσεως τοῦ θεανθρώπου λόγου.
Δι᾽ ἧς εἵλκυσε τὰς ψυχὰς ἐν σκότει καθημένας.
Δαίμονας ὅλους καθελὼν καὶ μόνῃ τῇ κελεύσει.
Τούτους γὰρ ὄρη κέκληκε, καὶ πάλιν βουνοὺς λέγει.
Θαυματουργῶν γὰρ ὁ Χριστὸς, καὶ δαίμονας ἐκβάλλων.
Τῷ λόγῳ μόνῳ ξύμπαντας ἐπίσης ἐταρτάρου.
Ἐλάττονας καὶ μείζονας, καὶ μᾶλλον λεγεῶνας.
Ἔπειτα τί φησιν εὐθὺς ἡ νύμφη σκοπητέον:-

„ Ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι ἢ ἐλάφῳ ἐπὶ
„ τὰ ὄρη βαιθήλ.

Σχεδὸν ταυτόν τι πέφυκε τοῦ τε τοῖς προρρηθεῖσι.
Κἀντεῦθεν γὰρ δεδήλωκε τὸν λόγον καὶ νυμφίον.
Τοὺς δαίμονας ἐλαύνοντα καὶ καταταρταροῦντα.
Νεβρὸν δ᾽ αὐτὸν παρείκασεν ἐλάφων ἡ παρθένος.
Ὡς δῆθεν ἀναλίσκεται τὴν φύσιν τῶν δαιμόνων.
Ὥσπερ τοὺς ὄφεις ἡ νεβρὸς, ἀλλ᾽ ἡ νεβρὸς ἐκείνη.
Ἥτις ἐπ᾽ ὄρους τοῦ βαιθήλ, ἔχει τὴν κατοικίαν.
Ὄρος δὲ γίνωσκε βαιθήλ, τὴν ἄνω κατοικίαν.
Ἡ δὲ δορκάς σοι τροπικῶς τὸν βλέποντα σημαίνει.
Οὕτω γὰρ βλέπων πέφυκεν ἁπάντων τὰς καρδίας:-

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Οὕτω δὲ διδάξασα τὰς μαθητευομένας ψυχὰς ἡ διδάσκαλος, διά τε τοῦ φόβου τῶν κολάσεων, καὶ τῆς ἐλπίδος τῶν ἐπαγγελιῶν, ἐγείρειν κατ᾽ ἀρετήν. Καὶ ἐξεγείρειν κατὰ γνῶσιν ἐν ἑαυταῖς τὴν ἀγάπην. Μέχρις ἂν θελήσῃ ὁ νυμφίος ἐμφανισθῆναι αὐταῖς καὶ στηρίξαι εἰς ἀτρεψίαν. Λοιπὸν ἵνα μὴ αὗται βραδύνειν τὴν τοῦ νυμφίου ἐπιδημίαν δόξασαι, ἀπαγορεύωσι, διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον. Παραμυθουμένη ταύτας, φησί. Φωνὴ τοῦ ἀδελφιδοῦ μου. Ἐπεὶ δὲ φωνὴ τοῦ ἀγαπητοῦ, ὁ πρόδρομος, ὡς κήρυξ τῆς μετανοίας, καὶ ἑτοιμαστὴς τῶν θείων ὁδῶν καὶ τρίβων. Φωναί εἰσιν αἵ τε ἀπειλαὶ καὶ αἱ ἐπαγγελίαι. Ὡς αἱ μὲν, ἐφελκόμεναι τοὺς ἀκούοντας πρὸς μετάνοιαν. Αἱ δὲ ἑτοιμάζουσαι κατ᾽ ἀρετὴν τὰς ὁδοὺς τοῦ κυρίου. Ἰδοὺ οὗτος ἥκει, ἤτοι ἰδοὺ οὗτος ἔρχεται. Εἰ τῶν ἀπειλῶν αὐτοῦ καὶ τῶν Ἐπαγγελιῶν ἀκούσαντες καθαρθῶμεν τῶν προτέρων πλημμελημάτων διὰ μετανοίας. Καὶ τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν φωτισθῶμεν. Ἔρχεται δὲ ἐφ᾽ ἡμᾶς ἑτοιμασθέντας, ὡς εἴρηται. Πηδῶν ἐπὶ τὰ ὄρη. Ἤγουν ὑψούμενος ἐπὶ τὰ (δίκην ὑπερκειμένην κορυφὴν ὀρῶν,) ὑπερφυῆ δόγματα τῆς αὐτοῦ θεότητος. Ἐκ γὰρ τῆς καταφατικῆς Θεολογίας, καταλαβέσθαι αὐτὸν ἐπιχειροῦντες, ὑπερβαίνων, κατ᾽ ἐνέργειαν δείκνυται ὑπεραιρόμενος. Καὶ ταύτης τοῦ τὸν ὁρῶμεν ἐν τῇ ἀποφατικῇ Θεολογίᾳ, κατὰ τὸ ὑπερέχον. Διαλλόμενος ἐπὶ τοὺς βουνούς. Ὡς δὲ ὑπερανεστηκότες, καὶ οἱ βουνοὶ τὰ τῆς οἰκονομίας δηλοῦσι δόγματα, ὄντα καὶ ταῦτα ὑπὲρ κατάληψιν. Ἐφ᾽ ἃ κατὰ τὴν ἡμετέραν γνῶσιν ὁ νυμφίος διάλλεται ἀπὸ τοῦ θεὸς ὢν ὁρᾶσθαι,

O ὡς ἄν-

ὡς ἄνθρωπος. Καὶ μεταπηδῶν εἰς τὸ ἄνθρωπος ὤν, γινώσκεσθαι ὡς θεός. Ὅτι δὲ εἴρηκε περὶ τοῦ νυμφίου πηδᾶν ἐπὶ τὰ ὄρη καὶ διάλλεσθαι ἐπὶ τοὺς βουνούς. Τὸ δὲ πηδᾶν καὶ διάλλεσθαι, δορκάδος ἴδιον καὶ ἐλάφου. Νεάζοντας τούτοις λοιπὸν παρεικάζων αὐτόν. Φησὶν ὅμοιός ἐστιν ἀδελφιδός μου δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη βαιθήλ. Βαιθὴλ δὲ ἑρμηνεύεται οἶκος θεοῦ. Ὅ ἐστιν ἡ τῶν πιστῶν Ἐκκλησία. Ἧς ὑπάρχουσιν ὄρη διὰ τὸ ὕψος, τὰ περὶ τῆς θεότητος καὶ ἀνθρωπότητος τοῦ μονογενοῦς εὐσεβέστατα δόγματα. Ἐφ' ἃ ἐστὶν ὁ τῆς νύμφης ἀγαπητὸς πηδῶν ὡς προείρηται, καὶ διαλλόμενος ὁμοίως τοῖς εἰρημένοις ζώοις τὰ νοητὰ θηρία τὰ εἰς πνέοντα δίκην ἰοῦ τὰ ἐναντία τῆς ἀληθείας δόγματα κατὰ τῆς Ἐκκλησίας, ἀπελαύνει ταύτης μακράν. Ἐπειδὴ πεφύκασι φυγαδεύειν τὰ ἰοβόλα θηρία, ἡ δορκάς, καὶ ἡ ἔλαφος.

ΘΕΟΔΩΡΗΤΟΥ.

ΤΑῦτα ταῖς νεάνισι διαλεγομένη. Καὶ εἰς τὴν ὁμοίαν αὐτοῖς ἀγάπην προτρεπομένη. Ἐν αἰσθήσει γίνεται τῆς τοῦ νυμφίου παρουσίας. Καὶ φησί. Φωνὴ τοῦ ἀδελφιδοῦ μου. Ἐθὰς γὰρ γενομένης τῶν ἱερῶν αὐτοῦ λόγων, ἐπιγινώσκει αὐτοῦ τὴν φωνήν. Ὡς καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις φησί. Τὰ πρόβατα τὰ ἐμά, τῆς φωνῆς μου ἀκούει. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν. Ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Οἶδεν διαφορὰν μοιχοῦ καὶ νυμφίου· καὶ τῶν μὲν μοιχῶν καὶ λύκων καὶ μισθωτῶν βδελύττεται τὰς φωνάς. Τοῦ δὲ νυμφίου καὶ ποιμένος, τοὺς λόγους ποιεῖ. Διόπερ αὐτίκα ἐν αἰσθήσει γενομένη τῆς ἐκείνου παρουσίας βοᾷ. Φωνὴ τοῦ ἀδελφιδοῦ μου. Καὶ οὐκ ἀνέχεται καθῆσθαι, ἀλλ' ἀνίσταται, καὶ κε-

καὶ καραδοκεῖ καὶ περισκοπεῖ, καὶ ὁρῶσα αὐτὸν βοᾷ. Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη διαλλόμενος ἐπὶ τοὺς βουνούς. Ὅμοιός ἐστιν ὁ ἀδελφιδός μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη βαιθήλ. Ἄξιον δὲ ζητῆσαι, τί δήποτε αὐτὸν δορκάδι καὶ νεβρῷ ἐλάφων ἀπεικάζει. Καὶ τίνα τὰ ὄρη βαιθήλ. Καὶ τίνα τὰ πηδήματα. Καὶ τίνα τὰ ἅλματα. Τίνες δὲ οἱ βουνοὶ καὶ τὰ ὄρη ἐφ' ὧν ταῦτα γίνεται. Φασὶ τὴν δορκάδα, ἐπώνυμον εἶναι τῆς οἰκείας ὀξυδερκίας. Καὶ διὰ τὸ ὀξέως ὁρᾶν, ταύτην εἰληφέναι τὴν προσηγορίαν. Φασὶ δὲ καὶ τὰς ἐλάφους τῶν ἑρπηστικῶν θηρίων, ἀναιρετικὰς εἶναι. Καὶ τοὺς ὄφεις καὶ τοὺς ἔχεις καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, πόα παραπλησίως ἐσθίειν, καὶ μηδὲ μίαν ἐντεῦθεν ἀποφέρεσθαι βλάβην. Ἐπειδὴ τοίνυν ὁ δεσπότης Χριστὸς ῥάβδος ἐστὶ κατὰ τὸ ἀνθρώπινον, ἐξελθοῦσα ἐκ ῥίζης Ἰεσσαί. Καὶ ἐπανεπαύσατο ἐπ' αὐτὸν Πνεῦμα τοῦ θεοῦ. Πνεῦμα σοφίας καὶ συνέσεως. Πνεῦμα βουλῆς καὶ ἰσχύος. Πνεῦμα γνώσεως καὶ εὐσεβείας. Πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν. Ἡ νύμφη δορκάδι ἀπεικάζει αὐτὸν διὰ τὸ ὀξυδερκές, καὶ διορατικόν, καὶ τῶν μελλόντων προγνωστικόν. Νεβρῷ δὲ πάλιν αὐτὸν ἐλάφων ἐοικέναι, φησίν. Ὡς συντρίψαντα τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, καὶ συνθλάσαντα τὴν κεφαλὴν τοῦ δράκοντος. Καὶ μάχαιραν παραπλησίως δράκοντα τὸν ἐν τῇ θαλάσσῃ. Καὶ δεδωκότα τοῖς ἑαυτοῦ μαθηταῖς ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Καὶ ἁμαρτίαν μὲν μὴ ποιήσαντα. Ἄραντα δὲ τοῦ κόσμου τὰς ἁμαρτίας. Καὶ οἷον ἰοὺς ὄφεις καταδαπανήσαντα. Νεβρῷ δὲ αὐτὸ ἐλάφου, ἀπεικάζει. Ἐπειδὴ οὐ μόνον ἄνθρωπος, ἀλλὰ καὶ υἱὸς ἀνθρώπου προσαγορεύεται. Καὶ οὐ μόνον λέων, ἀλ-

λαὶ καὶ σκύμνος λέοντος. Ἀναπεσὼν γάρ φησιν, ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος. Εἰκὸς δὲ αὐτὴν, καὶ αἰνίττεσθαι. Ὅτι καὶ ἔτι βραχεῖαν ἔχων τὴν σωματικὴν ἡλικίαν, τοῦ διαβόλου τὴν δύναμιν οἷόν τινας κατεδαπάνησεν ὄφεις. Τοὺς μάγους, τοῦ διαβόλου τοὺς ὑποφήτας. Εὐθὺς γεννηθεὶς, εἵλκυσεν εἰς προσκύνησιν. Καὶ κατὰ τὸν νόμον δὲ τῶν καθαρῶν ἐστὶ ζώων καὶ ἡ δορκὰς, καὶ ἡ ἔλαφος. Προτέτακται δὲ ἡ δορκὰς τῆς ἐλάφου, ὡς τύπον ἔχουσα διὰ τὴν ὀξυδορκίαν τῆς πίστεως. Πιστεῦσαι γὰρ δεῖ πρῶτον τὸν προσερχόμενον τῷ θεῷ ὅτι ἐστί. Καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Καὶ τοὺς ἐλάφους δὲ, ἡ θεία καλεῖ γραφή. Καὶ νῦν μὲν φησιν ὁ μακάριος Δαβὶδ ὁ θεὸς ὁ περιζωννύων με δύναμιν. Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου. Ἐγένετο γάρ φησιν ἄμωμος ἡ ὁδός μου. Ἐπειδὴ κατηρτίσθησαν οἱ πόδες μου ὡσεὶ ἐλάφου. Ἠδυνήθην γὰρ πατῆσαι ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Καὶ ἐν ἄλλῳ δὲ ψαλμῷ φησί. Φωνὴ κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς. Ἐλάφους δὲ ἐνταῦθα, τοὺς ἱεροὺς ἀποστόλους ὀνομάζει. Ὧν οἱ πόδες ὡραῖοι, ὡς εὐαγγελιζομένων ἀγαθά. Ὡς πατοῦντες τοὺς θανατοῦντας ὄφεις, καὶ ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐπιβουλεύοντας. Δι' ὧν ἀπεκαλύφθησαν οἱ δρυμοὶ ἄκαρποι, ἡ τῶν εἰδώλων ἀπάτη. Διὸ ἐν τῷ ναῷ τοῦ θεοῦ πᾶς τις λέγει δόξαν. Τοιαῦτα, καὶ ὁ μακάριος Ἀββακοὺμ ὁ προφήτης φησί. Κύριος ὁ θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου ὡσεὶ ἐλάφου. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με. Τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ. Ἀλλὰ γὰρ καιρὸς ἐπὶ τὸ προκείμενον ἐπανελθεῖν :~

„ Ἰδοὺ

„ Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη. Διαλλόμενος ἐπὶ
„ τοὺς βουνούς. Ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι ἢ
„ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη βαιθήλ.

Διδάσκει ἐνταῦθα ἡ νύμφη τὴν τῶν εἰδώλων κατάλυσιν ὑπὸ τοῦ νυμφίου γενομένην. Ὄρη γὰρ καὶ βουνούς. Τὰ ἐν τοῖς ὄρεσι πάλαι ὄντα ἄλση, καὶ τεμένη τῶν δαιμόνων ὠνόμασε, καθ' ὧν ἀλλόμενος καὶ πηδῶν. Τῇ τε σοφίᾳ τῶν λόγων καὶ τῇ δυνάμει τῶν θαυμάτων. Περιεγίνετο καὶ φροῦδα αὐτὰ παντελῶς πεποίηκεν. Ἀμέλει καὶ ὁ σύμμαχος τοῦτο σαφέστερον ἑρμηνεύων φησίν. Ἰδοὺ οὗτος ἔρχεται βαίνων κατὰ τῶν ὀρέων. Διαπηδῶν κατὰ τῶν βουνῶν. Τούτοις ἐπιφέρει πάλιν ἡ νύμφη :~

„ Ἰδοὺ οὗτος ὀπίσω τοῦ τοίχου ἡμῶν ἕστηκε. Παρακύπτων
„ διὰ τῶν θυρίδων. Εἰς κύπτων διὰ δικτύων.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Διδάσκει δὲ ὅτι πᾶν ὄρος, καὶ βουνὸν ταπεινώσεις κατὰ τὴν τοῦ Ἡσαΐου προφητείαν. Παραγίνεται πρὸς αὐτὴν ταπεινὴν οὖσαν πάλαι καὶ φάραγγι ἀπεικασμένην. Καὶ πληροῖ αὐτήν. καὶ τίθησι τὰ σκολιὰ εἰς εὐθεῖαν. Καὶ τραχείας εἰς ὁδοὺς λείας. Καὶ περιτίθησιν αὐτῇ, ὡς μὲν πόλει τεῖχος, ἵνα μὴ πολιορκῆται ὑπὸ τῶν πολεμίων. Ὡς δὲ ἀμπελῶνι, καὶ κήπῳ καὶ παραδείσῳ, τοῖχον. Ἵνα μὴ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Μὴ δὲ λυμαίνηται αὐτὴν ὗς ἐκ δρυμοῦ. Καὶ μονιὸς ἄγριος κατανεμήσεται αὐτήν. Ὥστε τὴν προτέραν ἐκείνην τὴν ἐξ Αἰγύπτου

μετα-

μεταθεθεῖσαν. Σημαίνει τοίνυν ὅτι καταλύσας τὰ τῶν δαιμόνων τεμένη, καὶ τῶν λεγομένων θεῶν τὰ ἄλση, καὶ τοὺς ναοὺς. Τοῦτο γὰρ Βαιθὴλ, οἶκον ἑρμηνεύει θεοῦ. (Ὁμωνύμως δὲ τῷ ἐπὶ πάντων θεῷ, καὶ οἱ μὴ ὄντες, ὑπὸ τῶν δυσσεβῶν ὠνομάζοντο θεοὶ,) παραγέγονε πρὸς αὐτήν. Καὶ εἰς μὲν τὸν θάλαμον αὐτῆς, οὐδέπω εἰσελήλυθεν. Ἔξω δὲ τοῦ τοίχου ἑστηκὼς παρακύπτει διὰ τῶν θυρίδων. Θύρας δὲ, τὰς αἰσθήσεις καλεῖ. Ὡς γὰρ διὰ τῶν θυρίδων τῶν αἰσθήσεων, ῥεῖ τῇ ψυχῇ τά τε ἀγαθὰ καὶ τἀναντία, καὶ πάλιν ἐκεῖθεν ἐκρεῖ. Διὸ καὶ ὁ Προφήτης φησὶν Ἱερεμίας. Ὅτι θάνατος ἀνέβη διὰ τῶν θυρίδων. Ὁ γὰρ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς. Ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Καὶ εἰσέρχεται θάνατος διὰ τῶν θυρίδων. Καὶ ὁ παραδεξάμενος ἀκοὴν ματαίαν, δέχεται θάνατον διὰ τῶν θυρίδων. Ἀλλ᾽ ἡ νύμφη νῦν τῆς ὥρας τοῦ νυμφίου διὰ τῶν θυρίδων ἀπολαύει. Καὶ ζητητέον πῶς ὁ νυμφίος παρακύπτει διὰ τῶν θυρίδων. Τουτέστι διὰ τῶν αἰσθήσεων τῶν ἡμετέρων, ὅταν ἐν νόμῳ κυρίου μελετῶντες ἡμέρας καὶ νυκτὸς, τοῖς θείοις ἐντρυφῶμεν λόγοις. Καὶ μετὰ κατανύξεως καὶ γνώσεως προσέχωμεν τοῖς γεγραμμένοις. Διανοίγωμεν ἡμῶν τὰς θυρίδας, καὶ ὑποδεχόμεθα τοῦ νυμφίου τὸ πρόσωπον. Καὶ ὅταν ἑτέρων ἀναγινωσκόντων τὰ θεῖα λόγια. Ἢ περὶ θεοῦ διαλεγομένων, σπουδαίως ἀκούωμεν, πάλιν διὰ τῶν ἄλλων θυρίδων ὁ νυμφίος παρακύπτει, καὶ τὸ οἰκεῖον ἡμῖν ὑποδείκνυσι κάλλος. Οὐ μόνον διὰ τῶν θυρίδων παρακύπτει, ἀλλὰ καὶ ἀπὸ τῶν δικτύων ἐκκύπτει. Οὐ καταλιμπάνει γὰρ αὐτοῦ τὴν νύμφην θηρευομένην ὑπὸ τῶν ἐπιβούλων δαιμόνων. Καὶ δικτύοις περιβαλλομένην. Ἀλλὰ ῥύεται αὐτὴν ἐκ παγί-

δος θη-

δος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Καὶ ἐν αὐτοῖς δὲ πειρασμοῖς ἐκκύπτει διὰ τῶν δικτύων. Καὶ ψυχαγωγεῖ αὐτὴν πολιορκουμένην. Καὶ τὸ φρόνημα αὐτῆς ἀνορθοῖ. Καὶ τοῦτό ἐστιν εὑρεῖν ἔν τε τῇ παλαιᾷ καὶ τῇ νέᾳ γραφῇ ὑπὸ τοῦ θεοῦ τῶν ὅλων γεγενημένον. Καὶ τοὺς εὐσεβεῖς πάσης παραψυχῆς ὑπὸ τοῦ θεοῦ τῶν ὅλων τετυχηκότας. Συνεχώρησε μὲν γὰρ ἁρπαγῆναι τὴν Σάρραν ὑπὸ τοῦ Φαραώ. Παρέκυψε δὲ διὰ τῶν δικτύων, καὶ τόντε Πατριάρχην Ἀβραὰμ ἐψυχαγώγησε, καὶ τὰ δίκτυα διασπάσας. Σῶον αὐτῷ τὸ θήραμα, καὶ ὑγιὲς ἀπέδωκεν. Ἠγρεύθη πάλιν ὑπὸ τοῦ Ἀβιμέλεχ. Καὶ πάλιν παρακύπτει διὰ τῶν δικτύων. Καὶ οὐ μόνον τὸ θήραμα ἔσωσεν, ἀλλὰ καὶ τὸν θηρευτὴν εὐεργέτησε. Τοῦτο καὶ ἐπὶ τοῦ Ἰσαὰκ πεποίηκε. Τοιαῦτα γὰρ ἐπὶ τῆς Ῥεβέκκας πέπονθεν, οἷα ἐπὶ τῇ Σάρρᾳ ὁ Πατήρ. Τοῦτο καὶ ἐπὶ τοῦ Ἰακὼβ εἰργάσατο. Τοῦ γὰρ κηδεστοῦ καταλαβεῖν αὐτὸν σπουδάζοντος καὶ ἀνελεῖν προθυμουμένου. Ἐπιφαίνεται πάλιν διὰ τῶν δικτύων. Καὶ τὸν μὲν Ἰακὼβ παραθαρρύνει, τὸν δὲ Λάβαν δεδίττεται. Καὶ ἡνίκα δὲ πάλιν ἔδεισε τὴν τοῦ ἀδελφοῦ παρουσίαν, φαίνεται καὶ τὸ δέος ἐλαύνει. καὶ θάρσος ἐντίθησι. Καὶ τῷ Ἰωσὴφ δὲ ἐξανδραποδισθέντι καὶ δούλῳ γενομένῳ. Κἂν τῇ δεσποτικῇ συνοικίᾳ, κἂν τῷ δεσμωτηρίῳ παρῆν. Καὶ πανταχοῦ διὰ τῶν δικτύων παρακύπτων. Ψυχαγωγῶν αὐτὸν διετέλει. Καὶ ἵνα τοὺς ἐν μέσῳ καταλίπω ἁγίους. Φεύγων τοῦ λόγου τὸ μῆκος. Οὕτως τὸν σοφώτατον Δανιὴλ ἐψυχαγώγησε, παραδοθέντα τοῖς λέουσι, καὶ ἐκ τῶν δικτύων παρακύπτων, θαρρεῖν παρεσκεύαζεν. Οὕτω τοῖς μακαρίοις ἐκείνοις παισὶν, εἰς τὴν φοβερὰν ἐκείνην συνελήλυθε κάμινον. Οὕτω τοῖς ἁγίοις Ἀποστόλοις εἰς τὸ

δεσμω-

δεσμωτήριον ἐμβληθεῖσιν ὑπὸ Ἰουδαίων θαῤῥεῖν παρεκελεύετο. Καὶ μετὰ παῤῥησίας κηρύττειν τῆς εὐσεβείας τὸν λόγον. Οὕτω μετὰ ταῦτα καθειρχθέντι ἐν Ἱεροσολύμοις τῷ μακαρίῳ Παύλῳ, καὶ τὸν θάνατον προσδοκῶντι. Θάρσος ἐντίθησι λέγων, θάρσει Παῦλε. Ὡς γὰρ ἐμαρτύρω τὰ περὶ ἐμοῦ ἐν Ἱεροσολύμοις, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. Τοῦτο καὶ ἡ νύμφη αἰνιττομένη φησίν:~

» Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν, παρακύπτων
» ἀπὸ τῶν θυρίδων. Ἐκκύπτων ἀπὸ τῶν δικτύων.

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

Ἐπειδὴ πεφύκασι φυγαδεύειν τὰ ἰοβόλα θηρία, ἡ δορκὰς, καὶ ἡ ἔλαφος. Τεῖχος δὲ ἡμῶν ἐστὶ, τὸ κτιστόν. Οὗ ὀπίσω ἕστηκεν ὁ ἄκτιστος καὶ πάντων δημιουργὸς θεὸς λόγος. Ὡς ἀρχὴ τῶν ἐχόντων πρὸς τέλος τὴν κίνησιν. Εἰ γὰρ ἐστὶ καὶ ἔμπροσθεν ὁ αὐτὸς, ὡς τῶν ὅλων ἀρχὴ καὶ τέλος. Ἀλλ' ἐπειδήπερ μήπω αὐτὸν εὑρήκαμεν ἐκ τοῦ τέλους. Οὔπω γὰρ ἐν αὐτῷ τὴν πᾶσαν ἀνεπαύσαμεν κίνησιν, ὅπερ τὸ τέλος ἐστὶν, ὀπίσω ἑστηκέναι λέγεται παρακύπτων διὰ τῶν θυρίδων. Θυρίδας δὲ τῆς κτιστῆς φύσεως, αἱ μετοχαὶ εἰσὶ τοῦ ἀκτίστου, δι' ὧν οὗτος ἐπ' αὐτὴν παρακύπτει. Ἐπιβλέπων τὰ κατ' αὐτὴν κηδεμονικῶς. Εἰ μὴ ταύταις αὐτῷ ἀποκλείομεν, ταῖς παρὰ φύσιν κινήσεσιν. Ἐκκύπτων διὰ τῶν δικτύων. Ἤγουν ἐποπτεύων ἡμᾶς διὰ τῆς ἀλληλουχίας τῶν ἀρετῶν. Εἰ γὰρ ἔχομεν τὰς εἰρημένας θυρίδας ἀναπεπετασμένας μέν. Πεφυλαγμένας δὲ τῇ τῶν ἀρετῶν καταλόγῳ ἀλληλουχίᾳ. Καθ' ὃν εἰσὶν αὗται δίκην δικτύων περιπεπλεγμέναι ἀλλήλοις, ἵνα μή τι τῶν πετεινῶν πάντως τῶν

ἐν ἀε-

ἐναερίων πνευμάτων λαθὸν εἰσέλθῃ. Καὶ τὸν ἐναποκείμενον ἡμῖν σπόρον τῆς θείας διδασκαλίας λυμαίνηται. Ἐκκύπτει ἐφ' ἡμᾶς τῶν τοιούτων δικτύων, ἡ αὐτῶν τῶν ἀρετῶν οὐσία. Δηλαδὴ ὁ γεννηθεὶς ἡμῖν ἀπὸ θεοῦ σοφία, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις, μονογενὴς αὐτοῦ, υἱὸς λόγος:~

» Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν παρακύπτων διὰ
» τῶν θυρίδων. Ἐκκύπτων ἀπὸ τῶν δικτύων.

Τοῦ Ψελλοῦ:-

Ἰδοὺ φησὶν ἐλήλυθεν ὁ λόγος καὶ νυμφίος.
Ὁ κατοικῶν ἀπὸ βαιθὴλ τῆς ἄνω κατοικίας
Οὐδέπω δ' εἰσελήλυθεν ἐντὸς τοῦ περιβόλου.
Ἀλλ' ἔξωθεν ἱστάμενος ἐξόπισθεν τοῦ τοίχου.
Διὰ θυρίδων ἔσωσεν καὶ θέλει παρακύπτειν.
Σὺ δέ μοι τοῖχον γίνωσκε τὸν νόμον τὸν ἀρχαῖον.
Τὸν ἐμποιοῦντα τὴν σκιὰν, καὶ πλάνην τῶν ἀνθρώπων.
Θυρίδας δὲ καὶ δίκτυα, τῶν Προφητῶν τοὺς λόγους.
Καὶ γὰρ περὶ τῆς σαρκώσεως τοῦ θεανθρώπου λόγου.
Πολυμερῶς ἐλάλησε καὶ πάνυ πολυτρόπως.
Ἀλλ' ὅπερ λέγει καθ' εἱρμὸν ἡ νύμφη σκοπητέον:-

» Ἀποκρίνεται ὁ ἀδελφιδός μου, καὶ λέγει μοι. Ἀνάστα
» ἐλθὲ ἡ πλησίον μου, καλή μου περιστερά μου.

Ἐπεὶ φησὶν ἐλήλυθεν ὁ λόγος καὶ νυμφίος.
Ὁ τοῖς Προφήταις χρώμενος ὥσπερ ἐπὶ θυρίσι,
Τοῦτο τὸ πρῶτον εἴρηκεν ἔσωθεν παρακύπτων.
Ἀνάστηθι τοῦ πτώματος τῆς πλάνης, καὶ τοῦ σκότους.

Ρ Καὶ

Καὶ προσελθέ μοι καθαρῶς καὶ γίνου μοι πλησίον.
Εἶτα φησὶν ἐξεῖπέ μοι, καὶ τάδε πρὸς τοὺς ἄλλους:-

» Ἰδοὺ ὁ χειμὼν παρῆλθεν. Ὁ ὑετὸς ἀπῆλθεν. Ἐπορεύ-
» θη ἑαυτῷ. Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ. Ὁ καιρὸς τῆς το-
» μῆς ἔφθασεν.

Ὅτε φησὶ κατήργησε τὴν φύσιν τῶν δαιμόνων.
Τὴν ἀποκρυσταλώσασαν τὴν φύσιν τῶν ἀνθρώπων
Καὶ δείξασαν ἀναίσθητον πρὸς τὸ καλὸν τελείως.
Κἀντεῦθεν ἀπελήλαται χειμὼν ὁ τῆς ἀπάτης.
Καὶ πᾶς δεινός τις ὑετὸς ἀπῆλθεν ἀπερρύη.
Καὶ τὸ τερπνὸν ἀνέτειλε τῆς ἀληθείας ἔαρ.
Ἡ γῆ δ᾽ ἀνθεῖν ἀπήρξατο φύσις ἡ τῶν ἀνθρώπων.
Καιρὸς δὲ πέφθακε λοιπὸν τῆς τομῆς τῶν ἀνθέων.
Ἡ τῶν ἀνθρώπων φύσις γὰρ, τὴν γῆν ὁ λόγος εἶπεν.
Εἰδώλοις ὑποκλίνασα καὶ πλάνη τὸν αὐχένα.
Εἶδος οὐκ εἶχεν ἀρετῶν. Τοῦτο γὰρ ἄνθος νόει.
Τῷ δὲ ἐμμυπαίτῳ καὶ σφοδρῷ χειμῶνι τῷ τῆς πλάνης.
Κρυσταλωθεῖσα καὶ σχεδὸν ἐναπηλιωθεῖσα.
Τίς γὰρ ἠλπίσατο ποτὲ τῆς πλάνης σκολιαζούσης.
Τηρεῖν ἐξομολόγησιν, φυλάττειν σωφροσύνην.
Ἐγκράτειαν ἀσπάζεσθαι φιλεῖν δικαιοσύνην.
Ἀλλ᾽ ἤδη πάντας ἤνθησεν ἡ γῆ, λοιπὸν ἀνάστα.
Καὶ σπούδασον ἐξ ἀρετῶν στεφάνους σοι πλακῆναι.
Καὶ μάρτυς ἀπαράγραπτος ὑπάρχει τῶν ἀνθέων.
Ὁ πρόδρομος τῆς χάριτος, λέγων μετανοεῖτε.
Ὅστις πολλοὺς ἐβάπτισε τοῦ γένους τῶν Ἑβραίων.
Ἰδὼν

Ἰδὼν αὐτοὺς ἀνθήσαντας ἐν ἐξομολογήσει.
Τοῦτον γὰρ χάριν εἴρηκεν ὁ λόγος τῶν ᾀσμάτων.

» Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν.

Φωνὴ βοῶντος πέφυκεν ὁ πρόδρομος γὰρ οὗτος.
Στρουθῷ τρυγόνι δεξιᾷ παρεικασθεὶς τῷ λόγῳ.

» Ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλίνθους αὐτῆς. Αἱ ἄμπελοι
» κυπρίζουσιν, ἔδωκαν ὀσμήν.

Τοῦτο ταυτόν τι πέφυκε τάχα τοῖς προρρηθεῖσι.
Συκῆν γὰρ αὖθις νόησον τὴν φύσιν τῶν ἀνθρώπων.
Ὀλύνθους δὲ τῶν ἀρετῶν τὰς ὑποδεεστέρας.
Ἀμπέλους πάλιν γίνωσκε δέσποτα κυπριζούσας.
Ψυχὰς προκόπτειν τὸ καλὸν ἐναρξαμένας ἤδη:-

» Ἀνάστα ἐλθὲ ἡ πλησίον μου καλή μου περιστερά μου.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Μαρτυρεῖ τῷ κάλλει τῆς νύμφης ὁ νυμφίος. Καὶ οὐχ ἁπλῶς αὐτὴν καλὴν, ἀλλὰ καλή μου καλεῖ. Διδάσκων ὅτι λίαν αὐτῷ τὸ κάλλος αὐτῆς ἀρέσκει. Προσαγορεύει δὲ αὐτὴν καὶ περιστεράν. Τὴν πνευματικὴν χάριν διὰ τούτου τοῦ ὀνόματος αἰνιττόμενος. Ἐν εἴδει γὰρ περιστερᾶς ἐπ᾽ αὐτὸν ἐφοίτησε τὸ πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ τελείους, πνευματικοὺς οἶδεν ὁ μακάριος Παῦλος καλεῖν. Διὸ τοῖς ἀτελέσι ἐπιγράφων φησί. Κἀγὼ ἀδελφοὶ οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. Ἀλλ᾽ ὡς σαρκικοῖς. Ὡς νηπίοις ἐν Χριστῷ. Τοῖς δὲ τελείοις γράφει. Ὑμεῖς δὲ ἐν σαρκὶ οὐκ ἐστὲ, ἀλλ᾽ ἐν

 πνευμα-

πνεύματι. Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰκότως τοίνυν τὰς ἐν ἀρετῇ τετελειωμένας ψυχὰς, ὁ νυμφίος περιστερὰν ὀνομάζει. Τουτέστι πνευματικὴν καὶ πνεύματος ἁγίου πεπληρωμένην. Καὶ γὰρ ὁ Προφήτης Ἡσαΐας πόῤῥωθεν ταῦτα προορῶν. Καὶ τοὺς ἁγίους Ἀποστόλους, οἱόντινας ὑποπτέρους πᾶσαν τὴν οἰκουμένην περιϊπταμένους θεώμενος. Καὶ τοὺς ἐκείνων φοιτητὰς καὶ ἀκεραίους ὥσπερ τινὰς νεοττοὺς ἑπομένους, αὐτοῖς βοᾷ, καὶ λέγει. Τίνες οἵδε νεφέλαι πέτονται. Καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς αὐτῶν. Οὕτω καὶ ὁ νυμφίος ἐνταῦθα τὴν Ἐκκλησίαν αὐτοῦ κάμνουσαν ἐν τοῖς πειρασμοῖς, ψυχαγωγῶν καὶ παραμυθούμενος. Καὶ ἐκ τῶν θυρίδων παρακύπτων. Καὶ ἀπὸ τῶν δικτύων ἐκκύπτων. Παρακαλεῖ αὐτὴν ἀναστῆναι καὶ πρὸς αὐτὸν ἀναπτῆναι. Ἔδωκε γὰρ αὐτῇ τῆς περιστερᾶς ἐκείνης τὰ πτερὰ, περὶ ἧς ὁ μακάριος Δαβὶδ λέγει. Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς, ἐν χλωρότητι χρυσίου. Κλήρους, τὰς δύο διαθήκας ὀνομάζων. Περιστερὰν δὲ, τὴν τοῦ πνεύματος χάριν. Πτερὰ ἔχουσαν περιηργυρωμένα. Τὴν τοῦ λόγου λαμπρότητα. Μετάφρενα δὲ ἐν χλωρότητι χρυσίου, τῶν κεκρυμμένων μυστηρίων τὸ περίβλεπτον. Ἐὰν γάρ φησιν ἐν μέσῳ δύο διαθηκῶν διαναπαύσησθε. Καὶ ἑκατέρωθεν τὴν ὠφέλειαν ἑλκύσητε, εὑρήσετε ἐκεῖ τὰ ποικίλα τοῦ πνεύματος δῶρα. Ἡ νύμφη τοιγαροῦν τὴν πνευματικὴν δεξαμένη παραίνεσιν. Καὶ κοιμηθεῖσα ἀναμέσον τῶν κλήρων. Εὗρε τὰς περιηργυρωμένας πτέρυγας. Διὸ πρὸς τὸν νυμφίον ἀναπτῆναι κελεύεται:~

» Ἰδοὺ γάρ φησιν ὁ χειμὼν παρῆλθεν. Ὁ ὑετὸς ἀπῆλ-
» θεν. Ἐπορεύθη ἑαυτῷ. Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ. Και-
» ρὸς τῆς τομῆς ἔφθασε. Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν
» τῇ γῇ ἡμῶν. Ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς.
» Αἱ ἄμπελοι κυπρίζουσιν. Ἔδωκαν ὀσμήν.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Παραθώμεν τούτοις εἰ δοκεῖ, καὶ τὰς Εὐαγγελικὰς τοῦ κυρίου φωνάς. Πλῆθος γὰρ πολὺ θεασάμενος πανταχόθεν συῤῥέον πρὸς αὐτόν. Φησὶ πρὸς τοὺς ἱεροὺς Ἀποστόλους. Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. Καὶ ἀλλαχοῦ δὲ ἤδη φησί. Καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον. Καὶ πάλιν. Ἄλλος ἐστὶ φησὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. Ὑμᾶς θερίζειν ἀπέσταλκα. Ἐντεῦθεν τοίνυν νοήσωμεν, τὸ ἰδοὺ ὁ χειμὼν παρῆλθε. Τὸν γὰρ πρὸ τῆς παρουσίας αὐτοῦ χρόνον, ὀνομάζει χειμῶνα. Ἔαρ δὲ, τὸ μετὰ τὴν παρουσίαν. Ἀκμὴν δὲ θέρους, τὸν προσδοκώμενον αἰῶνα. Διό φησιν αὐτὸς ὅτι παρελήλυθε, καὶ ὁ χειμὼν καὶ ὁ ὑετός. Αἱ τοῦ νόμου φησὶν ἀπειλαί. Καὶ αἱ σφοδραὶ τῶν ἁμαρτημάτων τιμωρίαι. Καὶ ἐπορεύθη ἑαυτῷ. Παραχωρεῖ γὰρ ἡ σκιὰ τῷ σώματι. Ὁ παιδαγωγὸς, τῷ σοφῷ διδασκάλῳ. Ὤφθη γὰρ ἄνθη ἐν τῇ γῇ. Προσεκτέον τῇ ἀκριβείᾳ, τῶν λόγων. Οὐ γὰρ εἶπεν οἱ καρποὶ, ἀλλὰ ἄνθος. Ἡ γὰρ τελειότης τῶν ἀγαθῶν, ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις παρέχεται. Ἐνταῦθα δὲ, οἱ κατὰ τὸν μακάριον Παῦλον φασίν. Ἄρτι βλέπω ὡς ἐν ἐσόπτρῳ. Ὡς ἐν αἰνίγματι. Τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Ἀλλὰ καὶ ὁ καιρὸς φησὶ τῆς τομῆς ἔφθακεν. Ἢ ὡς ὁ σύμμαχος, καὶ ὁ ἀκύλας. Τῆς

κλαδεύσεως. Μετὰ γὰρ τὴν τοῦ δεσπότου Χριστοῦ παρουσίαν, ταύτης τῆς καθάρσεως πάντα τὰ ἔθνη τετύχηκε. Διὸ καὶ ὁ Κύριος φησίν. Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή. Ὑμεῖς τὰ κλήματα. Ὁ Πατήρ μου ὁ Γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό. Καὶ πᾶν ὃ φέρει καρπὸν καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ. Διὰ τοῦτο φησὶ, καὶ ὁ καιρὸς τῆς τομῆς ἔφθακεν. Ἀλλὰ καὶ φωνὴν τῆς τρυγόνος, τὴν τοῦ παναγίου πνεύματος διδασκαλίαν καλεῖ. Οὕτω γὰρ καὶ ὁ μακάριος Δαβὶδ ἐν τῷ ὑπὲρ τῶν ληνῶν προσαγορευομένῳ Ψαλμῷ, φησίν. Εἰρηκὼς γάρ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε τῶν δυνάμεων. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου, εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. Διδάσκει καὶ τῆς ἀγαλλιάσεως τὴν αἰτίαν, καί φησι. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν. Καὶ τρυγὼν, νοσσιὰν ἑαυτῆς. Καὶ δεικνὺς, ἐπιφέρει λέγων. Τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων. Καὶ διδάσκει ἡμᾶς, ὅτι νεοσσοὶ μέν εἰσιν, οἱ τῆς διὰ τοῦ λουτροῦ παλιγγενεσίας τετυχηκότες. Καλιὰ δὲ αὐτῶν καὶ νεοσσιὰ, τὰ θεῖα θυσιαστήρια. Ἐν οἷς τρέφονται καὶ σιτοῦνται πτεροφυοῦσι. Καὶ κατὰ βραχὺ τῆς τελειότητος ἀπολαύουσιν. Οἷον δέ τις μήτηρ αὐτῶν ἐστι τίκτουσα, ἡ τοῦ ἁγίου πνεύματος χάρις. Ἡ τροπικῶς ὀνομαζομένη τρυγὼν, διὰ τὸ σῶφρον τοῦ ζώου καὶ φιλέρημον. Καὶ ἐν δένδρεσιν ἀμφιλαφέσι τὰς καλιὰς πηγνῦσαι. Φησὶ τοίνυν ὁ νυμφίος. Ὅτι φωνὴ τῆς τρυγόνος, ἠκούσθη ἐν τῇ γῇ ἡμῶν. Καὶ ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς. Τουτέστι τὸν πρώιμον τῆς πίστεως καρπόν. Διὸ καὶ ὁ ἕτερος καρπὸς ὁ τῶν πράξεων λέγω, μόνιμος γίνεται καὶ οὐκ ἐκρεῖ. Ἀλλὰ πεπαίνεται καὶ ἥδιστος ἀποτελεῖται. Καὶ ἄμπελοι δὲ κυπρίζουσιν ἔδωκαν ὀσμήν.

Ἤνθη

Ἤνθησαν φησὶ τὴν εὐοσμίαν, οἱ τροπικῶς καλούμενοι ἄμπελοι. Καὶ τὴν εὐοσμίαν ἀφίησιν:~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Οὕτω τοίνυν ἡ διδάσκαλος ψυχὴ, ἀπασχολήσασα ἑαυτὴν τῇ διδασκαλίᾳ τῶν μαθητευομένων. Λοιπὸν ἅπερ αὐτὴ μανθάνει παρὰ τοῦ νυμφίου. Φησίν. Ἀποκρίνεται ὁ ἀδελφιδός μου. Ἤτοι ἐμοῦ πρὸς τὰς μαθητευομένας ποιουμένης τὸν λόγον, ἀποκρίνεται ὁ ἀγαπητός μου καὶ λέγει μοι. Ἀνάστα ἐλθὲ ἡ πλησίον μου. Δηλαδὴ ἀνάνευσον ἀπὸ τοῦ διδάσκειν τὰ παρ' ἐμοῦ διά τε τοῦ φυσικοῦ, καὶ τοῦ γραπτοῦ νόμου προδιδαχθέντα σοι, περὶ ἐμοῦ μυστήρια. Κἀκ τούτων ἐγερθεῖσα, ἐλθὲ πάλιν εἰς τὸ διδάσκεσθαι, διὰ τοῦ πνευματικοῦ νόμου τὰ ἐπὶ τύπων ὑποκείμενα, ἡ διὰ τελειότητα ἐγγύς μου. Οὐ περιγραφήσομαι γάρ ποτε τισὶ μετουσίαις, ἢ θεωρήμασι, κατ' ἀξίαν ὑπάρχων ἄπειρος καὶ ἀόριστος. Καὶ διὰ τοῦτο δέον ἐπὶ τοῖς ἔμπροσθεν διηνεκῶς ἐπεκτείνεσθαι. Καλή μου περιστερά μου. Καλή μου μὲν, ὡς κεκαθαρμένη καὶ ὡραϊσμένη τῇ πράξει τῶν ἐντολῶν. Περιστερά μου. Ὡς πεφωτισμένη τοῖς τοῦ παναγίου πνεύματος χαρίσμασιν. ἀνάστα δέ φησι καὶ ἐλθέ. Ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν. Ἤγουν διὰ τοῦτό σοι ἐγκελεύομαι ἐγεῖραι ἀεὶ, ἀπὸ ὑψηλῶν θεωρημάτων, εἰς ὑψηλοτέραν πρὸς μετουσίαν τοῦ ὑποκειμένου κάλλους σε ἐφελκόμενος. Ὅτι τὰ χειμαζόμενα πάθη τὴν ψυχὴν, καὶ πρὸς τὴν πνευματικὴν πορείαν κωλύοντα. Γεγόνασιν ἐκποδών. Ὁ ὑετὸς ἀπῆλθεν ἐπορεύθη ἑαυτῷ. Δηλονότι ἡ σφοδρὰ καταιγὶς τῶν αἱρέσεων, ὑφ' ἧς ἀπησχολοῦ μὴ παρά σοι μεῖναι, ἀπέστη. Τῇ ὑφ' ἑαυτῶν δι' ἀλλήλων φθαρεῖσα φθορᾷ.

Τὰ

Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ. Αἱ ἀρεταὶ πάντως. Αἱ δίκην πολυειδῶν τε καὶ διειδῶν ἀνθέων τὴν ψυχὴν ὡραΐζουσιν. Ἀνέθηλαν ἐν σαρκὶ κατ' ἐνέργειαν. Ταῦτα γεγόνασιν, ἐπειδήπερ καιρὸς τῆς τομῆς ἔφθακεν. Ὃς τῆς τοῦ Χριστοῦ ἐν σαρκὶ ἐπιδημίας ἐστί. Φησὶ γὰρ ἐν Εὐαγγελίοις αὐτός. Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ Πατρὸς αὐτοῦ. Καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς. Καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. Τέμνονται γὰρ διὰ πίστιν, καὶ ἀρετὴν οὗτοι. Οἱ καινοὶ τῷ καινοποιῷ πνεύματι. Ἀπὸ τῶν πεπαλαιωμένων τῇ ἀπιστίᾳ, καὶ τῇ κακίᾳ. Ὅθεν καὶ τῆς ἑαυτοῦ ἐν σαρκὶ ἐπιδημίας ἐπάγων τὴν μαρτυρίαν, φησί. Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν. Τρυγόνα γὰρ καλεῖ, τὸν τῆς ἑαυτοῦ παρουσίας Προφήτην, καὶ πρόδρομον ὡς ἐρημικόν τε καὶ σώφρονα. Οὗ ἡ φωνή. Τὸ τῆς μετανοίας ἐστὶ κήρυγμα. Ὅπερ ἔνιοι τῶν σαρκικῶν καὶ φρονούντων τὰ γήινα ἠκούσθη. Ὡς πεισθεῖσι τῷ κηρύγματι τούτῳ. Καὶ μετανοίας βαπτισθεῖσι βάπτισμα. Διὸ καὶ φησίν. Ἡ συκῆ ἐξήνθησεν ὀλύνθους αὐτῆς. Συκῆν γὰρ τὴν μετὰ ταῦτα δι' ἀκαρπίαν κατηραμένην παρὰ Χριστοῦ συναγωγὴν λέγει τῶν Ἰουδαίων. Ἥτις δίκην ὀλύνθων προσανισχόντων τοῦ τελείου καρποῦ, καὶ ταχέως πιπτόντων, τὸ τοῦ Ἰωάννου Βάπτισμα Βαπτισθέντας, ἀνέθηλεν. Οὕτω μὲν γὰρ τὸν καρπὸν προεδείκνυον. Προτυποῦντες διὰ τοῦ ἐν ὕδατι μόνῳ Βαπτίσματος, τὸ ἐν ἁγίῳ πνεύματι καὶ πυρὶ Βάπτισμα. Αὐτοὶ δὲ εἰς τοῦτο οὐκ ἔφθασαν. Ἀλλ' ὡς τῇ περὶ Χριστοῦ μαρτυρίᾳ τοῦ Ἰωάννου μὴ πιστεύσαντες, τῆς εἰς αὐτὸν Χριστὸν ἐξέπεσον πίστεως. Αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν, ἔδωκαν ὀσμήν. Ἀμπέλους δὲ καλεῖ τὰς ἐν τοῖς ἔθνεσι φυτευθείσας τῷ κη-

κηρύγματι

ρύγματι τῆς τοῦ Χῦ Ἐκκλησίας τῶν πιστευσάντων αὐτῷ. Ὧν Ἐκκλησιῶν ἄνθη, προδεικτικὰ τοῦ κατ' ἀρετὴν καρπίμου αὐτῶν, οἱ προσενεγκόντες Χριστῷ δῶρα ἐξ ἀνατολῶν μάγοι. Οἱ προσαγαγόντες αὐτῷ ὡς Βασιλεῖ καὶ Θεῷ, καὶ δι' ἡμᾶς νεκρῷ. Χρυσὸν καὶ λίβανον, καὶ σμύρναν. Παρέχοντες τοῖς ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνεργουμένοις τὸ τῆς γνώσεως χάρισμα. Εὐώδη ὀσμὴν τῆς εἰς αὐτὸν Χριστὸν πίστεως τῶν ἐθνῶν. Διὰ ταύτην γοῦν φησίν:~

» Ἀνάστα ἐλθὲ ἡ πλησίον μου καλή μου περιστερά μου.

Δηλαδὴ ἔγειραι ἀπὸ τοῦ διδάσκειν διὰ τῶν ἔν τε τῇ φύσει καὶ τῷ γράμματι τύπων καὶ σκιῶν. Καὶ ἐλθὲ εἰς τὸ διδάσκεσθαι τὰ τοῦ πνεύματος. Ἡ διὰ τὴν πρός με ἐγγύτητα ὡραϊσμένη μοι τοῖς τοῦ παναγίου πνεύματος ἐνεργήμασιν. Ἐν οἷς γὰρ τρόπον τινὰ μακρυνὴ ἀπ' ἐμοῦ τοῖς τύποις διὰ τοὺς μαθητευομένους συγκαταβαίνουσα. Ἐν αἰσθήσει καλὴ καὶ οὐ πνεύματι ταύταις δοκεῖς. Ὡς μὴ χωρούσαις τὰ τοῦ πνεύματος. Εἶτα ἐπειδὴ τὴν μὲν αἰτίαν ἀπέδειξε δι' ἣν ἀπήτησεν αὐτὴν τὴν πρὸς αὐτὸν ἐπανέλευσιν. Διδάξας ἐφθακέναι τὸν καιρὸν τῆς ἐν σαρκὶ ἐπιδημίας αὐτοῦ. Καθ' ἣν καὶ πρὸς τοὺς οἰκείους μαθητὰς ἔλεγε, τὸ ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν. Τὸ δ' ἐν ποίᾳ ἀσφαλείᾳ δεῖ πρὸς αὐτὸν ταύτην ἐλθεῖν, οὐκ ἐδήλωσεν· νῦν καὶ ταύτην διαδάσκων φησίν:~

» Καὶ ἐλθὲ σὺ περιστερά μου, σκέπῃ τῆς πέτρας ἐχόμενα
» τοῦ προτειχίσματος.

Ἤτοι, ἐπειδὴ σοὶ μὴ ἐπακολουθοῦσιν αἱ διδασκόμεναι, διδασκούσῃ ταύταις διὰ τῶν ἐν αἰσθήσει τὰ τοῦ πνεύματος.

ἐλθὲ σὺ ἡ πνευματικὴ, τῇ ἐμῇ τοῦ ἀτρέπτου Εὐαγγελικῇ παιδαγωγίᾳ φυλαττομένη. Ἀκολούθως τῇ κατὰ τὰς ἐντολὰς τοῦ γραπτοῦ νόμου περὶ φυλακῇ. Ὁ γὰρ γραπτὸς νόμος προτειχίσματος εἶχεν, περὶ τὴν κατ' ἐνέργειαν παθῶν περιεφύλαττε. Καὶ τοὺς τύπους μόνον τῆς ἀληθείας ἐδείκνυεν. Οἷς ἀκόλουθον πρὸς τελειότα. Τῇ μὲν καθάρσει τὴν κατ' ἐνέργειαν παθῶν, ἢ καὶ αὐτὴν τὴν ἐναντίων ἐπιθυμιῶν ἔκπλυσις. Τῇ δὲ θεωρίᾳ τὴν τύπων ἡ ἐν πνεύματι ἀναγωγὴ πρὸς αὐτὴν τὴν ἀλήθειαν. Ἅπερ ὁ πνευματικὸς διδάσκει νόμος πάντως τὸ Εὐαγγέλιον. Ἐν ᾧ σκεπόμεθα παρὰ Χριστοῦ τῆς πνευματικῆς πέτρας, κατὰ τὸν θεῖον Ἀπόστολον, οὕτω ἐν καλέσας αὐτήν. Τί βούλεται λοιπὸν τὸ καταλιπεῖν, τὸ διδάσκειν τὰ τῆς σκιᾶς, καὶ ἐν πνεύματι καὶ ἀληθείᾳ ἐλθεῖν πρὸς αὐτὸν φησίν:~

» Δεῖξόν μοι τὴν ὄψιν σου.

Ἤγουν ἀνακάλυψόν μοι τὸν κατ' εἰκόνα ἐμὴν καὶ ὁμοίωσιν πνευματικόν σου χαρακτῆρα. Ὃν διὰ τὸ θεατὸν ταῖς μαθητευομέναις γίνεσθαι, τύποις τῆς ἀληθείας καὶ συμβόλοις συνεκάλυψας:~

» Καὶ ἀκούτισόν με τὴν φωνήν σου.

ἘΝ τῷ πνευματικῶς ἐντυγχάνειν μοι. Τὴν γὰρ φωνὴν τῆς διδασκάλου ψυχῆς. Τὸ μὲν πνεῦμα ἀνάγει πρὸς τὰ ὦτα κυρίου. Τὰ δὲ ῥήματα καὶ τὸ γράμμα οἷς ὁ ἁπλοῦς ἐν πνεύματι λόγος παχύνεται συντιθέμενος. Κατάγει πρὸς τὰ ὦτα τῶν μαθητευομένων:~

» Ὅτι ἡ φωνή σου ἡδεῖα.

Δηλαδὴ γλυκεῖα ὡς τὰ τοῦ πνεύματος φθεγγομένη.

» Καὶ ἡ ὄψις σου ὡραία.

ὩΣ τὸν δεσποτικὸν σώζουσα χαρακτῆρα, καὶ ταῖς χερσὶ καθωραϊσμένη τοῦ πνεύματος.

» Ἀνάστα οὖν ἐλθὲ ἡ πλησίον, ἐν σκέπῃ τῆς πέτρας ἐχό-
» μενα τοῦ προτειχίσματος.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΚΑλεῖ δὴ αὐτὴν ἐν τῇ σκέπῃ τῆς πέτρας. Ἵνα μὴ πάλιν μέλαινα γένηται. Πέτραν δὲ καλεῖ, τὴν εὐσεβῆ πίστιν. Τὴν ἀληθῆ ὁμολογίαν. Καὶ γὰρ τῷ κυρίῳ εἰρηκότι πρὸς τοὺς μαθητάς. Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου. Ὁ μακάριος Πέτρος ἔφησε. Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. Ἀπεκρίνατο λέγων. Ἀμὴν ἀμὴν λέγω σοι. Σὺ εἶ Πέτρος. Καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Βούλεται δὲ αὐτὴν καὶ ἔξω γίνεσθαι τοῦ παρόντος βίου. Διὸ καὶ ὁ μακάριος Παῦλος φησὶν Ἑβραίοις γράφων. Ἐξερχόμεθα τοίνυν πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς. Τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Βούλεται αὐτὴν σκοπεῖν, οὐ τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Διὸ ἐχόμενα τοῦ προτειχίσματος. Αὐτὴν παρακαλεῖ γίνεσθαι. Μονονουχὶ λέγων πρὸς αὐτὴν, νέκρωσον τὰ μέλη σου τὰ ἐπὶ τῆς γῆς. Μελέτησον ἀταρκίαν ἐν σώματι. Ἐπίδειξαι ἀπάθειαν ἐν πάθε-

σιν. Ἔξω γοῦν τῆς παρούσης πόλεως, καὶ τῶν ταύτης τειχῶν. Ἂν γὰρ μὴ παραυτῷ γένῃ τῷ προτειχίσματι, οὐκ ἀπολαύσῃ μου τῆς κοινωνίας. Ἐὰν δὲ μὴ βοήσῃς κατὰ Παῦλον, ἐν σαρκὶ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. Οὐδεὶς γὰρ στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν μὴ ἐν μεταιχμίῳ γένῃ τῶν παρόντων καὶ τῶν μελλόντων. Τοῦτο γὰρ ἡγοῦμαι παραδηλοῦσθαι διὰ τοῦ προτειχίσματος, ὁ γάμος ἡμῶν οὐ γενήσεται, ἐλθοῦσαν δὲ ἐκεῖ. Παρακαλῶ σε δεῖξόν μοι τὴν ὄψιν σου. Καθαρὰν ἔχεις σὺ τὴν διάνοιαν. Οὐδὲν γὰρ αὐτῇ τῶν βιωτικῶν φροντίδων ἐπιπροσθῇ. Ἐκεῖ βούλομαι τῆς φωνῆς σου ἀκοῦσαι. Καθαρὰ γὰρ ἐκεῖ καὶ αὐτὴ γενήσεται, ἀκολασίας ἁπάσης ἀπηλλαγμένη. Τότε ἔσται μοι ἡ φωνή σου ἡδεῖα. Καὶ ἡ ὄψις σου ὡραία. Τὸ γὰρ ἐμὸν ἐν σοὶ κατοπτρίζομαι κάλλος. Καὶ τοῖς ἐμοῖς λόγοις, κεκοσμημένης ἐπαΐω φωνῆς :~

Τοῦ Ψελλοῦ :-

» Ἀνάστα ἐλθὲ ἡ πλησίον μου καλή μου περι-
» στερά μου.

Τοῦτο πολλάκις εἴπομεν τοῦ λόγου τὰς ἐμφάσεις.
Λόγους λοιπὸν τοὺς ἐφεξῆς προσερμηνευτέον.
Ὦ παρθενεύουσα φησὶ ψυχὴ καθαρωτάτη:
Ἀνάστηθι τοῦ πτώματος καὶ δεῦρο πλὴν προθύμως.
Οὐκ ἐξ ἀνάγκης δὲ τινός, ἀλλ' ἑκουσίᾳ γνώμῃ.
Φημὶ γὰρ δεῦρο σεαυτῇ τουτέστιν ἑκουσίως.
Οὕτω δὲ πάντως πρὸς ἐμὲ τὴν πέτραν φησὶ φθάσεις.
Ἤγουν τὴν πέτραν τὸν Χριστὸν ζωῆς τῆς αἰωνίου.

Ἀπὸ

Ἀπὸ τοῦ προτειχίσματος τοῦ παλαιτάτου νόμου.
Τοῦ σύνεγγυς τυγχάνοντος τῆς πέτρας μεταβᾶσα.
Ἔρχεται γὰρ ὡς ἀληθῶς, τουτέστι προσεγγίζει.
Τῆς πέτρας τὸ προτείχισμα, καὶ μάθε καὶ τὸν τρόπον.
Προτείχισμα δὲ λέγεται δῆθεν ὁ πάλαι νόμος.
Πέτρα δὲ πάλιν ἀρραγής, ἡ νέα διαθήκη.
Κἂν γοῦν δοκῶσιν ἔξωθεν ἀλλήλων ἀφεστάναι.
Ὁ νόμος ὁ Μωσαϊκὸς καὶ τῶν Εὐαγγελίων.
Ἀλλ' ὅμως κατὰ δύναμιν ἀλλήλοις συνενοῦνται.
Τί γάρ ἐστιν ἐγγύτερον τῶν δὲ τῶν κελευσμάτων.
Ὁ παλαιὸς νομοθετεῖ, νόμος τὸ μὴ μοιχεύειν.
Ἀλλ' ὁ παρὼν καὶ καθ' ἡμᾶς ὁ τῶν Εὐαγγελίων.
Καὶ πάλιν ἐγκελεύεται, τέμνειν ἐπιθυμίαν.
Ἐκεῖνος δ' οὖν ἀπέχειν σε, νομοθετεῖ τοῦ φόνου.
Ὁ δέ, μὴ δόλως πρὸς ὀργήν, κινεῖσθαι δογματίζει.
Εἰ δὲ ζητεῖς καὶ πρόβατον, καὶ Σάββατα καὶ Πάσχα.
Τὰς φανερὰς καὶ σαρκικὰς ἐκείνων διατάξεις.
Κἀνταῦθ' εὑρήσεις ἐν αὐτῷ πνευματικῶς ἐγκύπτων.
Ἡ πέτρα γὰρ πνευματική, καὶ χοϊκὸς ὁ τοῖχος.
Ἀλλ' ἀκουσώμεθα λοιπὸν τῶν ἐφεξῆς ῥημάτων.
Ἀπόκρισιν γὰρ δίδωσιν ἡ νύμφη τῷ νυμφίῳ :-

» Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν
» σου. Ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.

Μηκέτι μοι προσομιλεῖς φησὶ καλὲ νυμφίε.
Διά τινων προφητικῶν καὶ νομικῶν βιβλίων.
Ἀλλ' ὡς ἐξόν μοι βλέψαι σε καὶ σῆς φωνῆς ἀκοῦσαι.
Ἀκούτισόν με τὴν φωνὴν καὶ δεῖξόν μοι τὴν θέαν.

Εἰ γὰρ

Εἰ γὰρ ἡ θεία πέφυκεν αὕτη καὶ γλυκυτάτη.
Ἡ σὴ φωνὴ παρθενικῶς ἡμῶν ἐνηχουμένη.
Κἀντεῦθεν τὴν σου βλέπομεν ὄψιν ὡς ἐν κατόπτρῳ.
Ὡραιοτάτη πέφυκε καὶ πανευειδὲς ἄγαν.
Ὢ ποταπὸν καθέστηκεν τὸ κάλλος τῆς σῆς θέας.
Καὶ τῆς φωνῆς ὁ γλυκασμὸς, ἀμέσως δεδειγμένος.
Ἤκουσε τὴν παράκλησιν τῆς νύμφης ὁ νυμφίος.
Ὡς μᾶλλον ὥσπερ ἑαυτὸν εἰς τοὐμφανὲς δεικνύει.
Πρῶτον εἰς ἄγραν παρορμᾷ τοὺς θηρευτὰς καὶ λέγει.

„ Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμ-
„ πελῶνας. Καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.

Ὢ τῆς φρικτῆς καὶ φοβερᾶς τοῦ λόγου δυναστείας.
Ὢ παναλκοῦς δυνάμεως ὢ κράτους ἀπορρήτου.
Κελεύει γὰρ τοῖς θηρευταῖς, τουτέστι τοὺς Ἀγγέλους.
Ὥσπερ ἀλώπεκας τινὰς μικρὰς δυστηνοτάτας.
Θηρεῦσαι καὶ συναγαγεῖν κρατῆσαι καὶ δεσμεῦσαι.
Τὴν πᾶσαν ἀποστατικὴν δύναμιν τῶν δαιμόνων.
Τὸν δράκοντα τὸν μέγιστον τὸν ἀποστάτην φύσει.
Ὡς ἐνεδρεύει καθ᾽ ἡμῶν ὁ λέων ἐν τῇ μάνδρᾳ.
Τοῦ κοσμοκράτορος σατανᾶν, τοῦ σκότους τὸν προστάτην.
Τὸν ᾅδην τὸν πλατύνοντα τὸ στόμα τὸ ζοφῶδες.
Τὸν ἔχοντα καὶ φέροντα τὸ κράτος τοῦ θανάτου.
Τὸν ἐγκαυχώμενον λαβεῖν, ὡς νοσσιὰν στρουθίου.
Τὴν οἰκουμένην ξύμπασαν καὶ ταύτην ἀφαιρῆσαι.
Ὥσπερ ὠὰ σαθρότατα, καταπεφρονημένα.
Τὸν ἐξαλείφειν φάσκοντα γῆς ὅρους καὶ θαλάττης.
Τὸν ἐν νεφέλαις λέγοντα τὸν θρόνον καθιδρῦσαι.

Οὗ

Οὗ περ χαλκαῖ μὲν αἱ πλευραὶ καὶ σιδηρὰ δ᾽ ἡ ῥάχις.
Ἔγκατα δ᾽ ὥς φησις αὐτοῦ σμυρίτης ἄλλος λίθος.
Αὐτὸν τὸν ὄφιν τὸν δεινὸν τὸν γέροντα τὸν μέγαν.
Καὶ πᾶσαν ἄλλην δύναμιν αὐτοῦ τὴν ἐναντίαν.
Ἡ δύναμις ὠνόμασε τῆς ὄντως δυναστείας.
Ὡς ἀλωπέκια μικρὰ καὶ δολερὰ τῇ φύσει.
Τὰς γοῦν μικρὰς ἀλώπεκας φησὶν κρατήσατέ μοι.
Ὡς βλαπτικοὺς τυγχάνοντας ψυχῶν τῶν ἀνθρωπίνων.
Ἀμπέλους γὰρ ὡς ἀληθῶς, ταύτας ἐννόει μόνας :-

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΤΑῦτα πρὸς τὴν νύμφην ὁ νυμφίος εἰρηκὼς. Τοῖς οἰκείοις ὑπηρέταις παρακελεύεται λέγων :-

» Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας
» ἀμπέλους.

ΤΙνὲς μὲν τῶν ἑρμηνευκότων τὸ, μικροὺς, τοῖς ἀμπελῶσι συνῆψαν. Οὐδὲν δὲ διαφέρει εἴτε τοῦτο, εἴτε ἐκεῖνο εἴη τὸ νόημα. Ἀλώπεκας δὲ καλεῖ τοὺς δολερὸν κεκτημένους τὸ φρόνημα. Καὶ τὰς τοῦ κυρίου λυμαινομένας, τὰς ἄρτι ἀνθεῖν ἀρξαμένας. Διὸ φησί. Καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. Αἰνίττεται δὲ διὰ τῶν ἀλωπέκων τοὺς ταῖς Ἐκκλησιαστικαῖς ψυχαῖς πολεμοῦντας αἱρετικούς. Καὶ ὑπούλως, καὶ δολερῶς ὑποκλέπτειν πειρωμένους. Τοὺς μὴ δέπω παγίως τῇ πίστει γεγυμνασμένους. Οὗτοι γὰρ τῇ πιθανότητι τῶν λόγων καὶ ταῖς τῶν συλλογισμῶν παγίσι τε, καὶ πλοκαῖς, τοὺς ἁπλούστερον διακειμένους ἐξαπατῶντες, λυμαίνονται ταῖς ἀμπέλοις. Διὰ τοῦτο παρακελεύεται τοῖς τὸ διδασκαλικὸν εἰληφόσι

χάρισ-

χάρισμα. Ἀγρεύειν τούτους, καὶ θηρεύειν τοῖς τῆς ἀληθείας ἐλέγχοις. Καὶ τὰς κυπριζούσας ἀμπέλους. Τῆς τούτων βλάβης ἐλευθερῶσαι:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

ΕΠεὶ δὲ κατὰ κέλευσιν τοῦ νυμφίου παρεσκεύασαι τοῦτο. Αἱ διδάσκαλοι ψυχαὶ ὑπὲρ τῶν διδασκομένων αὐτῷ ἐντυγχάνουσι. Πρὸς ταύτας οὖν φησι. Πιάσατε ἡμῖν ἀλώπεκας μικρούς. Ἤγουν κατάσχετε διὰ τῶν ἐντολῶν ἅμα ταῖς κινήσεσι τῶν παθῶν, τὰ τούτων αἴτια δολερώτατα πνεύματα, ἔτι δοκοῦντα νεάζειν. Εἰ μήπω αἱ τῶν παθῶν κινήσεις προκόψουσιν εἰς ἐνέργειαν. Ἡμῖν δὲ φησὶ κατάσχετε διὰ τὸ πέρας δέξασθαι τὸ κατασκοπὸν ἡμῖν ἐπὶ ταῖς μαθητευομέναις. Ἀφανίζοντας ἀμπελῶνας, δηλαδὴ ἀπολλοντας ψυχάς, τῇ εἰς ἐμὲ πίστει πεφυτευμένας. Καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. Ἤτοι αἱ παρ᾽ ἡμῶν πρὸς σωτηρίαν ἐπιμελούμεναι ψυχαί. Ἤδη ἀνθοῦσι κατ᾽ ἀρετήν. Τῶν δολερωτάτων πνευμάτων κατασχεθέντων ὡς εἴρηται:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Τούτων ἡ νύμφη τῶν λόγων ἀκούσασα, εὐθὺς φησίν.

» Ἀδελφιδός μου ἐμοί, κἀγὼ αὐτῷ.

ΩΣπερ γὰρ αὐτὸς πάντων με προετίμησεν. Οὕτως αὐτὸν ἐγὼ πάντων προτίθημι, καὶ ἑτέρῳ συναφθῆναι οὐκ ἀνέχομαι. Τὰς ἀλωπέκων προσηγορίαν ὁ μὲν καὶ κακουργίαν περικειμένους. Ἄτοπον γὰρ ἀγαπηθεῖσαν, καὶ τοσούτων ἀξιωθεῖσαν, μὴ τοῖς ἴσοις κατὰ τὸ δυνατὸν ἀμείψασθαι τὸν

ἀγαπήσαντα. Τούτοις ἔοικε τὸ ὑπὸ τοῦ μακαρίου Παύλου Κορινθίοις γραφέν. Τὸ δὲ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ. Καὶ ὁ κύριος τῷ σώματι. Τοιοῦτον πάλιν τὸ ὑπ᾽ αὐτοῦ εἰρημένον. Ἀλλ᾽ ἅτινά μοι ἦν κέρδη. Ταῦτα ἥγημαι διὰ Χριστὸν ζημίαν. ἀλλὰ μὲν οὖν γε. Καὶ ἡγοῦμαι πάντα σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. Τοιοῦτόν ἐστι, καὶ τό, Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ οὐκ ἔτι ἐγώ. Ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Τοιοῦτόν ἐστι τό, τίς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις. Ἢ στενοχωρία. Ἢ λιμός. Ἢ διωγμός. Ἢ γυμνότης. Ἢ κίνδυνος. Ἢ μάχαιρα; καὶ τὰ ἑξῆς. Τοιοῦτόν ἐστι καὶ τό, ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. Δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται. Κἀγὼ τῷ κόσμῳ. Τούτοις ἔοικε τὸ ὑπὸ τῆς νύμφης λεγόμενον. Ἀδελφιδός μοι ἐμοί. Κἀγὼ αὐτῷ. Σημαίνει δὲ καὶ τίς οὗτος. Καὶ τί ποιῶν διατελεῖ καὶ ποῦ καὶ πότε, καὶ ἕως πότε:~

» Ὁ ποιμαίνων γάρ φησι ἐν τοῖς κρίνοις. Ἕως οὗ διαπνεύσῃ
» ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί.

ΠΡοσεκτέον ὅτι πρῶτον μὲν ἑαυτὸν ὠνόμασε κρῖνον ὁ νυμφίος, κατὰ τὸ ἀνθρώπινον λέγων.

ΟΤι ἐγὼ ἄνθος τοῦ πεδίου κρῖνον τῶν κοιλωμάτων. Δεύτερον δὲ αὐτὴν τὴν νύμφην.

» Ὡς κρῖνον γάρ φησιν ἐν μέσῳ τῶν ἀκανθῶν. Οὕτως
» ἡ πλησίον μου, ἀναμέσον τῶν θυγατέρων.

ΕΝταῦθα δὲ καὶ αὐτὴν τὴν πόαν ὠνόμασε κρίνα. Ὁ ποιμαίνων γάρ φησιν ἐν τοῖς κρίνοις. Εὐωδίας γάρ φησι

R πλήρης

πλήρης καὶ ἡ προσφερομένη τοῖς προβάτοις τροφή. Καὶ τοῦτο μὲν, κατὰ τοὺς ἑβδομήκοντα νοητέον. Ὁ δὲ Σύμμαχος φησίν. Οἱ ποιμαίνοντες ἄνθη. Ὡς εἶναι δηλονότι αὐτοὺς ποιμαινομένους ἐκάλεσεν ἄνθη τὰ κρίνα. Ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα. Καὶ κινηθῶσιν αἱ σκιαί. Σκιὰς δὲ καλεῖ, τὰ ἀνθρώπεια πράγματα. Διὸ καὶ ὁ μακάριος λέγει Δαβίδ. Ὡς σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην. Καὶ πάλιν αἱ ἡμέραι μου ὡσεὶ σκιὰ παράγουσιν. Καὶ ὁ γενναῖος Ἰώβ. Σκιὰ γάρ ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς. Οὐδὲν γὰρ μόνιμον, οὐδὲ βέβαιον, οὐδὲ σταθηρὸν καὶ διαρκὲς, καὶ οἱονεὶ συσκιῶδες ἔχει τοῦ παρόντος βίου τὰ δοκοῦντα τερπνά. Οὐ πλοῦτος. Οὐ δόξα. Οὐ δυναστεία. Οὐχ ὑγεία σωμάτων. Οὐ καλλιμορφία. Οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Ἀλλὰ σκιώδει τυγχάνει. Ταῖς σκιαῖς παραπλησίως διαλυόμενα. Ποιμαίνει τοίνυν ἡμᾶς ὁ νυμφίος. Ἕως ἂν τὸ φλογῶδες τῆς ἡμέρας παρέλθῃ. Καὶ διαπνεύσῃ τῆς σωτηρίας ἡ δρόσος. Καὶ κινηθῶσι μὲν αἱ σκιαί. Φανῇ δὲ τὰ μένοντα διαρκῆ καὶ μόνιμον τὴν ὕπαρξιν ἔχοντα. Ἐπειδὴ ὡς μία εἰσὶ τῷ νυμφίῳ αἱ νυμφευθεῖσαι αὐτῷ τετελειωμέναι ψυχαί. Ἐνικῶς πρὸς αὐτὸν ἀποκρινόμεναι φησίν:~

Ἀδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ. Ἤγουν ὁ ἀγαπητός μου ἐμοὶ κατ' εἰκόνα ὁρᾶται. Κἀγὼ αὐτῷ ζῶ. Καὶ οὐκ ἐμαυτῇ κατὰ τὸν μέγαν Ἀπόστολον.

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Ὁ Ποιμαίνων ἐν τοῖς κρίνοις. Ἤγουν ὁ διέπων διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν, ἐν ταῖς μὴ συμπνιγομέναις κατὰ τὰς βιω-

τικὰς φροντίδας διδασκάλοις ψυχαῖς τὰ λογικὰ πρόβατα. Ἅπερ εἰσὶν οἱ παρ' αὐτῶν διδασκόμενοι, ἕως οὗ διαπνεύσει ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαὶ, δηλαδὴ μέχρις ἂν ἐπιστῇ ἡ κατὰ τὸν μέλλοντα ὁλολαμπὴς ἡμέρα καὶ ἄσκιος. Καὶ πάντα τὰ παρόντα ἅπερ εἰσὶν αἱ σκιαὶ τῶν μελλόντων, παρέλθωσι. Καθ' ἣν ἡμέραν τὴν σεαυτοῦ ποίμνην ὁ ποιμὴν ὁ καλὸς εἰς τὰς αἰωνίους ἀναπαύσεις μονὰς:~

Τοῦ Ψελλοῦ:-

Ἀλλ' ἴδωμεν καὶ τί φησὶν ἡ νύμφη καὶ παρθένος.

» Ἀδελφιδός μοι ἐμοὶ κἀγὼ αὐτῷ.

Ἀλλ' ἐφ' ἑξῆς ἐκδυσωπεῖ λέγουσα τῷ νυμφίῳ.

» Ὁ ποιμαίνων ἐν τοῖς κρίνοις ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα,
» καὶ κινηθῶσιν αἱ σκιαὶ, ἀπόστρεψον. Ὁμοιώθητι σὺ ἀ-
» δελφιδέ μου τῷ δόρκωνι, ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη
» κοιλωμάτων.

Ὦ Καλλιστότατε ποιμὴν τῶν λογικῶν προβάτων,
Φησὶν ἡ νύμφη πρὸς αὐτὸν τὸν λόγον καὶ νυμφίον.
Ὃς τρέφεις σου τὰ πρόβατα ταῖς ἀρεταῖς ὡς κρίνοις.
Καὶ πάλιν φάνηθι δορκὰς ἢ καὶ νεβρὸς ἐλάφων.
Καὶ πάλιν ἀναζήτησον ὥσπερ ἀνθυποστρέψας.
Ἅπερ ἐπήδας πρὶν μικροῦ τῶν κοιλωμάτων ὄρη.
Καὶ πᾶσαν ἐξαφάνιζον δύναμιν ἐναντίαν.
Καὶ καθομάλιζον βουνοὺς τοὺς ἄγαν ἐπηρμένους.
Οὕτω γὰρ πληρωθήσεται σοῖς δρόμοις πᾶσα φάραγξ.
Καὶ πᾶς ταπεινωθήσεται βουνὸς ὁ τῆς κακίας.

Καὶ πᾶσαι κινηθήσονται σκιαὶ τῆς ἀληθείας.
Καὶ διαπνεύσειε βροτοῖς ἡμέρα σωτηρίας.

» Ἀπόστρεψον ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι, ἢ
» νεβρῷ ἐλάφων ἐπὶ ὄρη κοιλωμάτων.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Προτρέπει δὲ τὸν νυμφίον ἐνταῦθα, τοῖς προειρημένοις ἐοικότα ζώοις ἐπιβῆναι τῶν ἐν τοῖς κοιλώμασιν ὀρῶν. Βουλομένη πάντας αὐτοῦ τῆς συνουσίας ἀπολαύειν. Ὄρη δὲ κοιλωμάτων ἐνταῦθα προσαγορεύει, τοὺς ἐν μέσῳ κοίλων τινῶν καὶ ταπεινῶν τὴν διάνοιαν ὑπὲρ ἀνεστηκότας, καὶ ὑψηλῷ φρονήματι κεχρημένους. Καὶ παρακαλεῖ, καὶ τούτους ἀπολαῦσαι τῆς τοῦ νυμφίου παρουσίας. Ὃ καὶ πεποίηκε τῶν τῆς νύμφης ἀκούσας ἱκετειῶν:~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

» Ἀπόστρεψον ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι, ἢ
» νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων.

Ἀπόστρεψον δὲ τὰ καθ' ἡμῶν μαινόμενα ψυχοφθόρα νοητὰ θηρία· τὰ δίκην ὄφεων τὸν ἰὸν τῶν παθῶν ἐν ἡμῖν ἐκχέοντα. Κἀντεῦθεν ὁμοιώθητι σὺ πάντων, ἡ τοῦ Θεοῦ καὶ Πατρὸς ἐνυπόστατος δύναμις ἀγαπητέ μου, τοῖς φυγαδεύουσι ζώοις τὰ ἰοβόλα θηρία, ἐν τῷ ἀπελαύνειν πόρρω ἡμῶν τὰ πονηρότατα πνεύματα. Οὕτω δὲ τούτοις ὁμοιώθητι. Ἐρχόμενος ἐπὶ τοὺς διδασκάλους, τοὺς δίκην ὀρῶν ὑπερκειμένας τῶν κοιλανθεισῶν τοῖς τῶν παθῶν ῥεύμασι μαθητειῶν. Ὥστε φυ-

τε φυγαδεύσαι διὰ μέσων ἐκείνων, τὰ τὴν τούτων κατορύξαντα φυσικὴν ὁμαλότητα, καὶ ἐν ταύταις ἐμφωλεύσαντα ψυχοφθόρα θηρία. Κἀντεῦθεν ἀποκαταστῆσαι πάλιν αὐταῖς τὴν εἰρημένην ὁμαλότητα. Φημὶ δὴ τὴν τῶν ψυχικῶν δυνάμεων ἰσονομίαν:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Μονωθεῖσα οὖν ἡ νύμφη, δυσχεραίνει καὶ ἀνιᾶται.
Καὶ διηγεῖται ταῖς νεάνισι τὸ πάθος καὶ φησίν.

» Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή-
» μου. Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. Ἐκάλεσα
» αὐτόν, καὶ οὐχ ὑπήκουσέ μου. Ἀναστήσομαι δὴ καὶ
» κυκλώσω ἐν τῇ πόλει. Ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλα-
» τείαις. Καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἐζή-
» τησα αὐτὸν καὶ οὐχ εὗρον. Ἐκάλεσα αὐτόν, καὶ οὐχ
» ὑπήκουσέ μου.

Γυμνάζων πολλάκις ὁ τῶν ὅλων Θεὸς τῶν εὐσεβῶν τὰς ψυχάς. Πειρασμοῖς ποικίλοις συγχωρεῖ περιπίπτειν. Καὶ ποτὲ μὲν ἀπαλλαγὴν αἰτουμένοις δίδωσι. Ποτὲ δὲ ἀναβάλλεται τὴν δόσιν. Πανταχόθεν ὠφέλειαν τοῖς θιασώταις μηχανώμενος. Τοιοῦτόν ἐστι καὶ τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον. Ἕως πότε κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; πολλάκις γὰρ ὡς εἰκὸς ἱκετεύσας, καὶ ἀπαλλαγὴν τῶν λυπηρῶν αἰτήσας. Οὐκ ἔτυχε τῆς δεήσεως. Διὸ ἀλύων ὡς διαμαρτὼν, καὶ ἀδημονῶν »

τοῖς τοιούτοις κέχρηται λόγοις. Καὶ ὁ μακάριος δὲ Παῦλος φησίν. Τῇ ὑπερβολῇ τῶν Ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι. Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ Ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ ἵνα μὴ ὑπεραίρωμαι. Καὶ ὑπὲρ τούτου, τρεῖς τὸν κύριον παρεκάλεσα ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Παρακαλεῖ Παῦλος. Καὶ οὐ τυγχάνει. Τὸ γὰρ μὴ λαβεῖν τὴν αἴτησιν, ὠφελιμώτερον ἦν. Διὸ διδασκόμενος ὃ ἠγνόει, μεθ' ἡδονῆς τὸ μὴ λαβεῖν ἃ ᾔτηκε, δέχεται. Καὶ βοᾷ λέγων. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ μου. Καὶ Ἠλίας δὲ ὁ πάνυ δειλιάσας τῆς Ἰεζάβελ τὰς ἀπειλάς. Ἀποδιδράσκει μὲν εἰς τὴν ἔρημον. Ζητεῖ δὴ τὸν ἐπίκουρον. Καὶ καταλιπὼν αὐτὸν πρὸς ὀλίγον ἐγυμνάσθη μὲν τῷ φόβῳ. Ὁ σοφὸς τῶν εὐσεβῶν παιδοτρίβης τε, καὶ ἀγωνοθέτης ἐπιφαίνεται αὐτῷ. Καὶ ὡς ἀγνοῶν. Πυνθάνεται τῆς φυγῆς τὴν αἰτίαν. Οὐκ ἐπιτωθάζων αὐτῷ, ἀλλὰ διδάσκων τῆς φυγῆς τὴν οἰκονομίαν. Καὶ παιδεύων εἶναι συγγνώμονα, ἀνθρωπείαν φύσιν περικείμενον, καὶ ὑπὸ τῶν ταύτης παθῶν πολεμούμενον. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἀναδραμεῖν καιρός. Ἐνταῦθα γὰρ ἡ νύμφη τοῦ νυμφίου πρὸς βραχὺ χωρισθέντος. Ἐπιζητεῖ μὲν αὐτὸν ἐν τῇ κοίτῃ. Καὶ τοῦτο, οὐ μεθ' ἡμέραν, ἀλλὰ νύκτωρ. Οὐχ εὑρίσκει δὲ αὐτὸν ἀναπαυομένη. Καὶ ταῦτα οὐ μόνον ζητοῦσα, ἀλλὰ καὶ καλοῦσα. Ἀνίσταται δὲ καὶ περινοστεῖ τὴν πόλιν. Τὰς ἀγοράς. Τὰς πλατείας. Ὁ γὰρ πόθος ἠνάγκαζε. Καὶ μένειν οἴκοι ἡ τῆς ἀγάπης οὐ συνεχώρει φλόξ. Περιτυγχάνει δὲ, καὶ τοῖς τῆς πόλεως φύλαξι. Καὶ πυνθάνεται αὐτῶν λέγουσα:~

Εὕρω-

» Εὕροσάν με οἱ τηροῦντες. Οἱ κυκλοῦντες ἐν τῇ πόλει·
» Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε; καὶ ὡς μικρὸν ὅτε πα-
» ρῆλθον ἀπ' αὐτῶν. Ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου.

Αὐτοῦ τὸ κατ' ἐνέργειαν εὐεργετικὸν, καὶ τὸ κατ' οὐσίαν ἄτρεπτον. Τίς δὲ ἐστὶν ὃς τὴν οὐσίαν εὐεργετικός ἐστι, καὶ ἄτρεπτος. Οὐκ ἠδυνήθην εὑρεῖν. Κἂν γὰρ ἀγαθὸν, καὶ ἀληθινὸν ἐντεῦθεν ἐκάλεσα αὐτὸν οὐχ ὑπήκουσέ μου, ἐπειδὴ καὶ ὑπὲρ ταῦτα ἐστίν. Ὅτι τὸ ὄνομα αὐτοῦ ὑπὲρ πᾶν ἐστιν ὄνομα. Καὶ αὐτὴ μὲν τὸν ἀγαπητόν μου ὡς εἴρηκα, οὔπω ἠδυνήθην εὑρεῖν. Οἱ δὲ ἅγιοι Ἄγγελοι εὕροσάν με οἱ τηροῦντες. Οἱ κυκλοῦντες ἐν τῇ πόλει. Εὕροσαν δέ με. Ἐν τῷ καθαίρειν με διὰ πράξεως, καὶ φωτίζειν διὰ θεωρίας, τὴν διὰ κακίαν καὶ ἄγνοιαν ἀπωλολυῖαν. Καὶ μαθήτριαν τῶν πνευμάτων τῆς πονηρίας γεγενημένην ποτέ. Καὶ διὰ τοῦτο τοῖς ἀγαθοῖς τούτοις Ἀγγέλοις, μὴ πρὸς μαθητείαν εὑρισκομένην. Οἱ τηροῦσι πρὸς ἔπαινον. Ἔλεγον ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς διαγνώσεως, τά τε φανερὰ καὶ ἀφανῆ μου κινήματα. Καὶ πᾶν νόημά τε καὶ ποίημα. Κἀντεῦθεν ἐν τῷ μήτι τούτων καταλιμπάνειν ἀνεπίσκοπον τοῦτον περικυκλοῦσί με, ποιούμενοι ἐν ἐμοὶ ὡς ἔν τινι πόλει τὰς ἀναστροφάς. Οὕτω δὲ τούτων περιτυχόντων με, φημὶ πρὸς αὐτούς:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

» Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε.

Ἤγουν, μὴ ὃν καταλαβεῖν μὲν, ἐπόθησα. Οὐκ ἠδυνήθην δὲ, κἂν αὐτοὶ οἱ τοῦτον περιχορεύοντες ὡς λειτουργικὰ πνεύματα ἐθεάσασθε. Ὅπως φύσεως ἔχῃ, ἵνα κἀμὲ ταύτην

ἀναδι-

ἀναδιδάξητε. Ἐπεὶ δὲ καὶ τοῖς ἁγίοις Ἀγγέλοις ἀκατάληπτος ὁ νυμφίος τὴν οὐσίαν ἐστὶ, καὶ διὰ τοῦτό μοι ἀπόκρισιν ἐπὶ τοῦ ἐρωτήματος οὐ δεδώκασι. Σιωπῇ με διδάξαντες. Τὸ μὴ δὲ τούτοις αὐτὸν εἶναι καταληπτόν. Κτιστοῖς οὖσι τὸν ἄκτιστον. Παρῆλθον καὶ ἀπ' αὐτῶν, τὸν ποθούμενόν μοι ἀναζητοῦσα:~

Καὶ ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὕρω ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἐκράτησα αὐτὸν. Ἤτοι ὡς βραχὺ διὰ μόνον τὸ κτιστόν. Νῦν καὶ αὐτὴν τὴν Ἀγγελικὴν φύσιν διέβην, ἵνα τὸν ἄκτιστον εὕρω τὸν ἀγαπητόν μου, ὡς εὐεργέτην μου. Πίστει μόνῃ κατέχον αὐτὸν. Πάντα τὰ ὄντα διεξελθοῦσα, καὶ ἀπ' αὐτῆς βεβαιωθεῖσα τῆς πείρας. Ὅτι ὁ πάντων αἴτιος, ὑπὲρ πάντα τὰ ὄντα ἐστὶ, καὶ ἐν οὐδεμιᾷ φύσει εἴτε αἰσθητῇ εἴτε νοητῇ κατ' οὐσίαν ὁρᾶται. ὑπερφύσιος ὤν. Οὗτος οὖν πάντα τὰ ὄντα διεπέρασα, ζητοῦσα τὸν ἐμοὶ ποθεινότατον νυμφίον εἰσοικίσασθαι. Καὶ οὐκ ἀφῆκα αὐτὸν ἕως οὗ εἰσήγαγον αὐτόν. Εἰς οἶκον μητρός μου. Καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης με. Ἤγουν οὐκ ἐπαυσάμην ζητεῖν τὸν ἐμὸν ἐραστὴν, ἕως οὗ εἰσῳκισάμην αὐτὸν εἰς νοῦν. Ὃς οἶκος μὲν τῆς οἰκείας μητρὸς αἰτίας πάντων θεοῦ σοφίας ἐστίν. Ὡς ταύτης διὰ τὸ καθ' ὁμοίωσιν χωρητικόν. Ταμιεῖον δὲ πάλιν αὐτὴν, ὡς τοὺς ἀποκρύφους ταύτης θησαυροὺς διὰ τὸ κατ' εἰκόνα ἔχον ἀποθέτους ἐν ἑαυτῷ. Ἥτις με σοφία συνέλαβεν ὡς πρὸ καταβολῆς κόσμου τὴν ὑπεράγαθον περὶ ἐμὲ βούλησιν ἔχουσα. Διὸ καὶ δι' ἐμὲ τὴν ἀνθρωπείαν πάντως φύσιν. Τόδε τὸ πᾶν ὑπεστήσατο:-

„ Ἐπὶ

„ Ἐπὶ κοίτην μου ἐν νυξίν. Ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυ-
„ χή μου. Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.

Καὶ μικρὸν τούτους διαδραμοῦσα. Λέγει αὐτὸν εὑρηκέναι. Καὶ μὴ ἐάσας, ἕως ἂν αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς, καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης αὐτήν. Πάλιν δὲ καλεῖ τὸν τοῦ θεοῦ οἶκον, τὴν Ἐκκλησίαν προσαγορευομένην. Ἀγορὰς δὲ καὶ πλατείας, τὰς θείας γραφάς. Φύλακας δὲ τῆς πόλεως, τοὺς ἁγίους Προφήτας, καὶ τοὺς ἱεροὺς Ἀποστόλους, ὧν ἡ εὐσεβὴς πυνθάνεται ψυχὴ, τὸν θεῖον λόγον ἐπιποθοῦσα. Μεθ' οὓς εὑρίσκει τὸν νυμφίον ὑπό τινων δορυφόρων ἢ ῥαβδοφόρων. Καὶ ἐπιλαβομένη ἔχειν, καὶ καταλιπεῖν οὐκ ἀνέχεται ἕως ἂν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης αὐτὴν, εἰσαγάγῃ αὐτήν. Μητέρα δὲ τῶν εὐσεβῶν ἴσμεν, τὴν ἄνω Ἱερουσαλὴμ, περὶ ἧς ὁ μακάριος λέγει Παῦλος. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα ἐστὶν ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Ὑπισχνεῖται τοίνυν ἡ νύμφη, ἐπιλαβομένη τοῦ νυμφίου μὴ καταλήψειν αὐτὸν, ἕως ἂν εἰς τὸν νυμφῶνα, καὶ τὴν παστάδα τὴν εὐτρεπισμένην κατὰ τ' αὐτὸν εἰσέλθωσι:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:-

Ταῦτα τοίνυν ἡ διδάσκαλος τὸν νυμφίον περὶ τῶν μαθητευομένων αἰτησαμένη. Πρὸς ταύτας λοιπὸν τρέπει τὸν λόγον, καὶ τὰ οἰκεῖα ἐξηγουμένη αὐταῖς. Καὶ διὰ τούτων ταύταις ἐνάγειν ἐπιχειροῦσα, φησίν:~

Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἤγουν ἐν σαρκί μου ἐφ' ᾗ ἐδόκουν διὰ τὸ κατ' αὐτὴν ἡδὺ

ἀνα-

ἀναπαύεσθαι ἐν ταῖς νυξὶ τῆς ἀγνοίας. Ἐζήτησα τὸ κυρίως καλὸν, ὅπερ ἐστὶν ἐμοὶ ἠγαπημένος νυμφίος εὑρεῖν κατὰ τὸ εἰρημένον. Ὅτι νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον, καὶ οὐκ ἔγνων. φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπελάμβανον :~

Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. Δηλαδὴ ζητήσασα αὐτὸν ἐν τοῖς κατὰ σάρκα ἡδέσιν οὐχ εὗρον. Ἐπειδὴ τῇ σαρκικῇ ἡδονῇ, φυσικῶς ὁ πόνος συνέζευκται. Ὅτι φθορᾶς, (ἥτις ὀδύνη ἐστὶν) ἡ κατ' αἴσθησιν ἡδονὴ Γένεσις. Κἀντεῦθεν ἀπ' αὐτῆς ἔγνων τῆς πείρας. Ὅτι τῆς κατὰ σάρκα ἡδονῆς ὁ ἐμοὶ ἀγαπώμενος ἄπεστι. Διόπερ ἐν ταύτῃ καλεσάσης μου τοῦτον πρὸς ἀπόλαυσιν ἄλυπον, οὐχ ὑπήκουσεν. Ὅθεν διαπορουμένη, τόδε εἶπον πρὸς ἐμαυτήν :~

» Ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει ἐν ταῖς ἀγο-
» ραῖς, καὶ ἐν ταῖς πλατείαις. Καὶ ζητήσω ὃν ἠγάπησεν
» ἡ ψυχή μου.

Ἤτοι ἐγερθήσομαι ἀπὸ τῆς σαρκικῆς σχέσεως. Καὶ θεωρήσω εἰσαγωγικῶς, καὶ οὕτω πράξω, κἀντεῦθεν διὰ πείρας τελειότερον θεωρήσω. Καὶ ὡς ἀπὸ θεωρίας ἀρχομένη, καὶ εἰς αὐτὴν καταντῶσα. Κυκλώσω ἐν ἐμαυτῇ. Κατὰ πρᾶξιν μὲν, ὥσπερ ἐν ἀγοραῖς τινὸς πόλεως. Πόνους οἷα δεδοκιμασμένον ἀργύριον καταβάλλουσα, καὶ κομιζομένη ἀρετάς. Κατὰ θεωρίαν δὲ, ὡς ἐν πλατείαις διεξερχομένη ταῖς φυσικαῖς θεωρίαις τῶν ὄντων, καὶ τὴν τούτων διαφορὰν γνῶσιν συλλέγουσα. Καὶ οὕτω ζητήσω τὸν ποθούμενόν μοι εὑρεῖν :~

» Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν. Ἐκάλεσα αὐ-
» τὸν καὶ οὐχ ὑπήκουσέ μου.

Δῆλον ὅτι κατὰ πρᾶξιν καὶ θεωρίαν ἐζήτησα αὐτόν. Μιμουμένη ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου :~

Τοῦ Ψελλοῦ :-

Ὢς ὄντως ἀκατάληπτος ἡ σὴ Χριστέ μου φύσις.
Ἐπὶ τὴν κοίτην μου φησὶ τὴν ἄγαν περισκοπήν μου.
Ἐν ᾗ καὶ φθάσασα λοιπὸν ἤλπισα καταπαῦσαι.
Ὡς ἤδη τὸ ἀκρότατον πάντων καταλαβοῦσα.
Ὅταν πρὸς νύκτα πέφθακα τῶν θείων μυστηρίων.
Θερμῶς ἀναζητήσασα τὸν λόγον καὶ νυμφίον.
Οὐχ εὗρον τοῦτον οὐδαμῶς ἐκεῖσε περιφλεύοντα.
Καὶ πάλιν τοῦτον κέκληκα πλὴν οὐχ ὑπήκουσέ μου.
Ὡς ἀληθῶς ἐκτραγῳδεῖ τοὺς λόγους ἡ παρθένος.
Ψυχὴ γὰρ πᾶσα καθαρὰ κἂν πρὸς Ἀγγέλους φθάσει.
Καὶ τῶν ἀδύτων ἔσωθεν εἰσέλθῃ τῶν ἀρρήτων.
Μὴ νομιζέτω καθιδεῖν τὴν θεϊκὴν οὐσίαν.
Ἐπεὶ γοῦν ὡς ἐζήτησεν οὐχ εὗρε τὸν νυμφίον.
Ἀκούσωμεν τί βούλεται, φησὶ γὰρ οὕτω πάλιν :-

» Ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει. Ἐν ἀγοραῖς
» καὶ ἐν ταῖς πλατείαις. Καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυ-
» χή μου. Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον. Ἐκάλεσα, αὐ-
» τὸν καὶ οὐχ ὑπήκουσέ μου.

Ἐξαναστήσομαι φησὶ καὶ ψηλαφήσω τοῦτον.
Καὶ πᾶσαν ὑπερκόσμιον περικυκλώσω φύσιν.

Ἣν πόλιν ἐπωνόμασεν ὁ λόγος τῶν ᾀσμάτων.
Καθάπερ εἶπεν ἀγορὰν ταῖς ἄνω πανηγύρεις.
Ὥς γοῦν ἀνέστην δή φησι πρὸς ζήτησιν ἐκείνου.
Καὶ τῷ σκοπῷ καὶ λογισμῷ ταῖς τῶν Ἀγγέλων φύσεις.
Ἁπάσας ἐξηρεύνησα μετὰ πολλοῦ τοῦ πόνου.
Ἐλπίζουσα καταλαβεῖν αὐτὸν ἐν τοῖς Ἀγγέλοις.
Ὅπως ἂν μάθω τίς ἐστι καὶ ποταπὸς τυγχάνει.
Καὶ πόθεν ἔχει τὴν ἀρχὴν καὶ τίνι καταλήγει.
Οἱ φύλακες τῆς πόλεως σιὼν τῆς ἀνωτάτης.
Περινοστοῦσαν εἶδόν με τὴν πόλιν καὶ ζητοῦσαν.
Φησὶ γὰρ οὕτω καθ' ἑξῆς ὥσπερ ἀφηγουμένη :-

„ Εὕρωσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει.

Εἶτα φησὶν ἠρώτησα πρὸς τοὺς Ἀγγέλους τάδε.

„ Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε;

Ἤλπιζον γὰρ ὡς ἀληθῶς κἂν τοῖς Ἀγγέλοις εἶναι.
Καταληπτὸν καὶ πρόσιτον τὸν λόγον καὶ νυμφίον.
Ἐπεὶ δὲ τούτους ἔγνωκα μηδὲν ἐπισταμένους.
Παρῆλθον αὖθις ἀπ' αὐτῶν φησὶν ἐξαπορούσα :-

„ Καὶ ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν
„ ἠγάπησεν ἡ ψυχή μου.

Ὡς γοῦν παρῆλθον γὰρ φησὶ μικρὸν ἐκ τῶν Ἀγγέλων.
Πιστεύσασα τῷ λογισμῷ τὴν ἀκαταληψίαν.
Τοῦ παντοκράτορος Χριστοῦ καὶ θεανθρώπου λόγου.
Εὗρον αὐτὸν ὡς ἀληθῶς ἐν τοῖς ἀκαταλήπτοις.

Ἡ φύ-

Ἡ φύσις γὰρ ἡ θεϊκὴ τοῦ λόγου καὶ νυμφίου.
Τῷ μὴ καταλαμβάνεσθαι καταληπτὴ τυγχάνει :-

„ Ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν. Ἕως οὗ εἰσή-
„ γαγον αὐτὸν εἰς τὸν οἶκον μητρός μου, καὶ εἰς τὸ τα-
„ μιεῖον τῆς συλλαβούσης με.

Ἐπείπερ ἀκατάληπτον αὐτὸν φησὶν ἐφεῦρον.
Ἔνδον αὐτὸν ἐκράτησα καὶ μέσον τῆς καρδίας.
Καὶ τῷ Πατρὶ συνάναρχον ἐγνώκεισα τυγχάνειν.
Ἡμεῖς γὰρ οἶκοι καὶ ναοὶ καὶ μάλιστα ταμεῖα.
Τοῦ πνεύματος τυγχάνομεν κατὰ τὸν μέγαν Παῦλον.
Τοῦ καὶ γεννήσαντος ἡμᾶς καὶ τρέφοντος ὡς οἶδε.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ταῦτα διηγησαμένη ταῖς νεάνισι. Πάλιν αὐταῖς εἰς τὸν ὅμοιον προτρέπει πόθον. Καί φησιν:-

„ Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνά-
„ μεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε καὶ
„ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Δῆλα δὴ ταῦτα ἐκ τῶν ἐν τῇ ἀρχῇ τοῦδε τοῦ λόγου ἑρμηνευομένων. Διὸ γὰρ αὐταῖς ἐπιφέρει τοῦτον τὸν ὅρκον, ἐν θέλωσι αὐταῖς θερμὴν τὴν ἀγάπην τοῦ νυμφίου περιαιρουμένη. Ταῦτα τῆς νύμφης εἰρηκυίας. Καὶ κάλλος ἄρρητον ἐκ τῆς τοῦ νυμφίου περιλήψεως εἰληφυίας, ἐκπληττόμεναι αἱ θεῖαι δυνάμεις, φησὶν :-

Τίς

Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου, ὡς στελέχη καπνοῦ; τεθυμιαμένη, σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;

Ὥσπερ γὰρ τὸν νυμφίον ὁρῶντες μετὰ τὴν τοῦ διαβόλου νίκην καὶ τὴν τοῦ θανάτου κατάλυσιν εἰς οὐρανοὺς ἀνιόντα θαυμάζουσι, καὶ λέγουσι. Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Καὶ μανθάνουσιν ὅτι κύριος κραταιὸς, καὶ δυνατὸς. Κύριος δυνατὸς ἐν πολέμῳ. Καὶ μανθάνειν ἀκριβέστερον βουλόμεναι, πάλιν ἐρωτῶσι. Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; καὶ ἀκούουσιν, ὅτι κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης. Οὕτως καὶ ἐνταῦθα τῆς νύμφης τὴν ὥραν θαυμάζοντες φησί. Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου; Ἔρημον δὲ καλοῦσι τῶν ἀνθρώπων τὴν φύσιν διὰ τὴν προτέραν ἀσέβειαν. Διὸ καὶ ὁ Ἡσαΐας βοᾷ. Εὐφράνθητι ἔρημος διψῶσα. Εὐφράνθητι ἔρημος, καὶ ἀνθήτω ὡς κρίνον. Ὥσπερ δὲ ἐνταῦθα ἐκπλήττονται ὅτι τοσοῦτον κάλλος ἐκ τῆς ἐρήμου βεβλάστηκεν. Οὕτως ἐν τῇ Ἡσαΐου Προφητείᾳ θαυμάζουσι τὸν νυμφίον ὁρῶντες, καὶ λέγουσι. Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ. Ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ. Σημαίνει δὲ τὸ μὲν Ἐδώμ, τὴν γῆν. Τὸ δὲ Βοσὸρ τὴν σάρκα. Καὶ ἐκπληττόμεναι αὐτοῦ τὸ κάλλος, βοῶσιν. Οὗτος ὡραῖος ἐν στολῇ βοᾷ μετὰ ἰσχύος. Ἵνα τίσου ἐρυθρὰ τὰ ἱμάτια ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρης καταπεπατημένης; Καὶ φασὶν, καὶ ἐν σώματι ἐξ ὧν λάμπει. Στολὴν αὐτοῦ τὸ σῶμα προσηγορεύκασι, καὶ βίαιον ἔχει τὸ κάλλος. Ἀπορίας οὖν ὁρῶντας βιαζόμενον. Οὕτως ἐνταῦθα ἐκπλήττονται. Οὐ μόνον ὅτι καλὴ ἡ νύμφη, ἀλλ' ὅτι καὶ ἀπὸ τῆς ἐρήμου ἀναβαίνουσα. Τουτέστιν ἀπὸ βάθους εἰς ὕψος ἀνερχομένη. Καὶ ἀπὸ τῶν ταπεινῶν, ἐπὶ

νῶν, ἐπὶ

τὰ μετέωρα βαδίζουσα. Καὶ ἔοικε φησὶν στελέχη καπνοῦ τεθυμιαμένη. Ἀσαφὴς μὲν ἡ συνθήκη. Τῇ γὰρ Ἑβραίων γλώττῃ δουλεύσαντες, οὐκ ἐσαφήνισαν τὴν διάνοιαν. Ὁ δὲ ἀκύλας, καὶ ὁ σύμμαχος, τὴν ἔννοιαν ἡμῖν παρεδήλωσαν. Εἰρηκότες. Ὡς ὁμοίωσις καπνοῦ ἀποθυμιάματος. Μιμεῖται δὲ τὰ στελέχη πολλάκις θυμιάματος, καπνὸς, ἐν τῷ ἀέρι οἱονεὶ τυπούμενος. Καὶ εἰκότως αὐτὴν καπνῷ θυμιάματος ἐοικέναι φασί. Τὴν κατὰ τὸν μακάριον Παῦλον παραστήσασαν τὰ μέλη αὐτῆς, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, καὶ προσφέρουσαν διηνεκῶς τὴν τῆς αἰνέσεως θυσίαν. Καὶ τὰ μέλη αὐτῆς τὰ ἐπὶ τῆς γῆς νεκρώσασαν, καὶ τῷ Χριστῷ συναφθεῖσαν, καὶ ὁλοκαύτωσιν ἑαυτὴν τῷ θεῷ προσκομίσασαν. Διδάσκουσι δὲ καὶ ποίῳ αὐτῆς καπνῷ θυμιάματος ἀπείκασαν:~

Σμύρναν γάρ φησι καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ. Δῆλον δὲ, ὅτι λίβανος μὲν θεῷ κατὰ τὸν Μωσαϊκὸν ἀπονενέμηται νόμον. Ἡ δὲ σμύρνα, νεκρῶν ἐστι σωμάτων ἀλειφή. Σημαίνουσι τοίνυν διὰ τούτων τῶν ὀνομάτων, οἱ τῆς νύμφης τὸ κάλλος θαυμάζοντες. Ὅτι διὰ τοῦτο ἐστὶν εὐώδης, καὶ ἀτμῷ θυμιάματος ἀπεικασμένη. Ὅτι καὶ τὴν ἀνθρωπότητα καὶ τὴν θεότητα προσκυνεῖ, καὶ τῷ θανάτῳ πιστεύουσα. Καὶ τὴν πρὸ τῶν αἰώνων ὕπαρξιν ὁμολογεῖ. Ἀπὸ πάντων τοίνυν τῶν κονιορτῶν τοῦ μυρεψοῦ θαυμάζουσιν αὐτῆς τὴν σμύρναν καὶ τὸν λίβανον. Ἔχει μὲν γὰρ καὶ τὰς ἄλλας ἀρετάς. Οἷον ἀπό τινος μυρεψοῦ τῆς θείας γραφῆς ταύτας συλλέγουσα. Ἐξαίρετα δὲ αὐτῆς, ἡ σμύρνα καὶ ὁ λίβανος. Τουτέστιν ἡ Θεολογία τε καὶ οἰκονομία:~

Ἤγουν

Ἀλλὰ τὴν κρείττω προκοπὴν ἡ νύμφη ψηλαφοῦσα.
Πάλιν σὺν φίλους δυσωπεῖ φησὶ γὰρ τούτοις τάδε:-

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυ-
» νάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε,
» καὶ ἐξεγείρετε τὴν ἀγάπην ἕως οὗ θελήσῃ.

Τοῦ Ψελλοῦ:-

Τοῦ λόγου τούτου φθάσαντες εἴπομεν τὰς ἐμφάσεις.
Λόγοις λοιπὸν σὺν ἐφ' ἑξῆς ὡς δυνατὸν σκεπτέον:-

» Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου, ὡς στελέχη
» καπνοῦ; τεθυμιαμένη, σμύρναν καὶ λίβανον ἀπὸ πάν-
» των κονιορτῶν μυρεψοῦ.

Ταῦτα τοιγάρτοι λέγουσιν οἱ φίλοι πρὸς ἀλλήλους.
Ὁ τῶν ῥημάτων δὲ σκοπὸς οὗτός ἐστιν ὡς οἶμαι.
Ἡ νύμφη γὰρ καὶ προτέρων ταῖς ἀρεταῖς ὑψώθη.
Τῇ πίστει τῇ πρᾳότητι καὶ τῇ δικαιοσύνῃ.
Ἐπεὶ δὲ καὶ πρὸς ἀρετῆς ἄλλο μετέβη σχῆμα.
Νηστείας ἀγρυπνίας τε, καὶ προσευχῆς παννύχου.
Καὶ τὴν μορφὴν ἠλλάξατο ταῖς ἄγαν χαμευνίαις.
Οἱ φίλοι κατεπλάγησαν τὴν προκοπὴν τῆς νύμφης.
Καὶ πῶς ὑποκρινόμενοι δῆθεν τὸν ἀγνοοῦντα.
Περὶ τῆς νύμφης θέλουσιν ἐπερωτᾶν ἀλλήλους.
Τίς αὕτη λέγοντες ἐστὶν, ἥτις ἐκ τῆς ἐρήμου.
Πρὸς οὐρανὸν ἀνέδραμεν ὥσπερ καπνοῦ στελέχη.
Σμύρνης ὀσμὴν ἐκπέμπουσα, καὶ θαυμαστοῦ λιβάνου.
Ψυχὴ γὰρ πᾶσα θέλουσα λίβανος τελεσθῆναι.

Ἤγουν

Ἤγουν τερπνὸν θυμίαμα τῷ Βασιλεῖ τῶν ὅλων.
Ἂν μὴ νεκρώσῃ πρότερον πάντα τὰ μέλη ταύτης.
Καὶ σμύρνα δῆθεν γένηται Χριστῷ συννεκρωθεῖσα.
Οὐκ ἄλλως γίνεται ποτὲ λίβανον τῷ κυρίῳ:-

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

» Ταύτας γοῦν τὰς προτελειοτάτας ἐξηγησαμένη ἀ-
» ναβάσεις μου.
» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ. Ἐν ταῖς δυ-
» νάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε
» καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ.

Δηλαδὴ ὥσπερ ὥρκισα ὑμᾶς διὰ τῶν ἀπειλῶν καὶ τῶν Ἐπαγγελιῶν, κατὰ τὴν αὐτὴν ἔννοιαν, ὥρκισα πάλιν ὑμᾶς διὰ τῆς τῶν κατ' ἐμὲ ἐξηγήσεως δίκην ὅρκου, τῷ κατ' ἐμὲ παραδείγματι βεβαιώσασα, καὶ στηρίξασα πρὸς τὸν κατὰ θεὸν δρόμον. Μέχρις ἂν ἡ θεία ἐμφάνεια τὴν ἀτρεψίαν ὑμῖν χαρίσηται. Αἱ δὲ θάμβους πληρωθεῖσαι, καὶ καθ' ἑαυτὰς περὶ τῆς ἐξηγησαμένης διαπορούμεναι, φασί:-

» Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου ὡς στελέχη
» καπνοῦ;

Ἤτοι ποία ἐστὶν αὕτη ἡ ἀπὸ τῆς τῶν παθῶν ἐστερημένη ἕξεως πρὸς θεὸν ὑψουμένη. Κατ' ἀρετὴν καὶ γνῶσιν, οἷα κλῶνες καπνοῦ. Οὓς ὑπὸ τοῦ νεμομένου ὕλην πυρὸς ὡς κοῦφος, ἀναπέμπεται πρὸς ἀέρα. Οὕτω γὰρ καὶ πᾶσα ψυχὴ τῷ πνεύματι ζέουσα, κατὰ πρᾶξιν μὲν, τὴν τῆς σαρκὸς παχύτητα. Κατὰ θεωρίαν δὲ, τὴν τῆς τῶν ὄντων φύσεως ἐπιφά-

νειαν λεπτύνασα, κατὰ τοὺς ἀγαθοὺς τρόπους καὶ λόγους. Κούφη πρὸς θεὸν ἀναφέρεται. Μὴ καταβαρουμένη τῇ γηΐνῳ παχύτητι. Οὕτω δὲ πρὸς τὸν οὐράνιον νυμφίον ἀναφέρεται. τεθυμιαμένη σμύρναν, καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ. Ἤγουν μεμυρισμένη οἷα μὲν σμύρνῃ τῇ ἀρετῇ, ὡς τὸ σαρκικὸν νεκρώσασα φρόνημα. Οἷα λιβάνῳ τῇ γνώσει, ὡς τοῖς χαρακτῆρσι τῆς ἀληθείας θεῖον ἄγαλμα ἑαυτὴν ἀποδείξασα, τοῦτο τρόπως δὲ εὐωδίασαι. Διεξερχομένη τὰς τῶν ὅλων φύσεις, καὶ πρὸς τὸν τούτων αἴτιον φερομένη. Ἀφ' ὧν δίκην κονιορτῶν οἱ τούτων λόγοι καὶ τρόποι ἐγείρονται αὐτῇ. Λεπτυνόντος ταύτας ταῖς βασανιστικαῖς τῆς ἀληθείας τριβαῖς, τοῦ ἐν τῷ πυρὶ τοῦ πνεύματος, τὸ δὲ τὸ πᾶν οἱονεὶ ἕψοντος ἐξεταστικοῦ λόγου:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Οὕτω τῆς νύμφης τὸ κάλλος θαυμάσαντες. Διηγοῦνται αὐτῇ τοῦ νυμφίου τὸν πλοῦτον, καὶ φασίν:~

» Ἰδοὺ ἡ κλίνη τοῦ Σολομῶντος. Ἑξήκοντα δυνατοὶ κύ-
» κλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἱερουσαλήμ. Πάντες κατέ-
» χοντες ῥομφαίας, δεδιδαγμένοι πόλεμον. Ἀνὴρ ῥομ-
» φαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν.

Ζητητέον δὲ πάντων. Τί δήποτε Σολομῶντα τὸν νυμφίον προσαγορεύουσι; Τὸ Σολομών, εἰρηνικῶς προσαγορεύεται. Καὶ τοῦτο ἐν τοῖς παραλειπομένοις ἐστὶν εὑρεῖν. Φησὶ γὰρ ὁ θεός, βουληθέντα τὸν Δαβὶδ τὸν νεὼν οἰκοδομῆ-
» σαι. Ἰδοὺ υἱὸς τίκτεταί σοι. Οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως.
» Καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυ-
» κλόθεν.

» κλόθεν. Ὅτι Σαλομὼν ὄνομα αὐτῷ. Καὶ εἰρήνην, καὶ ἡ-
» συχίαν δώσω ἐπὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ, οὗτος
» οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. Καὶ αὐτὸς ἔσται μοι εἰς
» υἱόν. Καὶ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. Καὶ ἑτοιμάσω
» τὸν θρόνον τῆς βασιλείας αὐτοῦ, ἐν Ἰσραὴλ ἕως αἰῶνος:~

Εὔδηλον δὲ ὅτι Σολομὼν τετελεύτηκεν. Οὐδὲ πολὺν βιώσας χρόνον. Καὶ ὅτι ὁ θρόνος αὐτοῦ τέλος ἔλαβε. Σολομῶντα τοίνυν προσαγορεύει τὸν εἰρηνικὸν ἡμῶν κύριον. Περὶ οὗ φησὶν ὁ μακάριος Παῦλος, αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν. Ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. Διὸ καὶ ὁ μακάριος Δαβὶδ εἰς Σολομῶντα μὲν ἐπιγράφει τὸν οαʹ. Ψαλμόν. Τὰ δὲ τοῦ σωτῆρος ἡμῶν ἐν αὐτῷ διηγεῖται κατορθώματα. Κρινεῖ γάρ φησι τοὺς πτωχοὺς τοῦ λαοῦ. Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων. Καὶ ταπεινώσει συκοφάντην. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ. Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. Οὔτε δὲ τῷ ἡλίῳ συμπαραμεμένηκε Σαλομών. Οὔτε πρὸ τῆς σελήνης ἐστὶ γενεὰς γενεῶν. Ἀλλὰ ταῦτα ἁρμόττει τῷ ἐκ Σολομῶντος βλαστήσαντι Ἰησοῦ Χριστῷ, κατὰ τὸ ἀνθρώπινον. Ὃς πρὸ τῶν αἰώνων ὑπάρχων, κατέβη ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Πόκον δὲ ἐνταῦθα. Τὴν παρθένον προσηγόρευσε. Καθάπερ ὑετὸς ἐπὶ πόκον ἀψοφητὶ καταβάς. Οὗτος ὁ σωτήριος ἐκεῖνος, τόκος. Πάντων ἀνθρώπων ἀγνοούν-
» των ἐγένετο. Τούτοις ἐπιφέρει. Ἀνατελεῖ ἐν ταῖς ἡμέ-
» ραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης. Ἕως οὗ ἀντα-
» ναιρεθῇ ἡ σελήνη. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως
» θαλάσσης. Καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμέ-
» νης. Καὶ τὰ ἑξῆς ἅπαντα τῆς αὐτῆς διανοίας ἐχόμενα. Οὐ

γὰρ νῦν καιρὸς τὸν ψαλμὸν ἑρμηνεύειν. Ἕως δὲ τῶν περάτων τῆς οἰκουμένης, οὐχ ὁ Σολομὼν ἐκυρίευσεν. Ἀλλ' ὁ ἐκ Σολομῶντος βλαστήσας κατὰ τὸ ἀνθρώπινον Ἰησοῦς Χριστὸς, καὶ Σολομὼν προσαγορευόμενος διὰ τὸ εἰρηνικὸν, καὶ πᾶσι καὶ εἰρήνης παρεκτικόν. Ἐπειδὴ τοίνυν τίς ὁ Σολομὼν, μεμαθήκαμεν. Φέρε τῆς ἑρμηνείας ἁψώμεθα. Ἰδοὺ ἡ κλίνη τοῦ Σολομὼν, κλίνη τοῦ νυμφίου, τὰς θείας νοήσωμεν γραφάς. Ἐν ἐκείνῃ γὰρ οἱονεὶ συνανακλινομένη ἡ νύμφη τῷ νυμφίῳ, καὶ τὰ τῆς διδασκαλίας σπέρματα δεχομένη, συλλαμβάνει καὶ κύει, καὶ ὠδίνει, καὶ τίκτει τὴν πνευματικὴν ὠφέλειαν, ὡς

„ βοᾶν μετὰ τοῦ Προφήτου. Διὰ τὸν φόβον σου κύριε ἐν
„ γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα
„ σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς :~

„ Ἑξήκοντα φησὶ δυνατοὶ κύκλῳ αὐτῆς, ἀπὸ δυνατῶν Ἰσ
„ ραὴλ, πάντες κατέχοντες ῥομφαίας, δεδιδαγμένοι πό-
„ λεμον. Ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ
„ θάμβους ἐν νυξίν.

Τὸν ἑξήκοντα ἀριθμὸν ἐνταῦθα κεῖσθαι ἡγοῦμαι. Οὐκ ἐπὶ ταύτης τῆς ποσότητος. Ἀλλὰ ὥσπερ ἐν τῇ παλαιᾷ διαπρέψαντας ἁγίους, τούτῳ δηλοῦσθαι τῷ ὀνόματι. Τὸν μὲν γὰρ δέκα τέλειον εἶναι φασὶν ἀριθμόν. Τὰ δὲ ἓξ τοῖς ὑπὸ νόμον ἁρμόττονται. Ἓξ γάρ φησιν ἡμέρας ἐργᾷ. Ὥσπερ ἐν νόμῳ τοίνυν τελειωθέντας. Κύκλῳ τῆς κλίνης ἑστάναι φασίν. Ἀπὸ μὲν τοῦ Ἰσραὴλ τὸ γένος κατάγοντας. Δυνατοὺς δὲ ὄντας ὑπὲρ ἅπαντας. Καὶ ῥομφαίαν κατέχοντας, καὶ πολεμικὴν ἐμπειρίαν εἰδότας. Καὶ ἄλλας ῥομφαίας ἐπὶ τῶν μηρῶν φερομένους ἀπὸ θάμβους φησὶν ἐν νυξίν. Σαφέστερον δὲ ὁ σύμ-

ὁ σύμμαχος τοῦτο πεποίηκεν, εἰρηκώς. Διὰ φόβους νυκτερινά. Οὗτοι φησὶν οἱ δυνατοὶ περιέπουσιν αὐτοῦ τὴν κλίνην, διὰ τὰς τῶν ἐναντίων ἐπιδρομάς. Τὴν νύμφην φυλάττοντες. Δύο δὲ ῥομφαίας ἐπιφέρονται. Τὴν μὲν ἐν τῷ μηρῷ. Τὴν δὲ ἐν τῇ χειρὶ, τὸν ἐλεγκτικὸν λόγον. Καὶ τὸν κεκρυμμένον καὶ μυστικόν. Καὶ τὸν μὲν ἐλεγκτικὸν, ἐν προχείρῳ. Τὸν δὲ μυστικὸν ἐν ταμιείῳ, ἔνδον ἐν τῷ κοιλίῳ :~

„ Ἰδοὺ ἡ κλίνη Σολομῶντος, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐ-
„ τῆς ἀπὸ τῶν δυνατῶν Ἰσραήλ. Πάντες κατέχοντες
„ ῥομφαίας, δεδιδαγμένοι πόλεμον. Ἀνὴρ ῥομφαία ἐπὶ
„ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν.

Τοῦ Ψελλοῦ :-

Οἱ φίλοι ταῦτα λέγουσι δῆθεν πρὸς τὴν παρθένον.
Τὸ κάλλος ἀφηγούμενοι τῆς κλίνης τοῦ νυμφίου.
Ὡς μᾶλλον ὑπανάψουσι τὸν πόθον τὸν τῆς νύμφης.
Σὺ δέ μοι σφόδρα πρόσεχε τῇ τούτων ἐξηγήσει.
Κλίνη τυγχάνει Σολομῶν, ὁ τῶν σωθέντων τόπος.
Ἑξήκοντα δὲ δυνατοὶ περικυκλοῦντες ταύτην.
Ὄντως αὐτοὶ πεφύκασιν οἱ πάνυ σεσωσμένοι.
Ἑξήκοντα δὲ λέγοντας τῷ λόγῳ τῶν ᾀσμάτων.
Οἵτινες ὄντως δυνατοὶ, τῇ χάριτι τῇ θείᾳ.
Θάμβους ἐνέπλησαν πολλοῦ τὰ ξίφη τῶν δαιμόνων.
Τῶν ἐν νυξὶ τὸν πόλεμον ἐχόντων κατ' ἀνθρώπων.
Ὥσπερ ἐν πλήθει τίς ἀνὴρ ῥομφαίαν μηρῷ φέρων.
Τοὺς μὴ πρὸς πόλεμον καλῶς ἐν δεδοκιμασμένους.
Ἐκεῖνοι γὰρ σπασάμενοι τὸ τοῦ σταυροῦ σημεῖον.

Ὥσπερ

Ὥσπερ ῥομφαίαν δίστομον ἠκονημένην λίαν.
Πρὸς τὰς ἀρχὰς ἀντέστησαν, καὶ πρὸς τὰς ἐξουσίας.
Τοὺς κοσμοκράτορας σατὰν τοῦ σκότους τοῦ προστάτου.
Ταῦτα μὲν ὄντα παρήνεσεν ὡς δυνατὸν ἐλέγχθη.
Εἰ δ' ἴσως κατὰ σύνταξιν ὁ λόγος οὐ προβαίνει.
Μὴ τὸ θαυμάσῃς δέσποτα μὴ τὸ δυσαρεστήσῃς.
Οὕτω γὰρ ἔχει τὰ πολλὰ τῶν προφητικωτέρων.

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:-

Διαπορήσασαι τίνων περὶ τῆς διδασκαλίας αἱ μαθήτριαι. Ὅτι τίς ἐστιν αὕτη. Νῦν φασὶ περὶ αὐτῆς, τό, ἰδοὺ ἡ κλίνη τοῦ Σολομῶντος. Ἐφ' ᾗ πάντως ἐπαναπαύεται ὁ πρὸς ἑαυτοὺς, καὶ πρὸς ἀλλήλους, καὶ πρὸς τὸν ἴδιον πατέρα καταλλάττων ἡμᾶς. Ὁ Χριστὸς, ὁ εἰρηνικὸς Βασιλεύς. Ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς, οἵπερ εἰσὶν αἱ θεῖαι δυνάμεις πανταχόθεν περιφυλάττοντες τὴν εἰς ἀνάπαυσιν θεοῦ ἑτοιμασθεῖσαν ψυχήν. Ἀπὸ τῶν ἐπιβουλευόντων ταύτην πνευμάτων τῆς πονηρίας ἐνεργητικοὶ λογισμοί. Τοῦ γὰρ ταῖς πέντε αἰσθήσεσιν ἐπιστατοῦντος λόγου ἅμα ταύταις. Τὸν ἓξ ἀποτελοῦντος ἀριθμόν. Τῶν δὲ θείων ἐντολῶν ἐκπληρουσῶν τὴν δέκα. Ὅτε τῷ ὁ λόγῳ ἐπιστατῶν ταῖς αἰσθήσεσι, τὰς θείας ποιεῖ ἐντολάς, ἐξαπλασιάζει τὴν δεκάδα τῶν ἐντολῶν. Καὶ τὸν ἑξήκοντα ἀποτελεῖ ἀριθμόν. Τὸ ἀγαθὸν ὡς εἴρηται ἐργαζόμενος. Ἀπὸ δυνατῶν Ἰσραήλ. Οὗτοι δὲ πάντως, αἱ ἀληθεῖς τοῦ ὁρῶντος θεόν, νοῦ, εἰσὶν ἔννοιαι. Ἀφ' ὧν ὑφιστάμενοι οἱ τοῦ ἀγαθοῦ ἐνεργητικοὶ λογισμοί. Περιφυλάττουσι τὴν ἐν ἑαυτῇ ἐπαναπαύεσθαι τὸν εἰρηνικὸν Βασιλέα Χριστόν, ψυχήν. Πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγ-

μένοι πόλεμον. Πάντες δὲ οἱ εἰρημένοι λογισμοί, καθ' ἕξιν μὲν θεωρητικὴν οἷας ῥομφαίας διστόμους. Τὰς διακρίσεις τῶν ἐναντίων κατέχουσιν. Κατ' ἐνέργειαν δὲ πρακτικήν, πεπείρανται. Τοῦ πῶς δεῖ ταῖς ἐναντίαις δυνάμεσι μάχεσθαι:~

» Ἀνὴρ ῥομφαία αὐτοῦ, ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμ-
» βους ἐν νυξίν.

Ἤγουν ἕκαστος τῶν εἰρημένων λογισμῶν, τὴν ἀναιρετικὴν τῶν παθῶν μάχαιραν τοῦ πνεύματος, κατὰ τῆς ἐπιθυμητικῆς δυνάμεως τῆς ψυχῆς ἐπιφέρεται. Διὰ φόβον τῶν ἐπιβουλευόντων αὐτῇ ἐν νυξὶ τῆς ἀγνοίας, κατὰ τοὺς ἀλόγους τῆς ἐπιθυμίας πονηροτάτων δαιμόνων:~

» Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ Βασιλεὺς Σαλωμών, ἀπὸ ξύ-
» λου τοῦ Λιβάνου. Στύλους αὐτοῦ ἐποίησεν ἀργύρεον, καὶ
» τὸ ἀνάκλιτον αὐτοῦ, χρυσίον, ἐπίβασις δὲ αὐτοῦ πορφυρᾶ.
» Ἐντὸς αὐτοῦ λιθόστρωτον. Ἀγάπην ἀπὸ θυγατέρων Ἱε-
» ρουσαλήμ.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Πάλιν ἐνταῦθα φορεῖον, τοὺς ἁγίους νοήσωμεν Ἀποστόλους, βαστάσαντας τὸ ὄνομα κυρίου ἐνώπιον ἐθνῶν καὶ Βασιλέων, υἱῶν τε Ἰσραήλ. Καὶ γὰρ περὶ τοῦ μακαρίου Παύλου τοῦτο τῷ Ἀνανίᾳ φησὶν ὁ Χριστός. Πορεύου ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος. Τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ Βασιλέων, υἱῶν τε Ἰσραήλ. Καὶ αὐτὸς δὲ ὁ θεσπέσιος Παῦλος βοᾷ. Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.

Χριστοῦ. Τούτους δὲ καὶ ἵππους ὁ μακάριος Ἀββακοὺμ ὀνομάζει. Ἐπιβήσῃ γάρ φησιν ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Καὶ πάλιν. Ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Θάλασσαν δὲ καλεῖ τὰ ἔθνη, ἃ τότε τῶν Ἀποστόλων κηρυττόντων διεταράττετο. Διὸ καὶ οἱ ἀπιστοῦντες περὶ αὐτῶν ἔλεγον. Οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνταῦθα πάρεισιν. Ἀνθ' ὧν ὑποδέδεκται Ἰάσων. Οὓς ὁ Ἀββακοὺμ τοίνυν ἵππους ὠνόμασε. Τούτους φορεῖον ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων προσαγορευομένους εὑρίσκομεν:~

Ἐποίησε τοίνυν ἑαυτῷ φορεῖον ὁ Βασιλεὺς Σολομὼν ἀπὸ ξύλου τοῦ λιβάνου. Λίβανον τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίων πληθὺν ἡ θεία πολλάκις προσαγορεύει γραφή. Καὶ τοῦτο ἐν τοῖς προοιμίοις τοῦ λόγου ἐκ τῶν Προφητικῶν ἀπεδείξαμεν συγγραμμάτων. Ἐπειδὴ τοίνυν ἐξ ἐκείνων κατῆγον τὸ γένος οἱ μακάριοι Ἀπόστολοι. Εἰκότως φησὶ τὸ φορεῖον ἀπὸ ξύλων τοῦ λιβάνου κατασκευάσθαι. Τοὺς δὲ στύλους αὐτοῦ, φησὶν ἐποίησεν ἀργύρεον. Εὑρίσκομεν δὲ αὐτοὺς καὶ στύλους ὀνομασθέντας. Ὁ γὰρ μακάριος Παῦλος γαλάταις γράφων, φησί. Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι. Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. Φασὶ δὲ καὶ τὸ ἀνάκλιτον αὐτοῦ χρυσίου εἶναι. Δηλοῖ δὲ τὸ Εὐαγγελικὸν κήρυγμα, ὡς ὁ θεῖος ἐπαναπαύεται λόγος: ἐπίβασις αὐτοῦ πορφυρᾶ. Τοῖς μὲν γὰρ δεχομένη, τὸ βασιλεύεσθαι πρέπει. Τοῖς δὲ τελειωμένοις, νυμφοστολεῖσθαι:~

Καὶ

Καὶ ἐντὸς αὐτοῦ λιθόστρωτον: μαργαρίταις γὰρ ἔοικε καὶ λίθοις τιμίοις τὰ θεῖα λόγια κατὰ τὸν εἰπόντα Προφήτην. Τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. Καὶ πάλιν. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Καὶ ἡ Βασιλεία δὲ τῶν οὐρανῶν, ἔοικε κατὰ τὴν τοῦ κυρίου φωνήν, ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας. Καὶ ἀλλαχοῦ δὲ φησίν. Μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων:~

Τοῦ Ψελλοῦ :-

„ Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ Σολομὼν Βασιλεύς.

Ὁ Λόγος ὁ προκείμενος τοῦ μέλους τῶν ᾀσμάτων.
Τὴν ἐξ ἐθνῶν αἰνίττεται πανσόφως Ἐκκλησίαν.
Ὁ Βασιλεὺς γὰρ Σαλομὼν, τουτέστιν ὁ νυμφίος.
Ὅς ἐστιν ἀπὸ τῶν ἐθνῶν τῶν ἀπωσμένων πάλαι.
Ἔστι μὲν γὰρ καὶ λίβανος σεπτὸς ἡγιασμένος.
Οὗτινος μέμνηται Δαβὶδ ὁ ψαλμογράφος λέγων.
Ὡς φοίνιξ ἐξ ἀνθήσειε δίκαιος ἐν κυρίῳ.
Καὶ πληθυνθήσεται καλῶς ὡς κέδρος ἐν λιβάνῳ.
Ἔστι δὲ πάλιν λίβανος ἀπόβλητος ἐν πᾶσιν.
Ὅνπερ ἐπεύχεται Δαβὶδ τὰς κέδρους συντριβῆναι.
Στύλους δὲ σύ μοι νόησον καὶ βάσεις τοῦ φορείου.
Τοὺς Ἀποστόλους ἀληθῶς καὶ τοὺς Προφήτας ὅλους.
Οἵτινες ὑπεστήριξαν Χριστοῦ τὴν ἐκκλησίαν.
Καὶ τὴν ἀγάπην ηὔξησαν ἤγουν τὴν σωτηρίαν.
Τῶν ἀνθρωπίνων δηλαδὴ ψυχῶν τῶν ἀπωσμένων.
Ταῦτα μὲν οὖν λελάληκεν, ὑπὲρ αὐτῆς ἡ νύμφη.

V ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

ΕΚ τούτων γὰρ ἐστὶ τῆς ποιμέας ταύτης ἐκκοπέντας ῥίζας. Καὶ ἐπὶ Χριστῷ τῷ θεμελίῳ τῆς πίστεως ἐποικοδομηθέντας. Φορεῖον ἑαυτοῦ πεποίηκεν αὐτὸ, Χριστὸς ὁ εἰρηνικὸς βασιλεύς. Ἐπὶ τούτων ἐφθακότων εἰς τελειότητα. Ὥσπερ ὀχούμενος. Καὶ πρὸς ἐστὶ διδασκομένους μεταφερόμενος. Κατὰ μέρος δὲ τὴν τοῦ φορείου κατασκευὴν ἐξηγούμενοι, φασί. Στύλους αὐτοῦ ἐποίησεν ἀργύρειον. Ὅπερ εἰσὶ τὰ λόγια. Ἅ φησιν ὁ Δαβὶδ λόγια ἁγνά. Ἀργύριον πεπυρωμένον. Ἐφ' οἷς ὥσπερ ἐπὶ στύλοις, ὕψωσε πρὸς γνῶσιν ἑαυτοῦ, ὁ νυμφίος τὴν νύμφην. Οἰκεῖον ταύτην ποιησάμενος ὄχημα. Φέρουσαν ἐν ἑαυτῇ τὴν ἐποπτικὴν τουτονὶ τῶν λογίων ἀλήθειαν. Καὶ ἀνάκλιτον αὐτοῦ χρυσοῦν. Ἤγουν κατάπαυσιν τῆς κατὰ νοῦν κινήσεως αὐτῆς πεποίηκε τὸ αὐτοῦ ὑπέρτερον. Ὅπερ σημαίνει ὁ χρυσὸς ὡς τῶν λοιπῶν πασῶν ὑλῶν τιμιώτερος:~

ἘΠίβασις αὐτοῦ πορφυρᾶ. Δηλονότι βασιλεία θεοῦ. Εἰ γὰρ εἰρηνικὸς ὁ Σολομὼν ἑρμηνεύεται. Καὶ δηλοῖ τὸν εἰρηνεύσαντα ἐν ἑαυτῷ τὰ πάντα Χριστόν. Ἡ δ' εἰρήνη, ἀνενόχλητος εὐφροσύνη. Ἀστασίαστος θεοῦ βασιλεία ὑπάρχει. Βασιλεία ἄρα θεοῦ ἡ ἐπίβασις. Τῆς ὑποδεχομένης ψυχῆς δηλαδὴ φορείου. Τὸν εἰρηνικὸν βασιλέα ἐστίν:~

ἘΝτὸς αὐτοῦ λιθόστρωτον. Ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ. Ἤτοι ἐν τῇ κεκρυμμένῃ διαθέσει τῆς τούτου χρηματισάσης φορεῖον ψυχῆς ἐποίησεν. Ὁ ἀκρογωνιαῖος λίθος ταῖς ἑαυτοῦ θείαις διδασκαλίαις, καὶ τοῖς ὑποδείγμασιν ἐρωμένην ἀγάπην ἀπὸ τῶν κηρύκων αὐτοῦ ἀποστολικῶν ψυχῶν.

χῶν. Αἳ καὶ θυγατέρες Ἱερουσαλὴμ ἐκλήθησαν. Ὡς ἐκ ταύτης τὸ κατὰ σάρκα τυγχάνουσαι. Ἀρξάμενος, ὡς πρώτων τῶν Ἀποστόλων, κατὰ μίμησιν Χριστοῦ τὰς ἑαυτῶν ψυχὰς τεθεμένων ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας. Κἀντεῦθεν τὰ ὅμοια πράττειν ἐγκελευομένων. Τοῖς ἐφιεμένοις τῆς ἐν Χριστῷ τελειότητος. Διὸ φησὶν ὁ μέγας Ἀπόστολος. Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΤΟιοῦτον εἶναι τὸ φορεῖον τοῦ βασιλέως φήσαντες. Προτρέπουσι τὰς θυγατέρας Ἱερουσαλὴμ εἰς θεωρίαν ἐξελθεῖν τοῦ νυμφίου καὶ ἰδεῖν. Τὸν περικείμενον αὐτῷ στέφανον, καὶ φασίν:~

» Ἐξέλθετε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σολομὼν θυγατέ-
» ρες σιὼν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ
» αὐτοῦ. ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ. Καὶ ἐν ἡμέρᾳ εὐφρο-
» σύνης καρδίας αὐτοῦ.

ΔΗλοῦσι δὲ, ἵνα συντόμως καὶ σαφῶς τὴν ἑρμηνείαν προσαγάγωμεν, τὸ μῆκος φυγόντες. Ὦ θυγατέρες Ἱερουσαλὴμ καὶ σιών. Σιὼν δὲ πάλιν τὴν ἐπουράνιον ἡμᾶς ἐδίδαξεν ὁ μακάριος Παῦλος λέγων. Ἀλλὰ προσεληλύθατε σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. Καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. Ὑμεῖς τοίνυν φασὶν ὦ θυγατέρες σιὼν καὶ Ἱερουσαλήμ. Ἐξέλθετε καὶ ἴδετε. Ἀμήχανον γὰρ ὑμᾶς ἰδεῖν, μὴ ἔξω τῶν βιωτικῶν γενομένους πραγμάτων. Βλέπετε τὸν βασιλέα τὴν ἀγάπην ἐστεφανωμένον. Οὕτως γὰρ ἠγάπησε τὸν κόσμον.

Ὅπως πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος. Καὶ ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου. Γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Διό φησι. Μείζονα ταύτης ἀγάπην οὐδεὶς δύναται δεῖξαι. Ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ. Οὕτως τοίνυν ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. Μητέρα δὲ τὴν Ἰουδαίαν καλεῖ κατὰ τὸ ἀνθρώπειον. Ἥτις αὐτῷ τοῦτον, ἄκουσα τὸν στέφανον δέδωκεν. Αὕτη μὲν γὰρ αὐτὸν ἐστεφάνωσε ταῖς ἀκάνθαις ὡς ἀτιμάζουσα. Αὐτὸς δὲ διὰ τῶν ἀκανθῶν, τὸν τῆς ἀγάπης δέχεται στέφανον. Ἑκὼν γὰρ τὴν ἀτιμίαν ὑπέφερε, καὶ ἐθελοντὶ τῷ πάθει προσήρχετο. Διὸ καὶ νυμφεύσεως ἡμέραν ἐκείνην ἐκάλεσεν. Καὶ ἡμέραν εὐφροσύνης καρδίας αὐτοῦ. Κατ' ἐκείνην γὰρ τὴν ἡμέραν ἡ τοῦ γάμου γέγονε κοινωνία. Μετὰ γὰρ τὸ δεῖπνον λαβὼν φησὶν ἄρτον καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ λέγων. Λάβετε φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες. Τοῦτο γάρ ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Οἱ τοίνυν ἐσθίοντες τοῦ νυμφίου τὰ μέλη, καὶ πίνοντες αὐτοῦ τὸ αἷμα, τῆς γαμικῆς αὐτοῦ τυγχάνουσι κοινωνίας. Διὰ τοῦτο τὰς θυγατέρας Σιὼν καὶ Ἱερουσαλὴμ προτρέπουσιν οἱ τοῦ νυμφίου διάκονοι. Ὅτι ἐξέλθετε καὶ ἴδετε τὸν τῆς ἀγάπης αὐτοῦ στέφανον. Ὧ κατεκόσμησεν αὐτῷ παρὰ γνώμην, ἡ τεκοῦσα αὐτὸν Ἰουδαία. Καὶ ἐστεφάνωσεν αὐτὸν ἐν τῇ ἡμέρᾳ τῆς νυμφεύσεως αὐτοῦ :~

Τοῦ Ψελλοῦ :-

Εἴ τοι προτρέπεται ψυχαῖς ἁπάσαις τῶν ἀνθρώπων.
Ὑπεξελθεῖν τῶν κοσμικῶν σκανδάλων καὶ θορύβων.
Καὶ τὸν νυμφίον κατιδεῖν αὐταῖς συνηνωμένον.
Φησὶ γὰρ οὕτω πρὸς αὐτὰς ὑφ' ἡδονῆς ἡ νύμφη :-

„ Ἐξέλθετε καὶ ἴδετε.

Ὦ θυγατέρες τῆς Σιὼν φησὶν ἡ νύμφη πάλιν,
Ἐπείπερ ἔγωγε τὸ πρὶν οὖσα μεμισημένη.
Γέγονα νῦν τερπνότατον φορεῖον τοῦ νυμφίου.
Θέλω καὶ πάσας ἐκφυγεῖν ὑμᾶς ἀπὸ τοῦ βίου.
Καὶ καθαροῖς ἐν ὄμμασι προβλέπειν τὸν νυμφίον.
Περικειμένῳ στέφανον ἐκ λίθων σεβασμίων.
Ἐν ᾧπερ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ τούτου.
Σήμερον μνηστευόμενον ἐμὲ τὴν Ἐκκλησίαν.
Μήτηρ δὲ τούτου πέφυκεν ἡ τοῦ πατρὸς ἀγάπη :-

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ :-

Ἐπεὶ δὲ τοὺς μαθητευομένας ἡ διδάσκαλος. Εἶδεν ἐπ' αὐτῇ διαπορουμένας, καὶ θάμβους πληρουμένας. Καὶ τὰ κατ' αὐτὴν ἐξηγουμένας, ἐν τῷ νυμφίῳ Χριστῷ, βούλεται λοιπὸν αὐτὰς θεωρῆσαι τὸν τρόπον τῆς σωτηρίας ἡμῶν. Καὶ ἀξίως ἀπορῆσαί τε καὶ θαυμάσαι, ὅπως αὐτὸς ἐν τοῖς σωτηρίοις αὐτοῦ παθήμασι. Καὶ τῷ θανάτῳ τὴν ἀπάθειαν. Καὶ τὴν ζωὴν ἡμῖν ἐδωρήσατο διὸ καὶ φησὶν :~

„ Ἐξέλθετε, καὶ ἴδετε θυγατέρες Σιὼν, ἐν τῷ βασιλεῖ
„ Σαλωμών.

Ἤγουν καταλείψατε τὸ τοῖς κατ' ἐμὲ τὴν δουλείαν ἀσχολεῖσθαι τὸν νοῦν. Καὶ ἐν τῷ εἰρηνικῷ δεσπότῃ θεάσασθε, ὅπως ἡμῖν διὰ τὴν σωτηρίαν ἐπραγματεύσατο. Τέκνα σκοπευτηρίου ὡς γεννηθῆσαι πνευματικῶς διὰ πίστεως. Σιὼν γὰρ σκοπευτήριον ἑρμηνεύεται. Σκοπευτήριον δὲ, ἐξ οὗ δύναταί τις κατὰ νοῦν ὁρᾷν ἀκριβῶς, εἰ πνευματικὴ ἐστὶ γέννησις. Ἧς ὁ μὴ τυχὼν, τυφλὸς ἐστὶ μυωπάζων, περὶ τὰς τῆς ἀληθείας αὐγὰς, θεάσασθαι δὲ τὸν εἰρημένον φησὶ τῆς οἰκονομίας τρόπον. Ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσε τὸν Χριστὸν ἡ τῶν Ἰουδαίων συναγωγὴ, ἐξ ἧς ἔσχε τὸ κατὰ σάρκα. Ἐν ἡμέρᾳ τοῦ σωτηρίου πάθους αὐτοῦ. Ἐν ᾗ τῷ ἰδίῳ αἵματι τὴν Ἐκκλησίαν ἑαυτῷ ἐνυμφεύσατο: Καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ. Καθ' ἣν πάντως παθὼν ὑπὲρ ἡμῶν τὸ σωτήριον πάθος, ἀπήλλαξεν ἡμᾶς τῆς τοῦ ἐχθροῦ τυραννίδος. Καὶ ὡς ἐντεῦθεν πληρώσας τὸ τοῦ πατρὸς θέλημα, εὐφράνθη πνεύματι, εἰ καὶ τοῖς παθήμασιν ὠδυνήθη σαρκί. Ταῦτα ἡ νύμφη πρὸς τοὺς μαθητευομένους εἴρηκεν. Ἀγαπῶσα τὸ ἀνεπίδεικτον, καὶ τὴν παρ' ἀνθρώπων φεύγουσα δόξαν. Καὶ βουλομένη μόνον τὸν ἑαυτῆς νυμφίον, παρὰ πάντων θαυμάζεσθαι, καὶ δοξάζεσθαι:~

(?)

Τούτων οὕτως ὑπ' ἐκείνων εἰρημένων. Πάλιν ὁ νυμφίος τῇ νύμφῃ διαλεγόμενος φησίν:~

„ Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου. Ἰδοὺ εἶ καλή. Ὀφθαλμοί
„ σου περιστεραὶ, ἐκτὸς τῆς σιωπήσεώς σου.

ΘΕΟΔΩΡΗΤΟΥ:~

Τὸ κάλλος αὐτῆς ἐστι πληθυόμενος. Δεύτερον λέγει τὸ, ἰδοὺ εἶ καλή. Εἶτα κατὰ μέρος αὐτῆς διαγράφει τὴν ὥραν. Καὶ τοὺς μὲν ὀφθαλμοὺς ὀνομάζει περιστεράς. Τὴν πνευματικὴν αὐτῶν ἐπαινῶν θεωρίαν. Καὶ ὅτι οὐ περὶ τὰ αἰσθητὰ κεχήνασιν, ἀλλὰ τὰ ἄνω ζητοῦσιν, οὗ ὁ Χριστὸς ἐστὶ κατὰ τὸν Παῦλον ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. Θαυμάζει δὲ αὐτῆς καὶ τὴν εὔκαιρον σιωπήν. Εὑρίσκομεν γὰρ καὶ παρὰ τοῖς παλαιοῖς ἀνδράσι ταύτην ἐπαινουμένην, διὸ καὶ ἐν Ψαλμοῖς ἀκούομεν, ἐθέμην φυλακὴν τῷ στόματί μου, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. Καὶ ψάλλοντες λέγομεν, θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Καὶ τὸν κύριον εὑρίσκομεν κατὰ τὴν Ἡσαΐου προφητείαν. Οὐκ ἀνοίγει αὐτοῦ τὸ στόμα. Ἐν τῇ ταπεινώσει αὐτοῦ. Καὶ τὴν τῶν Εὐαγγελίων ἱστορίαν ἐρωτώμενον ὑπὸ Πιλάτου καὶ μὴ ἀποκρινόμενον. Ἐπαινεῖ τοίνυν τῆς νύμφης ὁ νυμφίος. Τὴν εὔκαιρον σιωπὴν, ἅτε δὴ καὶ αὐτὸς εὔκαιρον ταύτην χρησάμενος:~

Τοῦ Ψελλοῦ:-

ΤΟύτων ὡς ἤκουσεν αὐτῆς τῶν λόγων ὁ νυμφίος.
Πρὸς ἔπαινον ἐγείρεται τοῦ κάλλους αὐτῆς λέγων:-

,, Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου.

ΚΑλὴ γὰρ ὄντως πέφυκας φησὶ κἀμοῦ πλησίον.
Πάσας σωθῆναι θέλουσα ψυχὰς τὰς τῶν ἀνθρώπων.
Εἶτ' ἐπαινέσαι βουληθεὶς αὐτὴν καὶ κατὰ μέρος.
Φησί πως οὕτω πρὸς αὐτὴν ἤγουν τὴν Ἐκκλησίαν:-

,, Ὀφθαλμοί σου περιστεραί.

ὯΣπερ ἐν σώματι βροτοῦ πολλὰ τυγχάνει μέρη.
Πόδες καὶ χεῖρες καὶ μαστοὶ καὶ στῆθος καὶ κοιλία.
Οὕτω καὶ σῶμα τὸ σεπτὸν τῆς θείας ἐκκλησίας.
Οὗπερ τυγχάνει κεφαλὴ Χριστὸς ὁ καὶ νυμφίος.
Ἐξ ὀφθαλμῶν ἀπήρξατο τὸν Στέφανον συμπλέκειν.
Σὺ δ' ὀφθαλμὸν ἐννόησον τῆς θείας ἐκκλησίας.
Τὸ σύνταγμα τῶν Προφητῶν τῶν ὀξυδερκεστάτων.
Θέλων δὲ ταύτης ἐπαινεῖν τοὺς ὀφθαλμοὺς τοὺς ἔνδον.
Φησὶ καὶ ταῦτα πρὸς αὐτὴν ὡς καθ' εἱρμὸν εὑρήσεις:-

,, Ἐκτὸς τῆς σιωπήσεώς σου.

ΤΟὺς ὀφθαλμούς σου γάρ φησιν ἐπῄνεσα τοὺς ἔξω.
Οἱ γὰρ ἐντὸς ὑπέρτεροι τυγχάνουσιν ἐπαίνου.

Τῶν τριῶν Πατέρων:-

ὍΘεν ὁ ταύτης νυμφίος ἀποδεξάμενος αὐτὴν ὡς κατὰ πάντα ὡραίαν φησίν. Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου. Ἤτοι ἰδοὺ ὑπάρ-

χεις ὡραία, ἢ ἐγγίσασά μοι διὰ μιμήσεως, ὡς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν κάλλος κατ' ἔμπρακτον γνῶσιν συνάψασα. Ἰδοὺ ὑπάρχεις ὡραία, καὶ διὰ τὸ ἐπὶ πᾶσι τοῖς κατορθώμασιν ἄτυφον. Καὶ εἰπὼν μὲν καθολικῶς τὸν ταύτης ἔπαινον ἐποιήσατο. Εἶτα καὶ κατὰ δεξάμενος τοῦτο, διέξεισι φάσκων. Ὀφθαλμοί σου περιστεραὶ ἐκ τῆς σιωπήσεώς σου. Οἱ τῶν αἰσθητῶν πάντως ἀντιλαμβανόμενοι, καὶ οἱ τῶν νοητῶν πνευματικοί. Ὅτι διὰ τῶν πᾶσαν τὴν κτίσιν πρὸς δόξαν τοῦ πεποιηκότος ὁρᾷς. Οὕτω δέ σου οἱ ὀφθαλμοὶ οὗτοι πνευματικοί, ἐντὸς τῆς ἐπὶ θεῷ ἀφοσιώσεώς σου. Καὶ γὰρ μᾶλλον αὕτη πνευματική. Ὅτι ἐν ἁγίῳ πνεύματι ὑπὲρ γνῶσιν γινώσκεις τὸ τοῦ θεοῦ ἀκατάληπτον. Ἐπαινεῖ αὐτῆς καὶ τρίχας. Θαυμάζει καὶ τοὺς ὀδόντας καὶ φησίν:~

,, Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν. Αἳ ἀπεκαλύ-
,, φθησαν ἀπὸ τοῦ Γαλαάδ. Ὀδόντες σου ὡς ἀγέλαι τῶν
,, κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ. Αἳ
,, πᾶσαι διδυμεύουσαι. Καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν
,, αὐταῖς.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΟὔΤε τρίχας νοητέον. Οὔτε ὀδόντας τοὺς ὀδόντας. Ἀλλὰ τρίχας μέν, τὸ οἱονεὶ περιττὸν καὶ σωματικὸν τῆς νύμφης. Νεκραὶ γὰρ αἱ τρίχες καὶ ἀναίσθητοι. Δηλοῖ δὲ ὅτι καὶ ἐν οἷς ἀνάγκη τοῖς ἀνθρωπίνοις ἐπιμίγνυσθαι πράγμασι. Καὶ ἐν ἐκείνοις τὸ ἐπαινετὸν ἔχεις καὶ κόσμιον. Καὶ ἔοικας τῇ Ἀγέλῃ τῶν αἰγῶν, τῇ ἐν τῷ ὄρει Γαλαὰδ νεμομένῃ. Καὶ

διὰ τὸ ὕψος τοῦ ὄρους, ἐπισήμων γινομένη. Περὶ δὲ τούτου τοῦ ὄρους, ὁ Προφήτης Ἱερεμίας φησίν. Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ. Ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ. Καὶ ζητητέον μήποτε τὴν τῶν αἰγῶν Ἀγέλην, τοὺς ἐξ ἁμαρτίας τῇ μετανοίᾳ προσιόντας. Καὶ διὰ τοῦτο ἐν τῷ Γαλαὰδ ὄρει νεμομένους, ἵνα φαρμάκων θεραπευτικῶν καὶ ἰατρείας τύχωσιν. Ἐνταῦθα ὁ λόγος αἰνίττεται καὶ δηλοῖ. Ὅτι τὰ ἐντελῆ τῆς νύμφης, καὶ τὰ ἔσχατα αὐτῆς μόρια. Καὶ τὰ οἱονεὶ νεκρὰ καὶ ἀναίσθητα. Τοῖς ἐκείνης τῆς Ἀγέλης παραβάλλεται κατορθώμασιν. Οἱ ὀδόντες σου δὲ οὕτως εἰσὶ καθαροί, καὶ πάσης περιττῆς διαλέξεως ἀπηλλαγμένοι, εὐτραπελίας τε καὶ μωρολογίας. Ψευδολογίας τε καὶ αἰσχρολογίας, ὡς ἐοικέναι ταῖς ἀγέλαις τῶν κεκαρμένων, καὶ τὸ περιττὸν ἀποθεμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ. Ἡγοῦμαι δὲ τὰς τῶν κεκαρμένων ἀγέλας. Τοὺς διὰ τοῦ Βαπτίσματος τὴν ἁμαρτίαν ἀποκειραμένους. Καὶ τῷ λουτρῷ τοῦ ὕδατος, ἐν ῥήματι κατὰ τὸν μακάριον Παῦλον καθαρθέντας, παραδηλοῦν τὸν νυμφίον. Οὕτως γάρ φησι, διέμεινας καθαροὺς ἔχουσα τοὺς ὀδόντας. Καὶ ῥύπου λόγων πονηρῶν ἀπηλλαγμένους. Ὡς ἐοικέναι σε τοῖς ἀρτίως τοῦ σωτηρίου βαπτίσματος ἠξιωμένοις. Ἐκεῖναι δὲ αἱ ἀγέλαι πᾶσαι διδυμεύουσαι. Καὶ ἀτεκνοῦσα, οὐκ ἔστιν ἐν αὐταῖς. Οὐ γὰρ ἀπεικάζω σε τοῖς μετὰ τὸ σωτήριον βάπτισμα, πάλιν δρομοῦσι πρὸς τὴν κακίαν. Ἀλλὰ τοῖς τὴν δοθεῖσαν αὐτοῖς φυλάττουσι δωρεάν. Καὶ τὴν διπλῆν ἀρετὴν γεννῶσι. Τήν τε ἐν θεωρίᾳ, τήν τε ἐν πράξει. Οὕτως ταῦτα τῆς νύμφης ἐπαινέσας τὰ μόρια. Ἐπὶ τὰ λοιπὰ χωρεῖ, καὶ φησίν:~

» Ὡς σπαρτίον κόκκινον χείλη σου. Καὶ ἡ λα-
» λιά σου ὡραία.

Διὰ τοῦ κοκκίνου σπαρτίου ἀναμιμνήσκει αὐτήν. Τῆς τὸν τύπον αὐτῆς πληρωσάσης ἐν παλαιᾷ διαθήκῃ Ῥαὰβ τῆς πόρνης. Καὶ γὰρ ἐκείνη τοὺς ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ κατασκόποις ἀποσταλέντας ὑποδεξαμένη. Δι' αὐτῶν τῆς αἰωνίου ζωῆς ἀξία γεγένηται. Καὶ ἐκείνη δὲ Σημεῖον ἔλαβε τῆς σωτηρίας, τὸ σπαρτίον τὸ κόκκινον. Τοῦ διὰ τῆς θυρίδος χαλάσαι προσταχθεῖσα. Ἵνα τῶν Ἰσραηλιτῶν εἰς τὴν πόλιν εἰσεληλυθότων. Φανὲν τὸ Σημεῖον, τῶν ἀναιρούντων αὐτὴν ἀπαλλάξῃ. Καὶ τὴν σωτηρίαν αὐτῇ προξενήσῃ. Τοῦτο τὸ Σημεῖον ὁ νυμφίος ἐν τῷ στόματι τῆς νύμφης. Οἷον ἐν τῇ θυρίδι κείμενον, θεωρεῖ καὶ φησίν. Ὡς σπαρτίον κόκκινον χείλη σου. Καὶ ἡ λαλιά σου ὡραία. Ἐδέξατο γὰρ τὴν ἀπὸ τοῦ αἵματός μου βαφήν. Καὶ προφέρει λόγους ἀληθείας, οἱονεὶ σπαρτίῳ τοὺς ἀκροατάς, ἀληθεύοντάς τε καὶ δεσμοῦντας. Κατακαλλύνει γὰρ αὐτοὺς ἡ ὡραία σου λαλία, καὶ καταθέλγει καὶ ἀναχωρεῖν οὐκ ἐᾷ. Ἀλλὰ τοῖς σοῖς χείλεσι προσεδρεύειν βιάζεται. Ἐπαινεῖ αὐτῆς καὶ τὸ μῆλον τῆς ὄψεως:~

» Ὡς λέπυρον γάρ φησι τῆς ῥοᾶς μῆλόν σου, ἐκτὸς τῆς
» σιωπήσεώς σου.

Σημαίνει δὲ τὸ ἐξ αἰδοῦς ἐρύθημα ἐγγινόμενον αὐτῇ. δι' ἧς καὶ εὔκαιρος σιωπή. Κρύπτουσα εὐκαίρως τοὺς μυστικωτέρους λόγους, ὡς λέπυρος τῆς ῥοιᾶς τοὺς κόκκους:-

» Τριχώματά σου ὡς Ἀγέλαι τῶν αἰγῶν αἳ Ἀποκαλυφ-
» θεῖσαι ἀπὸ Γαλαάδ.

Τοῦ Ψελλοῦ :-

ΤΑῦτα μὲν οὖν ὡς γυναικὶ προσομιλεῖ τῇ νύμφῃ.
Εἰ δ' ἀναλογικώτερον ἐξερευνῆσαι θέλεις·
Τραχώματα πεφύκασι τῆς νύμφης καὶ παρθένου.
Ἤγουν ἐγκαλλωπίσματα τῆς θείας Ἐκκλησίας.
Τὸ πλῆθος ὄντως τοῦ λαοῦ τῆς ἐξ ἐθνῶν ἀγέλης :-

„ Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων. Αἳ ἀναβαί-
„ νουσαι ἀπὸ τοῦ λουτροῦ. Αἳ πᾶσαι διδυμεύουσαι. Καὶ
„ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.

Ὀδόντας δέ μοι γίνωσκε, τοὺς θείους διδασκάλους.
Τοὺς σαφηνίσαντας ἡμῖν γραφὴν τὴν σεβασμίαν.
Τοὺς τὰς φροντίδας τῆς σαρκὸς ἀποκειραμένους.
Καὶ τῷ τῆς συνειδήσεως λουτρῷ κεκαθαρμένους.
Διδυμοτόκους αἶγας δὲ, πάλιν ὁ λόγος εἶπεν.
Ὡς καὶ ψυχῆς καὶ σώματος καλῶς καθηγνισμένους :-

„ Ὡς σπαρτίον κόκκινον χείλη σου. Καὶ ἡ λαλιά
„ σου ὡραία.

Ἐν τούτοις πάλιν ἐπαινεῖ τὰ χείλη μὲν τῆς νύμφης.
Σὺ δὲ σπαρτίον γίνωσκε, τῆς σιωπῆς τὸ μέρος.
Τὴν δ' αὖ ὡραίαν λαλιὰν τὸ κήρυγμα τὸ θεῖον.
Φησὶ γὰρ σὺ κατόρθωσας τῆς σιωπῆς τὴν χάριν.
Μὴ δὲν λαλοῦσα περιττὸν μὴ δὲ πεπλανημένον.
Εἰ γὰρ θελήσεις πώποτε λαλῆσαι, καὶ φωνῆσαι.
Τὸ κήρυγμα τῆς πίστεως κηρύττεις, καὶ διδάσκεις:

„ Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου. Ἰδοὺ εἶ καλή.

Διπλοῦν

ΔΙπλοῦν κἀντεῦθεν δέδωκε τὸν ἔπαινον τοῦ κάλλους.
Τὸ τοῦ προσώπου γὰρ αὐτῆς νῦν ἐπαινέσας μῆλον.
Ὡς πλήρης ἐρυθήματος καὶ σωφροσύνης γέμον.
Ἐπήνεσε καὶ τῆς ψυχῆς τὸ κάλλος λέγων οὕτως.
Ἐκτὸς τῆς σιωπήσεως τοῦ κάλλους τῆς ψυχῆς σου.
Αὐτὴ μὲν οὖν ἐρωτικὴν ἔξωθεν ἔχει θέαν.
Ἀλλ' ἔνδον μεγαλοπρεπεῖς τὰς ἀναβάσεις ἔχει.

Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν. Αἳ ἀπεκαλύφθησαν
ἀπὸ τοῦ Γαλαάδ.

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

ΗΤοι οἱ πρακτικοί σου λογισμοὶ, καὶ ἡ θεωρητικοὶ λόγοι. καὶ αἱ θεολογικαὶ τὴν ὑπὲρ νόησιν ἀγνώστων δογμάτων ἐπιβουλαί. Ἅπαντα τοῦ νοός σου εἰσὶ καλά. Οἷα δὲ, κεφαλῆς κοσμήσεις θριξὶ, πνευματικῶς φύονται. Καὶ πρὸς τὰ ἐν σαρκὶ, καὶ κόσμῳ ἀναισθητοῦσι. Δίκην εὐθαλοῦς τριχώματος αἰγῶν, ἀποκαλυπτομένου ἐξ ὄρους ἀπὸ τοῦ Γαλαὰδ καλουμένου. Ἀποκεκαλυμμένα εἰσὶν ἀπὸ σκότους κακίας, καὶ ἀγνοίας καὶ ἀθείας. Ὡς ἐκ τούτων εἰς ἀρετὴν καὶ γνῶσιν, καὶ θεοσέβειαν μετοικισθέντα παρὰ τοῦ μαρτυρουμένου τοῖς πιστοῖς τὰ μέλλοντα δημιωτήρια Εὐαγγελίου. Ὥσπερ δηλοῖ τὸ Γαλαὰδ μετοικίας μαρτυρίας ἑρμηνευόμενον :-

Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων. Αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ. Αἳ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς :-

Ἤγουν

Ἤγουν αἱ διανοήσεις σου, δίκην ὥσπερ τῶν ὀδόντων τὸ σωματικὸν πάθος τοῦ γράμματος νόμου, καὶ τοῦ φυσικοῦ, λεπτύνεται εἰς ἀληθῆ νοήματα. Καὶ πρὸς βρῶσιν πνευματικὴν ἐπιτήδειον γίνεται. Δίκην κεκαθαρμένων ἀγελῶν πᾶσαν ἔννοιαν ψευδῆ περιῄρηνται. Περὶ μόνην συναγελαζόμεναι τὴν ἀλήθειαν. Αἳ καὶ ἀνέβησαν ὑψωθεῖσαι πρὸς τὰ πνευματικά, καὶ οὐράνια, ἐκ τῶν γηΐνων καὶ σαρκικῶν, τούτων, ὡς ἀπὸ λουτροῦ καθαρεύουσαι. Καὶ πᾶσαι διὰ τῶν εἰρημένων νόμων διδυμοτοκοῦσαι τοὺς λόγους, καὶ τοὺς τρόπους τῆς ἀρετῆς. Καὶ ἄκαρπος, καὶ ἀνωφελὴς ἔννοια οὐκ ἔστιν ἐν αὐταῖς :~

» Ὡς σπαρτίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου
» ὡραία.

Δηλονότι οἷα μὲν σπαρτίον μεμετρημένον. Οἷα δὲ κόκκινον, ἀληθῆ τὸν λόγον προφέρονται. Οὗ ἡ λαλιὰ πάντως ἡ πορφυρᾶ, διὰ ταῦτα ὡραΐσται:~

Ὡς λέπυρον ῥοᾶς μῆλόν σου, ἐκτὸς τῆς σιωπήσεώς σου. Δηλαδὴ οἷα λέπυρον ῥοᾶς, σύφουσαι εἰσὶν αἱ παρειαί σου, διὰ τὸ σύννουν τε, καὶ ἀδιάχυτον, καὶ ὅτε μὴ σιωπᾷς. Εἰ γὰρ καὶ ταῖς ὁμιλίαις εἰώθασι πολλάκις τὸ χαίρειν ἐπιδείκνυσθαι. Ἀλλὰ σὺ διὰ τὸ καὶ ἐν ταύταις συνεσταλμένον, τὸ διακεχυμένον κολάζεις :~

Ὡς πύργος γὰρ ὁ τράχηλός σου ὁ ᾠκοδομημένος εἰς Θαλφειώθ. Χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν. Πᾶσαι βολίδες τῶν δυνατῶν :~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Τὸ δὲ Θαλφειώθ. Ὁ μὲν Ἀκύλας, ἐπάλξεις ὠνόμασεν. Ὁ δὲ Σύμμαχος ὕψη. Καθάπερ τοίνυν φησίν, ὁ ὑπὸ τοῦ Γολιάθ οἰκοδομηθεὶς πύργος. Ὑπερέχει γὰρ ἐπάλξεις ἐφ' ὧν ᾠκοδόμηται. Καὶ ὑψηλός ἐστι καὶ περιφανής, οὕτως ὁ σὸς τράχηλος ὑψηλός ἐστι, καὶ μετέωρος. Τὰ ἄνω περισκοπῶν. Τὰ ἄνω περιπολῶν. Οὐ γὰρ κέκλικεν εἰς γῆν τοῖς ἀλόγοις παραπλησίως. Οὐδὲ εἰς γαστέρα νένευκε τοῖς χοίροις μιμούμενος. Ἀλλὰ καὶ μετάρσιός ἐστι καὶ μετέωρος. Καὶ χιλίους θυρεοὺς φέρων. Καὶ πάσας τῶν δυνατῶν τὰς βολίδας. Ὁ δὲ ἀριθμός, οὐκ ἐπὶ ῥητῆς ποσότητος, ἀλλ' ἐπὶ πλήθους τέθεικται. Ἔχει γὰρ ὁ τράχηλός σου ὁ τὴν κεφαλήν σου φέρων, καὶ τὸ στόμα καὶ πάσας τὰς τῶν ἄλλων διδασκαλίας. Τροπικῶς βολίδας ὀνομαζομένας. Αἷς τοὺς ἐναντίους ἅπαντας καταγωνίζῃ. Ἔχει καὶ θυρεοὺς πολλούς, οἷς περιφράττῃ, καὶ τὰ πεπυρωμένα τοῦ πονηροῦ, σβεννύεις βέλη. Περίκεισαι γὰρ τὴν πανοπλίαν τοῦ πνεύματος. Καὶ ῥᾳδίως τιτρώσκεις τοὺς ἀντιδιατιθεμένους, πάσας τῶν δυνατῶν τὰς βολίδας ἔχουσα. Καὶ νῦν μὲν αὐτοὺς διὰ προφητῶν. Νῦν δέ, διὰ τῶν Ἀποστολικῶν ἐλέγχουσα. Καὶ γυμνοῦσα αὐτῶν τὴν ἀσθένειαν:~

Τοῦ Ψελλοῦ:-

» Ὡς πύργος Δαβὶδ τράχηλός σου.

Καὶ ταῦτα γυναικοπρεπῶς, προσομιλεῖ τῇ νύμφῃ.
Θέλων γὰρ ταύτης ἐπαινεῖν τὸν τράχηλον ἐξόχως.
Πύργον παρείκασεν αὐτὸν ὑψηλότατον πάνυ.
Τὸν δομηθέντα πρότερον παρὰ Δαβὶδ τοῦ θείου.

Ἐν θαλφειὼθ πρὸς τήρησιν ἁπάντων τῶν ἀρμάτων.
Τῶν τροπουμένων παρ᾽ αὐτοῦ πολέμων ἀλλοφύλων.
Σὺ δέ μοι τράχηλον αὐτῆς τῆς θείας Ἐκκλησίας.
Τὸν μέγαν Παῦλον γίνωσκε δέσποτα στεφηφόρε.
Τὸν τὸν Χριστὸν βαστάσαντα τὴν κεφαλὴν τῶν ὅλων.
Καὶ κατ᾽ ἐκεῖνον εἴ τινας ἑτέρους διδαχθήσῃ.
Τούτων καὶ γὰρ ἐξήρτηνται τάξεις τῶν ἀσωμάτων.
Ἅσπερ ὁ λόγος θυρεοὺς ἐκάλεσε χιλίους.
Μὴ μέντοι λόγον ἀπαιτεῖς δέσποτα τῶν χιλίων.
Ἔθος γὰρ ἐστὶ τῇ γραφῇ τοῦτο πολλάκις λέγειν.
Ὥσπερ φησὶν ὁ νόμος σου τοῦ στόματος τυγχάνει.
Ὑπὲρ ἀργυρίου καὶ χρυσοῦ δέσποτα χιλιάδας.
Καὶ χιλιάδας ἀλλαχοῦ τῶν εὐθυμούντων λέγει :-

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

ὩΣ πύργος Δαβὶδ τράχηλός σου ὁ ᾠκοδομημένος ἐν θαλφειώθ. Ἤτοι οἷα πύργος Δαβὶδ ὁ τοῦ πρακτικωτάτου καὶ θεωρητικωτάτου νοός σου ἐνδιάθετος λόγος. Ταῖς θείαις ἐντολαῖς ᾠκοδόμηται μὲν κατ᾽ ἀρετὴν οἷα ἐπάνω ἐπάλξεων τῶν τοῦ ἀντικειμένου πειρατηρίων. Αἴρεται δὲ κατὰ γνῶσιν εἰς ὕψη πνευματικῆς θεωρίας. Καὶ γὰρ ὁ μὲν Δαβίδ. Ἱκανὸς χειρὶ καὶ ἰσχυρὸς ὁράσει ἑρμηνεύεται. Ὁ δὲ τράχηλος. Τὸ λογικόν ἐστιν ὡς προδεδήλωται. Τὸ δὲ ᾠκοδομημένος εἰς θαλφειώθ, ὁ μὲν ἀκύλας ἑρμήνευκεν ἐπάνω ἐπάλξεων. Ὁ δὲ σύμμαχος, εἰς ὕψος. Ὅθεν καὶ ἐδήλωσε διὰ τῶν εἰρημένων, ὅτι τὸ λογικὸν τῆς νύμφης ὑπερανέστηκε μὲν κατὰ πρᾶξιν τῶν ἐπιβουλῶν τοῦ ἀντικειμένου. Ἤρθη δὲ κατὰ θεωρίαν εἰς ὕψος ἀληθοῦς γνώσεως. Διὸ καὶ φησίν :-

» Χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν.

Ἤγουν αἱ δεκαπλασιάζουσαι τὰς δέκα θείας ἐντολὰς τούτων ἐνέργειαι. Καὶ δεκαπλασιαζόμεναι πάλιν κατὰ τὸν φυσικὸν νόμον ὡς δεκαδικόν. Καὶ οὕτω πληροῦσι τὸν χιλιοστὸν ἀριθμὸν οἷά τινες θυρεοί, πρὸς τὸ φυλάττειν σε ἀπὸ τῶν τοῦ ἐχθροῦ βελῶν ἄτρωτον. Ἀπῃώρηνται ὡς τραχήλου τοῦ σοῦ λογικοῦ. Ἐν τούτῳ γὰρ ἡ νύμφη ζητεῖ τὸ ἀγαθὸν τοῦ θεοῦ θέλημα. Καὶ πείθει τὸ μὲν ἐπιθυμητικόν, ποθεῖν τοῦτο. Τὸ δὲ θυμικὸν ὑπεραγωνίζεσθαι αὐτοῦ, καὶ διὰ τοῦ αὐτοῦ λογικοῦ κέχρηται, ταῖς μὲν αἰσθήσεσι, πρὸς τὴν τοῦ ἀγαθοῦ διάκρισιν, καὶ τῷ φωνητικῷ, πρὸς τὴν τούτου ἔκφρασιν. Καὶ τῇ γονιμότητι, πρὸς αὔξησιν αὐτοῦ. Καὶ διὰ τούτων τῶν δέκα δυνάμεων, τοῦ τε λογικοῦ φημί, καὶ τοῦ ἐπιθυμητικοῦ, καὶ τοῦ θυμικοῦ, καὶ τῶν πέντε αἰσθήσεων. Καὶ τῆς φωνητικῆς ἐνεργείας, καὶ τῆς φυσικῆς γονιμότητος ὁ φυσικὸς νόμος συνίσταται. Καὶ ὑπὸ τῶν δέκα θείων ἐντολῶν πρὸς ἐνέργειαν τοῦ ἀγαθοῦ βοηθεῖται. Ὡς τοῦτο ὑποτεθειμένων ἀνωτέρω. Καὶ ταύτας μὲν τὰς τῷ γραπτῷ νόμῳ περιειλημμένας δέκα ἐντολὰς δεκαπλασιάζων ὁ φυσικὸς νόμος κατὰ τὰς τούτων ἐνεργείας, ποιεῖ τὴν ἑκατοντάδα. Τὰς δ᾽ ἐνεργείας πάλιν διπλασιάζων κατὰ τὰς ὑφεστώσας αὐτὸν δέκα δυνάμεις, τὴν χιλιάδα πληροῖ. Καὶ οὕτως οἱ ὡς εἴρηται κρεμάμενοι χίλιοι θυρεοί. Δηλοῦσι τόν τε γραπτόν, καὶ τὸν φυσικὸν νόμον. Ἀλλήλοις συμπρέποντας ἐν τῷ ἀπαιωρεῖσθαι τοῦ λογικοῦ τῆς νύμφης οἷα τραχήλου αὐτῆς. Καὶ τὴν ταύτης ποιεῖσθαι φυλακὴν ἀπὸ πάντων τῶν ἐπιβουλευόντων αὐτῇ. Οὐ μόνον δὲ θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν φησιν. Ἀλλὰ καὶ πᾶσαι βολίδες

τὴν δυνατήν. Αἵπερ εἰσὶν αἱ παρὰ τῶν ἁγίων, καὶ οὐρανίων δυνάμεων τῇ νύμφῃ κατὰ θεωρίαν ὑποτιθέμεναι διδασκαλίαι. Καὶ κατὰ τῶν πνευμάτων τῆς πονηρίας ὥσπερ βολίδες βαλλόμεναι πρὸς ἀναίρεσιν τῶν κατ' αὐτῆς αὐτῶν μηχανῶν. Ὡς δὲ ταῖς κατὰ λόγον ζητήσεσι διδασκομένης αὐτῆς παρὰ τῶν ἁγίων. Τὰ δέοντα βάλλεσθαι κατὰ τῶν ἐπιβουλευόντων αὐτῇ, καὶ αἱ διδασκαλίαι αὗται, τοῦ ταύτης λογικοῦ ἀπηώρηνται :~

» Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος, οἱ νεμό-
» μενοι ἐν κρίνοις. Ἕως οὗ διαπνεύσει ἡ ἡμέρα, καὶ κινη-
» θῶσιν αἱ σκιαί.

Ἀκολούθως καὶ ταῦτα τοῖς εἰρημένοις νοοῦμεν. Καὶ ἴσμεν πάλιν μαστοὺς, τοὺς τῆς διδασκαλίας κρουνούς. Τοὺς προσφόρως ἑκάστῃ ἡλικίᾳ προσφερομένους. Καὶ τοῖς μὲν, γάλα προσφέρουσι. Τοῖς δὲ τὴν στερεὰν χορηγοῦσι τροφήν. Διὰ τοῦτο καὶ νεβροῖς αὐτοὺς ἀπεικάζει δορκάδος. Τὸ ὀξυδερκὲς αὐτῶν καὶ τὸ θεωρητικὸν θαυμάζων. Νεβροῦ δὲ λέγει, καὶ δορκάδος, ἐπειδὴ κατὰ τὸν μακάριον Παῦλον, ἄρτι γινώσκομεν ἐκ μέρους. Τότε δὲ ἐπιγνωσόμεθα, καθὼς καὶ ἐπεγνώσθημεν. Καὶ ἐπειδὴ νῦν ἐκ μέρους γινώσκομεν. Νεβροὶ δορκάδος οἱ τῆς διδασκαλίας προσαγορεύονται μαστοί. Ὅτου δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. Καὶ τούτους δέ φησιν ἐν κρίνοις νέμεσθαι. Τουτέστι πόας εὐώδεις μεταλαμβάνειν. Ἔστι δὲ αὕτη ἡ τοῦ πνεύματος διδασκαλία. Κατὰ δὲ τὸν σύμμαχον, ἄνθη νέμειν φησί. Τοὺς γὰρ ἀξιωθέντας ἄνθος γενέσθαι τοῦ πνεύματος. Οἱ τῆς νύμφης μαστοὶ νέμουσι, καὶ ποιμαίνουσι, τὰ τῆς διδασκαλίας αὐ-

τοῖς προσφέροντες νάματα. Ἕως διαπνεύσει ἡ ἡμέρα. Καὶ λήξει μὲν τὰ καύματα. Τουτέστιν, ὁ ἐπίπονος βίος. Κινηθῶσι δὲ αἱ σκιαὶ, τὰ παρόντα πράγματα ταῖς σκιαῖς ἀπεικασμένα, ὡς προείρηται. Οὕτως ἐπαινέσας τῆς νύμφης τὰ μέλη :~

» Πορεύσομαι φησὶν ἐμαυτῷ πρὸς ὄρος τῆς σμύρνης, καὶ
» πρὸς βουνὸν τοῦ λιβάνου.

Ἐπειδή φησιν οὕτω τυγχάνεις εὐπρεπής. Οὕτως ὡραία, οὕτω λάμπεις τῷ κάλλει. Οὕτως ἐτρώθης τῷ περὶ ἐμὲ φίλτρῳ, καταδέχομαι τὸν ὑπὲρ σοῦ θάνατον. Καὶ πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης. Ἀλλὰ πάλιν ἀναστήσομαι, καὶ ἐπανήξω, πρὸς τὸν βουνὸν τοῦ λιβάνου. Καὶ ἤδη δὲ προειρήκαμεν, ὡς μὲν διὰ τῆς σμύρνης, τὸν θάνατον παραδηλοῖ. Διὰ δὲ τοῦ λιβάνου, τὴν θείαν φύσιν. Ζητητέον τοίνυν, τίνος μὲν ἕνεκεν ὄρος μὲν ἐπὶ θανάτου τέθεικεν. Ἐπὶ δὲ τῆς θεότητος, βουνόν; Ὅτι μέγα καὶ ἄρρητον καὶ διανοίας ἐστὶν ἀνθρώπων ἀνέφικτον. Τὸ τὸν ἐν μορφῇ θεοῦ ὑπάρχοντα. Μὴ ἁρπαγμὸν ἡγησάμενον τὸ εἶναι ἴσα θεῷ. Ἀλλ' ἑαυτὸν κενώσαντα μορφὴν δούλου λαβεῖν. Καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. Καὶ σχήματι εὑρεθέντα ὡς ἄνθρωπον. Ταπεινῶσαι ἑαυτὸν, μέχρι θανάτου. Θανάτου δὲ σταυροῦ. Καὶ δοξασθῆναι τῇ δόξῃ ᾗ εἶχε πρὸ τοῦ τὸν κόσμον γενέσθαι. Οὐκ ἦν μέγα οὐδὲ ἐπίπονον, ἀλλὰ καὶ λίαν ῥᾴδιον. Διὰ τοῦτο ὄρος μὲν τὴν σμύρναν φησί. Βουνὸν δὲ τοῦ λιβάνου. Δεικνὺς, ὅτι τὸ μὲν ἐστὶ εὐπετὲς αὐτῷ καὶ μάλα ῥᾴδιον. Ἐκεῖνο δὲ προσάντες διὰ τὸ ἀνθρώπειον. Διὸ καὶ παρ' αὐτὸ γενόμενος τὸ πάθος, φησὶν, νῦν ἡ ψυχή μου τετάρακται. Καὶ Πάτερ, εἰ δυνατὸν παρελθέτω

τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. Ἀλλὰ πάλιν ἐπάγει. Καὶ τί εἴπω; Πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἐλήλυθα, εἰς τὴν ὥραν ταύτην. Τοῦτο καὶ ἐνταῦθα παραδηλῶν φησί: Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου. Ἑκάτερον γὰρ ἑκὼν ποιῶν, οὐχ ὑπό τινος βιαζόμενος, ἢ ἀναγκαζόμενος. Ἀλλ' ὥς φησι, ἐξουσίαν γὰρ ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Οὐδεὶς γὰρ αἴρει αὐτὴν ἀπ' ἐμοῦ. Ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ, ἵνα πάλιν λάβω αὐτήν:~

» Δύο μαστοί σου. Ὡς νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμε-
» νοι ἐν τοῖς κρίνοις.

Τοῦ Ψελλοῦ:-

ΚΑὶ τοῦτο γυναικοπρεπῶς ἔξωθεν λελεγμένον.
Ἔσωθεν ἔχει φοβερὰν ἐξήγησιν καὶ χάριν.
Μαστοὺς γὰρ γίνωσκε διττοὺς τῆς θείας Ἐκκλησίας,
Αἷμα καὶ ὕδωρ τὸ σεπτὸν τοῦ λόγου καὶ σωτῆρος.
Δι' ὧν ἀρδεύονται ψυχαὶ πιστῶν τὴν σωτηρίαν:-

» Ἕως οὗ διαπνεύσει ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί, πο-
» ρεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς
» τὸν βουνὸν τοῦ λιβάνου.

ἘΝ τούτοις ὑπαινίττεται τὸ πάθος τοῦ σωτῆρος.
Σμύρνης γὰρ ὄρος γίνωσκε τὰ πάθη τοῦ σωτῆρος.
Βουνὸν λιβάνου πάλιν δὲ γνῶθι τὴν τούτου δόξαν.
Ἣν ἄνωθεν ἐδόξασε Πατὴρ αὐτὸν μόνον.
Τοῦτο γοῦν ὅλον πέφυκεν ὃ λέγει τῇ παρθένῳ.

Δεῦρ-

Δεῦρ' ἐμοὶ συσταυρωθῆναι, τὸ πάθος ἐπειγομένῳ.
Ἵνα μεγάλως σὺν ἐμοὶ πατρόθεν δοξασθήσῃ.
Αὐτομολεῖν γὰρ ἔγωγε βούλομαι πρὸς τὸ πάθος.
Ὅπως αὐγάσω τοῖς πιστοῖς ἡμέραν σωτηρίας.
Καὶ κινηθῶσιν αἱ σκιαὶ πᾶσαι τῆς ἀληθείας.
Πλὴν ἐμαυτῷ πορεύσομαι τουτέστιν ἑκουσίως.
Ταῦτα μὲν οὖν λελάληκεν, ὁ κάλλιστος νυμφίος.
Ἐπεὶ δὲ ταύτην ἔγνωκεν αὐτῷ συσταυρωθεῖσαν.
Καὶ πᾶσαν ἐκπληρώσασαν τὴν ἐντολὴν ἐκείνου.
Πάλιν ἐπῄνεσεν αὐτὴν φησὶ γὰρ οὕτως τάδε:-

» Ὅλη καλὴ εἶ ἡ πλησίον μου. Ὅλη καλή, καὶ μῶ-
» μος οὐκ ἔστιν ἐν σοί.

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

ΟἹ δύο δὲ μαστοί σου. Ὡς δύο νεβροὶ δίδυμοι δορκάδος. Δηλονότι ἡ ἠθικὴ καὶ φυσικὴ διδασκαλία σου. Δι' ὧν οἷα μαζῶν γάλα ποτίζεις τοὺς ἔτι κατὰ τὴν πίστιν νηπίους. Πρὸς τελειότητα τρέφουσα. Ἅμα ἐν σοῦ προΐασιν. Ὡς μήτε τὸ ἦθος ἐπιδεικνυμένης ἀλόγως. Μήτε τὸν λόγον ἤθους προσφερούσης χωρίς. Ὅθεν δορκάδι παρείκασται, ὡς κατὰ μὲν θεωρίαν, ὀξυδερκής. Κατὰ δὲ πρᾶξιν ὀξύδρομος. Νεβροῖς δέ φησιν, οἱ νεμόμενοι ἐν κρίνοις. Ἕως διαπνεύσει ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί. Ἤγουν αἱ τρεφόμεναι ἐν ταύταις πάσης μερίμνης βιωτικῆς ἀπηλλαγμέναι ψυχαί. Διδασκαλίαι δέ, ἥ ἠθική τε καὶ ἡ φυσική. Ὡς κατὰ μετάδοσιν ἐπιδοῦσαι εἰς αὔξησιν. Μέχρις ἂν ἐπιστῇ ἡ ὁλολαμπὴς κατὰ τὸ μέλλον ἡμέρα, καὶ τὰ σκιώδη πάντα παρέλθωσιν. Ἐ-

πεὶ δ' ἐλ-

πεὶ δ' ἐλθὼν ἐν σαρκὶ, οὕτω καλλίωσε ὁ σὸς νυμφίος ἀπέδειξα. Λοιπὸν πορεύσομαι ἐμαυτῷ πρὸς ὄρος τῆς σμύρνης, καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου. Ἤτοι πορεύσομαι ἑκουσίως πρὸς τὸ δίκην ὄρους σμύρνης ὕψος θανάτου, ὅπερ ἐστὶν ὁ σταυρός. Ὁ γὰρ ἑκούσιος διὰ σταυροῦ θάνατος, πολλῷ ὑπερφανέστη τοῦ ἀκουσίου καὶ φυσικοῦ, τοῦ καὶ τοῖς ἀλόγοις ζώοις κοινοῦ. Καὶ πάλιν πορεύσομαι εἰς ἑαυτόν. Ἀπερχόμενος πρὸς τὸν Πατέρα, παρ' οὗ ἐξῆλθον, καὶ εἰς τὸν κόσμον ἐλήλυθα. Οὐ ἐμφατικὸς ὁ βουνὸς τοῦ λιβάνου. Ὥστε ἡ αἰτία μείζονος τῶν ὁμοουσίων ἑαυτῷ. Ἐμοῦ τε τοῦ μονογενοῦς καὶ τοῦ παναγίου πνεύματος. Καὶ γὰρ ἐπείπερ νεκρώσεως μέν ἐστι σύμβολον ἡ σμύρνα. Θεότητος δὲ ὁ λίβανος, τὸ πορεύσομαι ἐμαυτῷ. Πρὸς μὲν τὸν διὰ σταυροῦ θάνατον δηλοῖ τὸ ἑκούσιον. Πρὸς δὲ τὸ τῆς θεότητος ὕψος. Τὸ εἰς ἑαυτὸν τὸν θεὸν λόγον ἐπανέρχεσθαι ἀπὸ τῶν καθ' ἡμᾶς ταπεινῶν. Ἐν τῷ πρὸς τὸν Πατέρα πορεύεσθαι. Οὔπω δὲ φησὶ πορεύσομαι. Ὅτι τὸ ἔργον τοῦ Πατρὸς ἐπὶ σοὶ τετελείωκα. Καὶ γὰρ ὅλη καλὴ εἶ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί:~

Δηλαδὴ νῷ καὶ ψυχῇ καὶ σαρκὶ ὑπάρχεις ὡραία. Καὶ σαρκὶ μὲν, ὡς τῶν κατ' ἐνέργειαν καθαρθεῖσα παντοίων παθῶν, καὶ τοῖς τρόποις κοσμηθεῖσα τῶν ἀρετῶν. Ψυχῇ δὲ, ὡς πάσης φαύλης ἀπαλλαγεῖσα ἐπιθυμίας, καὶ τοῖς λόγοις ὡραϊσθεῖσα τῶν ἐντολῶν. Νῷ δὲ, ὡς καὶ τῶν ψιλῶν ἐννοιῶν ἐλευθερωθεῖσα, καὶ λαμπρυνομένη ἐν ἁγίῳ πνεύματι τῇ κατὰ χάριν θεώσει. Καὶ διὰ τοῦτο ψόγος τὶς οὐκ ἔστιν ἐν σοὶ τῇ ἐγγύς μου γινομένῃ διὰ τελειότητα:~

ΘΕΟ-

ΘΕΟΔΩΡΗΤΟΥ:-

„ Ὅλη καλὴ εἶ πλησίον μου, ὅλη καλή. Καὶ μῶμος οὐκ
„ ἔστιν ἐν σοί.

Ἔοικε ταῦτα τοῖς τοῦ μακαρίου Παύλου ῥήμασι. Καὶ ἐκεῖνος περὶ τοῦ νυμφίου φησίν. Ἵνα παραστήσῃ ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν. Μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων. Ἀλλ' ἵνα ἢ ἁγία. Ἄμωμος δὲ γέγονε καὶ καλὴ ἡ πλησίον τοῦ νυμφίου γενομένη, καὶ τὰς ἐκεῖθεν μαρμαρυγὰς δεξαμένη, καὶ φωτοειδὴς ἐκ τοῦ φωτὸς γενομένη. Γένοιτο δὲ ἡμᾶς ἀνακεκαλυμμένῳ προσώπῳ, τὴν δόξαν κυρίου κατοπτριζομένους τὴν εἰκόνα μεταμορφοῦσθαι ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. μεθ' οὗ τῷ Πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας.

Ἀμήν:~

(ε)



ΛΟΓΟΣ



ΛΟΓΟΣ γ'.

Ψυχῆς γὰρ ἡμῖν δεῖ. Καὶ εὐχῆς ἐπιμελοῦς καὶ σπουδαίας. Ἵνα οἱ ἡμέτεροι ὀφθαλμοὶ γίνωνται περιστεραί, πνευματικῶς ὁρῶντες, καὶ ὑπερβαίνοντες τὸ τοῦ γράμματος κάλυμμα. Καὶ διαρθροῦντες ἐναργῶς τὰ κεκρυμμένα μυστήρια. Οὔτε γὰρ δυνατὸν ἑτέρως τῆς θείας γραφῆς καταμαθεῖν τὴν διάνοιαν. Διαφερόντως δὲ τοῦ ᾄσματος τῶν ᾀσμάτων. Εἰ μὴ αὐτὸς ὁ τοῖς συγγραφεῦσιν ἐκείνοις ἐμπνεύσας τὸ ὀπτικὸν ἡμῶν φωτίσει, χάριτος ἀκτῖνας πέμψας, καὶ τὸν κεκρυμμένον ὑποδείξειεν νοῦν. Φέρε τοίνυν τὸν ἀποκαλύπτοντα μυστήρια κατὰ τὸν σοφὸν Δανιήλ. Ἐπικαλεσάμενοι βοηθὸν, τῆς ἑρμηνείας ἁψώμεθα, τοῦ συγγράμματος τὴν ἀκολουθίαν φυλάττοντες. Ἐν μὲν οὖν τῷ τέλει τοῦ περὶ τούτου συγγράμματος, ἠκούσαμεν τοῦ νυμφίου τῆς νύμφης τὸ κάλλος θαυμάζοντος. Καὶ ἑκάστῳ μορίῳ εὐφημίαν προσάγοντος. Καὶ μετὰ ταῦτα ὅλην αὐτὴν ὡς ἄμωμον ἐγκωμιάζοντος. Οὐ γὰρ ἔχει σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων κατὰ τὸν μακάριον Παῦλον. Τῶν ἐν ἀρετῇ τελειωμένων ψυχῶν ὁ χορός.

Ἐνταῦθα, καλεῖ αὐτὴν ἀπὸ τοῦ λιβάνου νύμφην προσαγορεύων, καὶ τί φησιν:

„ Δεῦ-

„ Δεῦρο ἀπὸ λιβάνου νύμφη. Δεῦρο ἀπὸ τοῦ λιβάνου
„ ἐλεύσῃ, καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως. Ἀπὸ κεφα-
„ λῆς σανὴρ καὶ ἀερμών. Ἀπὸ μανδρῶν λεόντων, ἀπὸ
„ ὀρέων παρδαλέων.

Ἐοικέναι δὲ ταῦτα μοι δοκεῖ τοῖς ἐν τῷ μδ'. Ψαλμῷ, πρὸς τὴν νύμφην εἰρημένοις. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου. Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ Πατρός σου. Καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι κύριός σου. Καὶ γὰρ ἐκεῖ παραίνεσιν αὐτῇ, καὶ συμβουλὴν, ὁ λόγος προσφέρει. Ἐπιλαθέσθαι τε τοῦ λαοῦ αὐτῆς, καὶ τοῦ οἴκου τοῦ Πατρὸς αὐτῆς παρακελεύεται. Ὡς οὐκ ἂν ἑτέρως τοῦ Βασιλέως τοῦ κάλλους αὐτῆς ἐπιθυμήσοντος, εἰ μὴ τοῦτο γένοιτο. Λαὸν δὲ αὐτῆς καὶ οἶκον Πατρὸς, τὰ παλαιὰ ἔθη καλεῖ. Περὶ ὧν ὁ μακάριος Παῦλος φησίν. Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι. Ἀπειθεῖς. Πλανώμενοι. Δουλεύοντες ἐπιθυμίαις, καὶ ἡδοναῖς ποικίλαις. Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες. Στυγητοί. Μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ Χρηστότης, καὶ ἡ φιλανθρωπία τοῦ σωτῆρος ἡμῶν θεοῦ ἐπεφάνη. Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν. Ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, καὶ τὰ ἑξῆς. Ἐν τούτῳ τῷ συγγράμματι ἀπὸ λιβάνου καλεῖ αὐτὴν καὶ ἀπὸ σανήρ. Διὰ μὲν τοῦ λιβάνου, τὴν εἰδωλολατρείαν σημαίνων. Διὰ δὲ τοῦ σανὴρ, ὃ ἑρμηνεύεται λύχνος ὁδοῦ, τὴν ἐν νόμῳ πολιτείαν. Λύχνος γὰρ ὁ νόμος ὁ ἐν νυκτὶ λάμπων. Ἥλιος δὲ ὁ Χριστὸς ὡς ἐν ἡμέρᾳ φαίνων. Διὸ καὶ ὁ θεὸς διὰ τοῦ

Προφήτου φησί. Τοῖς δὲ φοβουμένοις ἀνατελεῖ ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. προστίθησι δὲ καὶ τὸ ἀέρμων ὄρος, καὶ διὰ τί. Τὸν νόμον παραδηλῶν. Φησὶ γὰρ ἐν Ψαλμοῖς ὁ μέγας Δαβίδ. Ὡς δρόσος ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη σιών. Τουτέστι τὰ τοῦ νόμου διδάγματα. τοῖς ὄρεσι τῆς Σιὼν χορηγούμενα. Ὄρη δὲ νοητέον, τοὺς ἐν ἀρετῇ τελείους ὡς ὑψηλοὺς, καὶ ἐπισήμους. Καὶ κατὰ τὸ φρόνημα τὸ θεῖον ὑπερανεστηκότας. Καλεῖ τοιγαροῦν ὁ νυμφίος, τοὺς μὲν ἀπὸ λιβάνου. Ὡς εἰδώλοις προσεδρεύειν δεδιδαγμένους. Τοὺς δὲ ἀπὸ σανὴρ καὶ ἀέρμων ὡς τοῦ νόμου τὴν δρόσον δεχομένους. Καὶ ὑπὸ τῶν θείων ἐντολῶν φωτιζομένους. Τούτοις ἐπάγει:~

ἈΠὸ μανδρῶν λεόντων ἀπὸ ὀρέων παρδαλέων. Μάνδρας μὲν λεόντων. Τοὺς θρασυκωτάτους καὶ μανικωτάτους Ἰουδαίους προσαγορεύων. Παρδάλεις δὲ, τοὺς τῶν ἑλλήνων σοφούς. Οἳ τῇ ποικιλίᾳ τῶν λόγων τῇ τεχνολογίᾳ τῶν σοφισμάτων τὴν ψευδολογίαν συγκαλύπτοντες. Πιθανὴν τοῖς ἀνοήτοις ἀπέφαινον. Οὕτω καλέσας τὴν νύμφην, καὶ συναγαγὼν αὐτὴν ἀπὸ τῶν διαφόρων ὀρῶν. Καὶ διὰ τῆς πίστεως αὐτῇ τὴν σωτηρίαν πραγματευσάμενος. Καὶ τὸ ἐντεῦθεν αὐτῇ γενόμενον θεασάμενος κάλλος. Φησὶ πρὸς αὐτήν:~

„ Ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη. Ἐκαρδίωσας
„ ἡμᾶς ἐνὶ ἀπὸ τῶν ὀφθαλμῶν σου. ἐν μιᾷ ἐνθέματι τρα-
„ χήλου σου.

ΤΟ δὲ ἐκαρδίωσας ἡμᾶς, ὁ σύμμαχος, ἐθάρσυνας ἔφη. ΤΟ δὲ λέγει τοιοῦτόν ἐστιν. Οἱ μὲν δύο ὀφθαλμοί σου θαυμαστοὶ καὶ πνευματικοί. Καὶ περιστεραὶ εἰκότως προσαγορευόμενοι. Θάτερος δὲ αὐτῶν ὑπὲρ ἐκπλήττει με ὁ τὰ θεῖα κατοπτεύων. Ὁ θεολογεῖν δεδιδαγμένος. Ὁ τὰ κεκρυμμένα ὁρῶν μυστήρια. Καὶ θαυμάζομεν πάντας τοὺς κόσμους τοῦ τραχήλου σου. Τὴν πρακτικὴν ἀρετὴν διὰ τούτων αἰνίττεται. Ἐπειδὴ ὁ τράχηλος φέρων τῶν θείων ἐντολῶν τὸν ζυγὸν, ἕλκει καὶ διατέμνει τῆς δικαιοσύνης τὰς αὔλακας. Ἐπαινῶ μὲν οὖν καὶ τοὺς ἄλλους τῆς ἀρετῆς κόσμους ἐν τῷ τραχήλῳ σου λάμποντας. Ὑπεράγαμαι δὲ καὶ θαυμάζω τὸν ἕνα καὶ ἐκπλαγεὶς τὸ κάλλος. Τοῦ τε ἑνὸς ὁρμίσκου καὶ τοῦ τὰ θεῖα θεωροῦντος ὀφθαλμοῦ. Ἐτρώθην σου τῷ ἔρωτι. Ζητήσωμεν δὲ τίς ἄρα ὁ εἷς ἐκεῖνος κόσμος. Ὁ τῷ τραχήλῳ περικείμενος καὶ τοὺς ἄλλους ὑπερέχων. Καὶ μάθωμεν παρὰ τοῦ μακαρίου Παύλου, ὅτι μὲν εἰσὶ, πίστις. Ἐλπίς. Ἀγάπη. Τὰ τρία ταῦτα. Μείζων δὲ πάντων, ἡ ἀγάπη. Καὶ πάλιν. Πλήρωμα δὲ νόμου, ἡ ἀγάπη. Καὶ ἀλλαχοῦ ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Ἐν τῷ ἀγαπήσεις τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου. Καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Τοῦτον τοίνυν τὸν ὁρμίσκον τῆς νύμφης, ὁ νυμφίος θαυμάζει. Ὁρμίσκον γὰρ ἀντὶ ἐνθέματος. Ὁ σύμμαχος, τέθεικε. Θαυμάζει δὲ αὐτῆς καὶ τὸν ἕνα ὀφθαλμόν. Οὐ σκοπῶν τὸν ἕτερον. Ἀμφοτέροις γὰρ ἤδη, τὴν εὐφημίαν προσήνεγκεν. Ἀλλὰ τὴν τῶν νοητῶν θεωρίαν, θαυμαστοτέραν τῆς τῶν αἰσθητῶν κατανοήσεως ἐπιστάμενος. Τὸ δὲ ἐκαρδίωσας. Ἀντὶ τοῦ διήγειρας ἡμᾶς πρὸς ἔρωτά σου καὶ φίλτρόν σου. Τοιοῦτον ὀφθαλμὸν ἔχουσα, καὶ τοιοῦτον ὁρμίσκον περικειμένη:~

Τοῦ Ψελλοῦ:~

Εἶτα πρὸς μείζονα καλεῖ ταύτην ἀρθῆναι δόξαν.

„ Δεῦρο

„ Δεῦρο ἀπὸ λιβάνου νύμφη. Δεῦρο ἀπὸ λιβάνου ἀ-
„ νελεύσῃ.

Ἐπεὶ φησὶν ἐλήλυθας εἰς τὸ τῆς σμύρνης ὄρος.
Καὶ σὺν ἀνέβης μοι βουνὸν αὐτὸν τὸν τοῦ λιβάνου.
Πρὸς ὑψηλότερα ἤγουν τὰ τῆς προκοπῆς χωρία.
Καὶ μὴ παυθήσῃ πώποτε συναναβαίνουσά μοι.
Καὶ φεύγουσα παρδάλεων μάνδρας καὶ τῶν λεόντων.
Ἐπεὶ δ' ὁ λόγος γέγονεν, ἔργον ἐκ τῶν πραγμάτων.
Καὶ συνυψώθη τῷ Χριστῷ τῷ καθαρῷ νυμφίῳ.
Οἱ φίλοι κατεπλάγησαν τὴν προκοπὴν τῆς νύμφης.
Καὶ πρὸς αὐτὴν ᾀσματικῶς ἐξεῖπον τὴν παρθένον:-

„ Ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη.

Ἐδίδαξας ἡμᾶς φησὶ περὶ θεοῦ τί πλέον.
Ὁρῶντας σου τὸν ὀφθαλμὸν τὸν τῆς ψυχῆς ὦ νύμφη.
Θερμῶς ἐνατενίζοντα τῷ λόγῳ καὶ νυμφίῳ.
Καὶ τῆς ψυχῆς τὸν τράχηλον τῆς σῆς ὑποκλιθέντα.
Καὶ τοῦ Χριστοῦ τὸν ἐλαφρὸν ζυγὸν ἀναλαβόντα.
Ὡς ὄντως ἐκαρδίωσας ἡμᾶς φησὶν ἡ νύμφη.
Ὡς ἀπὸ σοῦ γὰρ ἔγνωμεν τὴν σάρκωσιν τοῦ λόγου.
Οὕτω μὲν οὖν ἐπῄνεσαν οἱ φίλοι τὴν παρθένον:-

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Ἐπὰν δὲ οὕτως ὅλη ὑπάρχεις καλή. Δεῦρο ἀπὸ λιβάνου νύμφη, δεῦρο ἀπὸ λιβάνου. Ἤγουν πρόσμε τὸν ἀπερίγραπτον, ἀεὶ ποιοῦ τὴν πορείαν ἀπὸ πίστεως. Ἥτις θεῷ

προσ-

προσφέρεται οἷα λίβανος. Δι' ἐλπίδος εἰς τὴν ἀγάπην προκόπτουσα, δι' ἣν ἐγὼ γίνομαι ἄνθρωπος, καὶ σὺ γίνῃ θεός. Καὶ γὰρ ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως. Ἀπὸ κεφαλῆς σανὴρ καὶ ἀερμών, καὶ ἐλεύσῃ μὲν πρόσμε τῇ ὅλῃ ἀγάπῃ. Διελεύσῃ δὲ ἀκατασχέτῳ τῷ φρονήματι, τὴν κάμινον τῶν ἐν σαρκὶ, καὶ κόσμῳ παντοίων πειρατηρίων τῇ ἐλπίδι συνεζευγμένη. Οὕτω δὲ ἐλεύσῃ. Ἐπειδήπερ ἀπὸ πίστεως τὴν πρόσμε πορείαν ἤρξω ποιεῖσθαι. Καὶ οὐκ ἐξ ἀπιστίας κατὰ τὸν πρωτόπλαστον, δελεασθέντα ἐλπίδι θεότητος. Ἥτις πίστις οἷα κεφαλὴ, ἀρχή ἐστι τῆς τε κατ' ἀρετὴν πεφωτισμένης ὁδοῦ. Ὅπερ τὸ σανὴρ παριστᾷ, ὁδὸς λύχνου ἑρμηνευόμενον. Καὶ τῆς δι' ἐλπίδος, ἀναψυχῆς τοῦ βάρους ἐκ τοῦ καύσωνος, καὶ τῶν ἀκουσίων πόνων ἐπαγωγῆς. Ὅπερ δηλοῖ τὸ ἀερμών, δρόσος ἑρμηνευόμενον:-

Καὶ οὕτω φυλαχθήσῃ ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων. Ἤτοι ἀπὸ τῆς δίκην μάνδρας ἑνωτικῆς κατὰ σοῦ ὁμονοίας, τῶν διὰ τὴν κατ' ἔλλειψιν τῆς ἀρετῆς σαρκικῶν ἢ δυσπαθειῶν. Τυραννικῶς, οἷα λεόντων ποιουμένων κατὰ σοῦ τὰς ὁρμάς. Καὶ ἀπὸ τῶν καθ' ὑπερβολὴν τῆς ἀρετῆς παθῶν, ἀφ' ὕψους τὰς ἐφόδους κατὰ σοῦ ποιουμένων δολίως. Ὅπερ τὸ ποικίλον τῶν παρδάλεων παριστᾷ:-

Ἐλεύσῃ δὲ καὶ διελεύσῃ καὶ φυλαχθήσῃ ὡς εἴρηται. Ἐπειδήπερ ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη, δηλονότι εἰς πόθον σου ἤγαγες τὰς τρεῖς ὑποστάσεις, τῆς μιᾶς θεότητος. Ὡς ταύτῃ εὐαρεστήσασα νῷ καὶ λόγῳ καὶ πνεύματι. Ἣ διὰ μὲν τὴν κατὰ σάρκα ὁμοφυΐαν ἀδελφή μου. Διὰ δὲ τὸ ἐκ προαιρέσεως κολληθῆναί μοι δι' ἀγάπης. Καὶ ἓν πνεῦμα γενέσθαι, νυμφευθεῖσά μοι τῷ ἑνὶ τῶν εἰρημένων τριῶν ὑποστάσεων.

στάσεων. Δηλαδὴ τοῦ μονογενοῦς τοῦ Πατρὸς υἱοῦ. Καὶ γὰρ ὁπόταν ἡ ἁγία γραφὴ τῷ πληθυντικῷ περὶ θεοῦ κέχρηται λόγῳ. Τὴν δήλωσιν ποιεῖται τῶν παναγίων τριῶν ὑποστάσεων. Μυστικῶς τὸν τρόπον τῆς ὑπάρξεως. Τῆς παναγίας καὶ ἀνάρχου μονάδος, σημαίνουσαι. Ὅτι μονὰς ἐν τριάδι καὶ ἐν μονάδι τριάς ἐστιν ὁ θεός. Καὶ αὖθις. Ἐκαρδίωσας ἡμᾶς. Ἤτοι καὶ πάλιν εἰς πόθον σου ἤγαγες. Τὸ μὲν, ἐν ἑνὶ ἀπὸ ὀφθαλμῶν σου. Τῷ ἀντιλαμβανομένῳ πάντως τῶν γνωστῶν, τὴν ἀλήθειαν. Τὸ δὲ ἐν ἑνὶ ἐν θέματι τραχήλου σου. Ὅπερ ὡς τέλος πάντως τῶν πρακτικῶν, εἰμὶ τὸ ἀγαθόν. Τῷ λογικῷ σου ὡς πρακτικῷ οἷα τις κόσμος περιδέραιος ἐντιθέντων, κατὰ πρᾶξιν πειραθέντι μου τῆς χρηστότητος. Καὶ γὰρ αὐτός ἐστιν ἡ ἀλήθεια καὶ τὸ ἀγαθόν. Τὸ μὲν, ὅταν ἐκ τῆς οὐσίας ὡς ἄτρεπτος. Τὸ δ᾽ ὅταν ἐκ τῆς ἐνεργείας ὡς εὐεργετικὸς δοκῇ σημαίνεσθαι:~

» Τί ἐκαλλιώθησαν μαστοί σου ἀδελφή μου νύμφη. Τί
» ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου καὶ ὀσμὴ ἱματίων
» σου, ὑπὲρ πάντα τὰ ἀρώματα.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἀπὸ γὰρ τοῦ πνευματικοῦ οἴνου καὶ τοῦ μυστικοῦ πόματος πλείονα εὐμορφίαν οἱ μαστοί σου προσεκτήσαντο. Μαστοὺς δὲ σοῦ τῆς διδασκαλίας προείπομεν ἤδη εἶναι κρείττους. Καὶ ἡ ὀσμὴ δὲ τῶν ἱματίων σου, πάσης εὐκοσμίας τυγχάνει μεστή. Καὶ τῶν ἀρωμάτων ἁπάντων εὐωδεστέρα καθέστηκεν. Ἐμὲ γὰρ ἐνδέδυσαι τὸν νυμφίον. Καὶ μάρτυς Ἡσαΐας. Προαγορεύων καὶ λέγων. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. Ἐνέδυ-

Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου. Καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι. Ταῦτα σου τὰ ἱμάτια τοσαύτην εὐωδίαν ἀφίησιν, ὡς νικᾷν τὴν νομικὴν ἀρετήν. Ἀρώματα τροπικῶς προσηγορευμένην. Τὴν ἐκ τῶν σῶν ἱματίων πανταχοῦ διατρέχουσαν εὐκοσμίαν. Καλεῖ δὲ αὐτὴν οὐ μόνον νύμφην, ἀλλὰ καὶ ἀδελφήν. Ἐπειδὴ καὶ ὁ μακάριος Παῦλος φησὶν, εἰς τὸ, εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς:~

Καὶ αὐτὸς ὁ κύριος ἀναστὰς ταῖς περὶ τὸ μνημεῖον ἑστώσαις γυναιξί. Πορευθεῖσαι φησὶν, εἴπατε τοῖς ἀδελφοῖς μου καὶ τῷ Πέτρῳ, ἰδοὺ προάγω ὑμᾶς εἰς τὴν γαλιλαίαν. Καὶ ἀδελφὴ τοίνυν ἐστὶν αὐτῷ καὶ νύμφη καὶ πλησίον. Πλησίον μὲν, κατὰ τὸ, ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. Νύμφη δὲ, ὡς παρ᾽ αὐτοῦ τὰ τῆς διδασκαλίας σπέρματα δεχομένη, καὶ τίκτουσα τὸν τῆς εὐσεβείας καρπόν. Ἀδελφὴ δὲ, ὡς τὴν αὐτὴν αὐτῷ φύσιν, περικειμένη κατὰ τὸ ἀνθρώπινον. Ἐπιμένει τοίνυν αὐτῆς διεξιὼν τὸ ἐγκώμιον καὶ φησὶν:~.

» Κηρίον ἀποστάζει χείλη σου νύμφη. Μέλι καὶ γάλα
» ὑπὸ τὴν γλῶσσάν σου. Καὶ ὀσμὴ ἱματίων σου, ὡς
» ὀσμὴ λιβάνου.

Ἀναγκαῖον τούτοις προσθεῖναι τὴν Ἀποστολικὴν διδασκαλίαν τὴν λέγουσαν. Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι καὶ μέλη ἔχει πολλά. Πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα. Οὕτως καὶ ὁ Χριστός. Καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἓν ἡμεῖς οἱ πάντες. Εἰς ἓν σῶμα ἐβαπτίσθημεν. Εἴτε Ἰουδαῖοι, εἴτε ἕλληνες. Εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. Καὶ πάντες εἰς ἓν πνεῦμα ἐβαπτίσθημεν. Καὶ γὰρ τὸ σῶμα

σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. Καὶ μετ᾽ ὀλίγα. Εἰ ἦν φησι τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα. Καὶ πάλιν ὑμεῖς δὲ ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. Οὐκοῦν ἐκ πολλῶν μελῶν ἡ Ἐκκλησία συγκειμένη ἓν σῶμα πληροῖ. Νοήσωμεν τοίνυν τινὰς μὲν αὐτῆς εἶναι ὀφθαλμούς. Τινὰς δὲ ἀκοάς. Τινὰς δὲ χείλη. Διὸ καὶ ὁ νυμφίος φησὶν αὐτῇ:~

» Κηρίον ἀποστάζει χείλησου νύμφη. Μέλι καὶ γάλα
» ὑπὸ τὴν γλῶσσάν σου.

ΔΗλοῖ δὲ ἐνταῦθα τοὺς τῆς Ἐκκλησίας διδασκάλους τὴν εὐσεβῆ διδασκαλίαν προσφέροντας. Καὶ οἱονεὶ κηρίον μελισσῶν ἐν τοῖς χείλεσι φέροντας. Καὶ τὰς σταγόνας τοῦ μέλιτος ἀποστάζοντας. Ἔχονται δὲ οὐ μόνον μέλι, ἀλλὰ καὶ γάλα. Καὶ ἑκάστῳ τὴν πρόσφορον προσφέροντας τροφήν. Καὶ τοῖς νηπίοις τὴν ἁρμόττουσαν. Καὶ τοῖς τελείοις τὴν προσήκουσαν. Τὰ δὲ κηρία τοῦ μέλιτος τὰ ἐν τοῖς χείλεσι τῶν διδασκάλων φερόμενα, αἱ θεῖαι τυγχάνουσι γραφαί. Μελίττας ἔχουσι κηροπλαστούσας. Καὶ μελιτουργούσας, τοὺς ἱεροὺς Προφήτας καὶ Ἀποστόλους. Ἐκεῖνοι γὰρ τοὺς λειμῶνας τοῦ παναγίου περιϊπτάμενοι πνεύματος. Τὰ κηρία τῶν θείων ἡμῖν γραφῶν οἷον πηξάμενοι. Καὶ τοῦ μέλιτος τῆς διδασκαλίας ἐμπλήσαντες, εἰς ἡμᾶς τὴν ὠφέλειαν παρέπεμψαν:~

ΚΑὶ ἔοικε κηρῷ μὲν τὸ γράμμα. Μέλιτι δὲ, τὸ ἐν αὐτῷ κεκρυμμένον νόημα. Τούτου τοῦ μέλιτος τὰς σταγόνας ἀφίησι τῶν εὐσεβῶν διδασκάλων τὰ χείλη. Ὀρέγει δὲ τὸ γάλα ὑπὸ τῆς γλώττης αὐτῶν φερόμενον, τοῖς τοῦ Γάλακτος

δεομέ-

δεομένοις. Ἐπιμένει δὲ πάλιν θαυμάζων τῆς νύμφης τὰ ἱμάτια, καὶ φησίν:~

» Καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ τοῦ λιβάνου.

ΠΡοειρήκαμεν ὡς αὐτὸς αὐτῇ γέγονεν ἱμάτιον ὁ νυμφίος. Καὶ μάρτυς ὁ μακάριος Παῦλος, λέγων. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ὁ δὲ νυμφίος, καὶ θεός ἐστι προαιώνιος. Καὶ ἄνθρωπος ἐπ᾽ ἐσχάτων ἡμερῶν ἐκ τῆς ἁγίας παρθένου γεννηθείς. Καὶ μένων ὃ ἦν, προσέλαβε τὸ ἡμέτερον. Καὶ τὴν πάλαι γεγυμνωμένην ἠμφίασε νύμφην, διό φησι πρὸς αὐτήν:~

» Ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ τοῦ λιβάνου.

ΤΟν γὰρ Χριστὸν ἐνδέδυται, ὅς ἐστι θεὸς καὶ ἄνθρωπος. Θεολογίας δὲ σύμβολον ὁ λίβανος, ἐπειδὴ κατὰ τὸν παλαιὸν νόμον θεῷ προσεφέρετο:~

» Τί ἐκαλλιώθησαν μαστοί σου ἀδελφή μου νύμφη. Τί
» ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου.

Τοῦ Ψελλοῦ:-

ἘΝταῦθα πάλιν ἐπαινεῖ τῆς θείας Ἐκκλησίας,
Τὴν τῶν μαστῶν ἐπίδοσιν ἤτοι τῶν διδαγμάτων.
Αὐξήσασα τὰ τέκνα γὰρ, ὥσπερ γυνὴ φιλόπαις.
Τῶν ἐξ ἐθνῶν φημὶ λαὸν, καὶ τοῦτον καθορῶσα.
Πρὸς μέτρον φθάσαντα στερρὸν τῆς θείας ἡλικίας.
Καὶ μὴ ψελλίζοντα ποσῶς εἰς τὴν ἁγίαν πίστιν.
Οἷον ἀντὶ τοῦ Γάλακτος, προχέει καθ᾽ ἡμέραν.

Τουτέστιν ὑψηλότερα δόγματα τούτοις νέμει.
Τὸ πρὶν μὲν γὰρ ἐδίδασκε τούτους ὡς νεωτέρους.
Πατέρα σέβειν καὶ υἱὸν καὶ πνεῦμα θεὸν ἕνα.
Ὥσπερ ὡς Γάλα πέφυκε δῆθεν διδασκαλίας.
Νῦν δὲ διδάσκει σωφρονεῖν, φυλάττειν παρθενίαν.
Ἐγκράτειαν ἀσπάζεσθαι φιλεῖν δικαιοσύνην.
Ἅπερ ὡς οἶνος λέλεκται διδασκαλίας εἶναι.

„ Καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα.

ΕΝ δ' ἀπὸ σοῦ περιβολὴν τῶν ἱματίων φέρω.
Ἐκ τῶν προσαγομένων σοι φησὶ θυμιαμάτων.
Κρείττονα πάντα ἥγημαι τῶν ἀρωμάτων μόνην.

„ Κηρίον ἀποστάζουσι τὰ χείλη σου νύμφη.

ΕΝ γάρ φησι τοῖς τέκνοις σου νέμεις διδασκαλίαν
Ὑπὲρ κηρίον πέφυκε γλυκάζουσα καὶ μέλι:-

„ Μέλι καὶ Γάλα ὑπὸ τὴν γλῶσσαν σου.

ΟΥ γάρ φησι μονοειδὲς τὸν λόγον νέμεις πᾶσιν.
Ἀλλὰ κατάλληλον παντὶ καὶ πᾶσι κατ' ἀξίαν.
Τοὺς μὲν γὰρ γαλακτοτροφεῖς, τούς τε νηπιεστέρους.
Τοὺς δ' αὖγε μελιττοτροφεῖς. Τουτέστι τοὺς τελείους:-

„ Ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.

ΚΑν ὑπερτέραν ἄνωθεν πάντων τῶν ἀρωμάτων.
Τῶν ἱματίων τὴν ὀσμὴν, εἶπε τῆς Ἐκκλησίας.
Ἀλλ' ἴσης ἀπεφήνατο νῦν ἤδη τῷ λιβάνῳ.
Εἴγε ἁπάντων κρείττονα τῶν ἀρωμάτων οὕτως:-

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

„ Τί ἐκαλλιώθησαν μασοί σου ἀδελφή μου νύμφη.

ΗΤοι θαυμασίως τὸ θεῖον κάλλος περιεβάλλοντο. Τὸ, τὸ θεωρητικὸν καὶ πρακτικόν σου. Δι' ὧν ὥσπερ μαζῶν, οὐ παρὰ φύσιν, οὐδ' ὑπὲρ φύσιν. Ἀλλὰ φυσικῶς τρέφεις λόγοις, καὶ τρόποις πρὸς θεοσέβειαν, σοῦ· πρὸς ταῦτα οἷα νηπίους ἀναγομένας ψυχάς:~

ΤΙ ἐκαλλιώθησαν μασοί σου ἀπὸ οἴνου. Δηλονότι, ταῦτα οὕτω θαυμασίως ὡραΐσθησαν. Ἀπὸ τῆς δίκην οἴνου ἐξιστώσης αὐτοῦ. Κατά τε ἄληστον γνῶσιν τῆς ἀληθείας, καὶ βεβαίαν ἔνεργον πίστιν τοῦ ἀγαθοῦ, χάριτι θέσει θεώσεως. Ἐντεῦθεν δέ ἐστι, ἡ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Ἱμάτια δὲ τῆς νύμφης, ἅπερ ὁ μέγας Ἀπόστολος Παῦλος τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ ἁγίοις ἐνδύσασθαι ἐγκελεύεται. Ἡ χρηστότης ἐστὶ καὶ ἡ ταπεινοφροσύνη. Ἃ καὶ τῷ πρωτοπλάστῳ ἡ μὲν θεία ἐντολὴ περιεποιεῖτο, ἐργάζεσθαι τὸ ἀγαθὸν καὶ φυλάττειν. Τοῦτο διὰ ταπεινοφροσύνης πρέπουσα. Ἡ δὲ παράβασις ταύτην ἐξέδυσεν, ἐλπίδι θεότητος δελεάσασα. Καὶ καθ' ἑαυτῆς τὴν φύσιν ἐκθηλιώσασα. Ταύτην δὲ πάλιν, αὐτὸς ὁ θεὸς λόγος ἐνέδυσε, τῷ καθ' ἑαυτὸν ὑποδείγματι. Τρόπον γὰρ ταπεινοφροσύνης μὲν ὑπέδειξεν ἡμῖν. Ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχων. Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Χρηστότης δὲ, ὅτι ὑπὲρ τῆς σωτηρίας τῶν ὑπευθύνων ἡμῶν καὶ θάνατον ἀνευθύνως ἠνέσχετο. Ὅθεν καὶ ἡ ἐν τοῖς κατὰ γνώμην ταῦτα ἐνδυσαμένοις εὐωδία τύπων, ὡς ἐμφαντικῶν, τῆς ἀγαθότητος θεοῦ καὶ τῆς ἀρετῆς, κἀντεῦθεν

 θεωθέν-

θεωθέντων τῶν ἐν δεδυμένων αὐτῇ, ὑπὲρ πάντα ἐστὶ τὰ ἀρώματα. Οὐδὲν γὰρ παρισοῦται τῇ εὐωδίᾳ τῆς θεότητος. Ἡ νυμφευθεῖσα τῷ θεῷ, οὐ φύσει κέκτηται, ἀλλὰ χάριν περιβάλλεται. Καὶ τοιαύτην μὲν φησὶ τὰ ἱμάτιά σου εὐωδίαν ἐκπέμπουσι. Τὰ δὲ λοιπὰ τί:~

» Κηρίον ἀποστάζουσι χείλη σου νύμφη. Μέλι καὶ γάλα
» ὑπὸ τὴν γλῶσσάν σου.

Ἤτοι λόγον διδασκαλικὸν προφέρουσι τὰ χείλη σου. Κατεσκευασμένον ὥσπερ ὑπὸ μελίσσης κηρίον ἐν τῷ μὴ ἐπιδείκνυσθαι μονοειδῆ τοῖς ἀκούουσι τὴν ὠφέλειαν, ἀλλὰ κατ᾽ ἀλλήλως πρὸς τὰς τῶν δεχομένων ἁρμόττεσθαι δυνάμεις. Ὡς καὶ τοῖς τελειοτέροις, καὶ τοῖς νηπιωδεστέροις οἰκείως ἔχειν. Τῶν μὲν τὸν νοῦν τελειωτικῶς ὡς θειοτέροις. Ὡς μέλιτι γλυκαίνονται ῥήμασι. Τῶν δὲ τὴν διάνοιαν εἰσαγωγικῶν τοῖς φυσικοῖς ὡς γάλακτι τρέφονται. Αὗται οὖν αἱ διδασκαλίαι, ἥτε θειοτέρα καὶ ἡ ἀνθρωπικωτέρα ὑπὸ τὴν γλῶσσάν σου ὡς μὴ ἀκρίσεως ταύτας προσφερούσης, ἀλλὰ κατὰ καιρὸν τὸν ἁρμόδιον καὶ τὴν χρείαν ἑκάστου τῶν διδασκομένων:~

» Καὶ ὀσμὴ ἱματίων σου, ὡς ὀσμὴ λιβάνου.

Ἤτοι ἡ εὐωδία τῶν ἔργων σου, ὧν εἰ καὶ τὰς δυνάμεις φυσικῶς ἐπιφέρει. Ἀλλὰ σοῦ ἐνεργητικοὺς τρόπους κατὰ γνώμην ὡς ἱμάτια περιβάλλει τῇ εὐωδίᾳ τῆς περὶ πάντα τοῦ θεοῦ προνοίας παρείκασαι, κατὰ μίμησιν θεοῦ κηδομένης σου τῆς τῶν πολλῶν σωτηρίας. Ἰδιαζόντως γὰρ κατά τινα λόγον εἰς τὴν τοῦ θείου τιμὴν ὁ λίβανος ἀποτέτακται. Καὶ καθάπερ οὗτος ἐκ τῆς ἡδείας ὀσμῆς. Οὕτω καὶ τὸ θεῖον ἐκ τῆς

περὶ

περὶ τὰ πάντα προνοίας. Καὶ ἡ ἑκάστου διάθεσις ἐκ τῶν ἔργων γνωρίζεται. Μικρὸν δὲ ἄνωθεν εἰρηκὼς, ὅτι ἡ ὀσμὴ τῶν ἱματίων τῆς νύμφης ὑπὲρ πάντα ἐστὶ τὰ ἀρώματα. Καὶ τὸ, πῶς μὴ δηλώσας, ἐνταῦθα τοῦτο δηλοῖ, τῇ ὀσμῇ τοῦ λιβάνου παρεικάζων αὐτήν. Διὰ τούτου τὸν εἰς τιμὴν τοῦ θείου λαμβάνεσθαι. Καὶ ἐπεὶ τὸ θεῖον, ἀσυγκρίτως ὑπὲρ πάντα ἐστί. Καὶ τὰ κατὰ μίμησιν τῆς αὐτοῦ ἀγαθότητος ἔργα ἐστίν:~

» Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη. Κῆπος κε-
» κλεισμένος, πηγὴ ἐσφραγισμένη.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Καὶ καλεῖ μὲν αὐτὴν κῆπον. Ὡς οὐχ ἕνα καρπὸν εὐσεβείας καὶ ἀρετῆς, ἀλλὰ πολλοὺς καὶ ποικίλους τίκτουσαν. Κεκλεισμένον δὲ ὡς περιπεφραγμένον, καὶ ἀνεπιβούλευτον. Πύλαι γὰρ ᾅδου φησὶν, οὐ κατισχύσουσιν αὐτῆς. Οὐ γὰρ ἐστὶ κατ᾽ ἐκείνην τὴν ἐξ αἰγύπτου μετατεθεῖσαν, ἣν ἐτρύγησαν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Καὶ ἐλυμήνατο ὗς ἐκ δρυμοῦ. Καὶ μονιὸς ἄγριος κατενεμήσατο. Ἀλλὰ πέφρακται καὶ τετείχισται. Καὶ κήπῳ κεκλεισμένῳ παρέοικε. Πολλοὺς μὲν καὶ παντοδαποὺς ἔχοντι καρπούς. Τοὺς δὲ κλῶπας οὐ δεχομένῳ, ἀλλὰ φεύγοντι τῶν ἐπιβουλευόντων τὰς χεῖρας. Καὶ πηγὴ δὲ ἐστὶν ἐσφραγισμένη. Οὐ γὰρ πᾶσι πρόκειται. Ἀλλὰ μόνοις τοῖς ἀξίοις ταῦτα τὰ νάματα δίδοται. Περὶ ταύτης τῆς πηγῆς. Καὶ ἐν τοῖς Εὐαγγελίοις ὁ κύριος φησίν. Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. Ἀλλὰ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον. Εἰκότως τοίνυν αὐτὴν πηγὴν ἐσφρα-

γισμέ-

-γισμένην καλεῖν. Ὡς μὴ πᾶσιν, ἀλλὰ τοῖς ἀξίοις προκειμένην. Οὐ γὰρ τοῖς ἀμυήτοις, ἀλλὰ τοῖς μεμυημένοις πρόκειται τὰ θεῖα μυστήρια. Οὐ τοῖς ἐν ἀνομίαις μετὰ τὴν μύησιν καλινδουμένοις. Ἀλλὰ τοῖς ἀκριβείας ζῶσιν, ἢ διὰ μετανοίας καθαιρομένοις. Οὐ μόνον δέ φησι. Κῆπος κεκλεισ-
„ μένος καὶ πηγὴ ἐσφραγισμένη. Ἀλλὰ καὶ Ἀποστολαί σου
„ Παράδεισος. Ῥοῶν μετὰ καρποῦ ἀκροδρύων :~

„ Κύπροι μετὰ νάρδων. Νάρδος καὶ κρόκος. Κάλαμος
„ καὶ κινάμωμον μετὰ πάντων ξύλων τοῦ λιβάνου. Σμύρ-
„ να ἀλόη μετὰ πάντων πρώτων μύρων. Πηγὴ κήπων.
„ Φρέαρ ὕδατος ζῶντος. Καὶ ῥοιζοῦντος ἀπὸ λιβάνου.

ΤΑῦτα πάντα φησὶν ἀπέσταλκάς μοι, καὶ προσενήνοχάς μοι κατὰ τὸν τοῦ γάμου καιρόν. Καὶ πρῶτον μὲν, τὸν Παράδεισον τῶν ῥοῶν. Ὃς οὐκ ἦν ἄμοιρος, οὐδὲ τῶν ἄλλων ἀκροδρύων. Ῥοὰν δὲ ἡγοῦμαι τροπικῶς νομίζεσθαι τὴν ἀγάπην. Ἐπειδὴ ὑφ' ἑνὶ καλύμματι, μυρίοι κατὰ τ' αὐτὸν συγκείμενοι κόκκοι, καὶ ἀλλήλοις ἡνωμένοι. Ἀλλήλους οὐκ ἀποθλίβουσιν, οὐδὲ διαφθείρουσιν, ὑγιαίνοντες. Εἰ μή τις σηπεδὼν ἐν μέσῳ γένοιτο. Ἔστι δὲ καὶ ἐκ τῶν μέσων διαφραγμάτων, καὶ ἑτέραν εὑρεῖν θεωρίαν. Καὶ γὰρ καὶ ἐν τοῖς σωζομένοις πολλὰ ὁρῶμεν τάγματα. Ἄλλο γὰρ τάγμα παρθενευόντων, καὶ ἄλλο ἐγκρατευομένων. Καὶ ἄλλο τὸν τοῦ γάμου ζυγὸν ἐφελκόντων, καὶ τῶν πλούτῳ περιρρεομένων, καὶ ἄλλο τῶν πενίᾳ συζώντων. Ἄλλο δὲ ἄλλων τὴν εὐσέβειαν ἀγαπώντων. Καὶ ἄλλο δεσποτῶν ἐννόμως κυριευόντων. Ἔχει τοίνυν καὶ ἡ ῥοὰ, οἱονεί τινα διατειχίσματα κατὰ συμμορίας τινὰς τοὺς κόκκους διακεί-

-νοντα. Διὰ τοῦτο τὰς τῆς νύμφης Ἀποστολὰς, Παραδείσῳ ῥοῶν ἀπεικάζει. Πρῶτον γὰρ αὐτῆς θαυμάζει τὸν τῆς ἀγάπης καρπόν. Λέγει δὲ αὐτὴν καὶ τοῖς ἄλλοις τοῖς ἀρετῆς εἴδεσι κομᾶν :~

Μετὰ καρποῦ ἀκροδρύων. Εἶτα κατ' εἶδος ταῦτα διέξεισι :-

„ Κύπροι γὰρ μετὰ νάρδων.

ΚΥπρος δὲ, εἶδος δένδρου ἀφ' οὗ θερμὸν κατασκευάζεται ἔλαιον. Καὶ ἡ νάρδος δὲ ἄρωμα εὐῶδες, ἀφ' οὗ πάλιν ἔλαιον ὁμώνυμον γίνεται. Καὶ αὐτὸ θερμὸν, καὶ εἰς θεραπείαν σωμάτων ἐπιτήδειον. Ἀλλὰ καὶ κρόκον, λέγει τὸν Παράδεισον. Ἔχει χρεία γὰρ ἡμῖν οὐ μόνον τῶν θερμαινόντων ἡμᾶς καὶ πυρσευόντων ἐν ἡμῖν τὴν περὶ τὸν θεὸν ἀγάπην, ἀλλὰ καὶ τῶν διαψυχόντων τὰς ἀκολάστους ἐπιθυμίας. Τῶν διαψυχόντων γὰρ ὁ κρόκος. Καὶ κάλαμος φησὶν, καὶ κινάμωμον. Ἔστι δὲ καὶ ταῦτα, ἀρωμάτων μὲν εἴδη, τροπικῶς δὲ νοούμενα. Διὰ γὰρ τοῦ καλάμου, τὰ εὐσεβῆ σημαίνει συγγράμματα. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Εὐώδης δὲ ὁ ἀρωματικὸς κάλαμος. Καὶ γὰρ τῶν τῆς εὐσεβείας διδασκάλων ἡ γλῶττα, πάσης εὐοσμίας πεπλήρωται. Συνῆπται δὲ τῷ καλάμῳ τὸ κινάμωμον. Ὅπερ τῷ θεῷ κατὰ τὸν παλαιὸν προσεφέρετο νόμον. Ἵνα μάθωμεν, ὅτι τὰ περὶ θεοῦ συγγράμματα, ἐπαινετά τε ἐστὶ καὶ εὐώδη, καὶ τοῖς προειρημένοις ἡδύσμασιν, ἀπεικασμένα τούτοις ἐπιφέρει :~

„ Μετὰ

„ Μετὰ πάντων ξύλων τοῦ λιβάνου.

Ἔχει γάρ φησι καὶ τὴν ἐν νόμῳ πολιτευομένην ἀρετήν. Οὐ τὴν κατὰ τὸ γράμμα, ἀλλὰ τὴν κατὰ τὸ πνεῦμα. Διὰ γὰρ τοῦ λιβάνου. Τὴν Ἱερουσαλὴμ σημαίνεσθαι πολλάκις ἐδιδάχθη. Ἔχει δὲ καὶ σμύρναν, καὶ ἀλόην μετὰ πάντων τῶν πρώτων μύρων. Τουτέστι τὴν νέκρωσιν τῶν παθῶν. Νεκρῶν γὰρ ἴδιον ἡ σμύρνη. Καὶ τὸ πικρὸν τῶν πειρασμῶν. Πικρὰ γὰρ ἡ ἀλόη. Καὶ ἁπαξαπλῶς πάντα τὰ πρῶτα ἔχει τῶν μύρων. Οὐ τὰ δεύτερα οὐδὲ τὰ τρίτα, ἀλλὰ τὰ πρῶτα. Τῶν γὰρ τελείων τὰ τέλεια. Ἔχει δὲ καὶ πηγὴν, καὶ φρέαρ ὕδατος ζῶντος. Καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου. Οὐ γὰρ μόνον τὴν Εὐαγγελικὴν ἔχει διδασκαλίαν, περιφανῶς ῥέουσαν, ἀλλὰ καὶ τοῦ νόμου τὸ φρέαρ, ὅπερ ἐστὶ φρέαρ ὕδατος ζῶντος. Καὶ κεκρυμμένα μὲν ἔχοντα τὰ νάματα. Ῥοιζοῦντα δὲ καὶ ἦχον ἀποτελοῦντα. Καὶ ἀπὸ τοῦ λιβάνου περιχεόμενα. Ἐν Ἱεροσολύμοις γὰρ ἤνθη ἡ νομικὴ πολιτεία. Ἥτις λίβανος τροπικῶς ὀνομάζεται. Μετέβη δὲ καὶ τοῦτο τὸ φρέαρ, εἰς τὴν τοῦ κυρίου νύμφην τὴν Ἐκκλησίαν. Καὶ ἔστι κρυπτόμενον, ἀλλὰ ῥοίζῳ φερόμενον, καὶ νάρδον τὸν τῆς Ἐκκλησίας Παράδεισον :~

Τοῦ Ψελλοῦ :-

„ Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη. Κῆπος κε-
„ κλεισμένος, πηγὴ ἐσφραγισμένη.

Ποικιλοτρόπως ἐπαινεῖ τὴν νύμφην ὁ νυμφίος.
Κῆπος γὰρ πέφυκας φησὶν ὦ νύμφη κεκλεισμένος.

Ἔχουσα πάντων τῶν καλῶν οὖσα αὐτὴ τὴν ὥραν.
Ἐλαίαν τὴν κατάκαρπον συκῆν τε τὴν γλυκεῖαν.
Πηγὴ δὲ πάλιν πέφυκα φησὶν ἐσφραγισμένη.
Καθόσον μάτην οὐδαμῶς, τὰ νάματά σου περιχέεις.
Ἀλλὰ ποτίζεις τοὺς πιστοὺς ψυχῶν σωτηρίαν :-

„ Ἀποστολαί σου Παράδεισος ῥοῶν μετὰ καρποῦ
„ ἀκροδρύων.

Ἐν τούτοις ὑπαινίττεται ξύμπαντα ὁ νυμφίος.
Τοῦ δόγματος τῆς πίστεως ἤγουν τῆς ἀμωμήτου.
Τὸ φοβερὸν καὶ κάλλιστον εὐῶδές τε καὶ θεῖον.
Ἥνπερ πρεσβεύει πάντοτε στόμα τῆς Ἐκκλησίας.
Ἀποστολαί σου γάρ φησιν, ἤγουν αἱ διδαχαί σου.
Παράδεισος πεφύκασι ῥοῶν ἠγλαϊσμένων.
Καὶ πάσης χάριτος μεσαὶ τυγχάνουσιν ὦ νύμφη :-

„ Πηγὴ κήπων.

Οὐ γὰρ εἰς μάτην σου φησὶ τὰ νάματα περιχέεις.
Ἀλλὰ ποτίζεις τοὺς πιστοὺς, ἤγουν φυτὰ τὰ θεῖα :-

„ Φρέαρ ὕδατος ζῶντος τοῦ ῥοιζοῦντος ἀπὸ
„ λιβάνου.

Τοσοῦτον γάρ φησι καλῶς πρὸς ἀρετὰς ὑψώθης.
Ὡς καὶ τῆς κλήσεως αὐτῆς ἔμοιγε συμμετέχειν.
Ἐγὼ γὰρ ζῶντος ὕδατος ὄντως τυγχάνω φρέαρ.
Ὁ κατελθὼν ἐξ οὐρανῶν ὡς ὑετὸς εἰς πόκον.
Ὥσπερ ἐξ ὄρους ὑψηλοῦ τοῦ θαυμαστοῦ λιβάνου :-

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ΄ΡΩΝ:-

ΚΑὶ τοιαῦτα μέν σου τὰ μέλη καὶ τὰ ἱμάτια. Σὺ δ᾽ ἐντεῦθεν ὁποία:~

„ Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη. Κῆπος κε-
„ κλεισμένος πηγὴ ἐσφραγισμένη.

Ἤγουν οἷα μὲν δή τις κῆπος κατάτε ψυχὴν, τοῖς τῶν ἀρετῶν λόγοις. Καὶ κατὰ σάρκα τοῖς τούτων τρόποις ὑπάρχεις κατάφυτος. Καὶ ὡς φραγμένη τινὶ ταῖς ἐντολαῖς σου κατησφαλισμένη. Οἷα δὲ πηγὴ κατὰ νοῦν βρύει τὰ περὶ ἐμὲ εὐσεβῆ καὶ θεία νοήματα. Καὶ τῷ ἐμῷ χαρακτῆρι ὡς εἰκών μου ἐσφράγισαι. Ἵνα μὴ ὁ ἐρχόμενος οὐ μόνον κλέψαι. Ἀλλὰ καὶ θῦσαι καὶ ἀπολέσαι ἐχθρὸς λαθραίως εἰσελθών, τόν τε κατ᾽ ἀρετήν σου συλήσῃ καρπόν. Καὶ τὸ κατὰ γνῶσιν τῆς ἀληθείας ὕδωρ σου ψευδέσιν ἐννοίαις καταμολύνῃ. Οὐ μόνον δ᾽ αὐτὴ τοιοῦτος κῆπος ὑπάρχεις. Ἀλλὰ καὶ αἱ Ἀποστολαί σου, Παράδεισος ῥοῶν, μετὰ καρποῦ ἀκροδρύων. Πάντως οἱ ἐκπεμπόμενοι, Διδασκαλικοὶ λόγοι σου πρὸς τὰς μαθητευομένας σοι ψυχὰς, διὰ τὸ ἐν ταύταις κατὰ πίστιν φυτευθῆναι, οἵ ἅπερ εἰσὶ Παράδεισος συνηρεφὴς, δένδρεσι ῥοῶν ἐπὶ ῥοιζῶν, ἐγκεντρισμένοις δρυῶν. Κἀντεῦθεν τὸν ἴδιον καρπὸν ἐπιφερομένοις. Ὧν ῥοῶν, αἱ μὲν ῥίζαι δυσαπόσπαστοι. Τὸ δὲ περικάλυμμα τοῦ καρποῦ αὐστηρὸν. Καὶ τοῦ ἐντὸς φυλακτικόν. Αὐτὸς δὲ ὁ καρπὸς μετὰ τὸ πεπανθῆναι περιρραγέντος τοῦ περικαλύμματος, διαφαίνεται, τὴν μὲν γεῦσιν γλυκὺς, τὴν δὲ ὄψιν εὐειδής. Καὶ γὰρ καὶ αὐτοὶ οἱ τῆς νύμφης διδασκαλικοὶ λόγοι, τῇ μὲν πίστει ἑδραίωνται καὶ δυσαπο-

σπάστως ἔχουσι τῶν πιστευσασῶν τούτους ψυχῶν. Οἷα ῥίζαι δρυὸς, τῷ δὲ φόβῳ τῶν ἠπειλημένων κολάσεων, ὡς λέπυρον ῥοᾶς, στύφοντες τὰς μαθητευομένας ψυχάς. Φυλάττουσι τὸν ἐν αὐταῖς καρπὸν τοῦ πνεύματος, ἀλώβητον ἀπὸ πάντων τῶν παραλόγων παθῶν. Ταῖς δὲ ἀκτῖσι τῶν Ἐπαγγελιῶν τοῦ τῆς δικαιοσύνης ἡλίου, εἰς πόθον τῶν μελλόντων ἀγαθῶν ταύτας κατὰ θερμαίνοντες. Τὸν φόβον ὡς περικάλυμμα διαρρηγνύουσιν. Ἔξω τοῦτον τῆς ἀγάπης βαλλούσης, καὶ καταγλυκαίνουσι τὸν νοητὸν αὐτὸν φάρυγγα, γευσάμενον καὶ θεασάμενον, ὅτι Χριστὸς ὁ κύριος. Καθάπερ καὶ τὸν αἰσθητὸν, ὁ καρπὸς τῶν ῥοῶν. Ἐντεῦθεν δ᾽ οὗτοι οἱ διδασκαλικοὶ λόγοι, ὡς ταῖς μαθητευομέναις πραγματευόμενοι. Τῶν μὲν φόβῳ τῶν ἠπειλημένων κολάσεων, παθῶν κάθαρσιν. Ταῖς δ᾽ ἐπαγγελίαις τῶν μελλόντων ἀγαθῶν, ἔργων δικαιοσύνης. Φωτισμὸς γίνονται ταύταις:~

ΚΥ΄προι μετὰ νάρδου. Ἤτοι παντοίων ἀρετῶν ἄνθη καὶ κράματα. Ἀρχαὶ δηλονότι, καὶ μίξεις. Καὶ ὡς μὲν ἀρχαὶ, ὑφιστῶσιν ἐν ταῖς διδασκομέναις ψυχαῖς. Τῷ τε φόβῳ τῶν ἀπειλῶν, καὶ τῷ πόθῳ τῶν Ἐπαγγελιῶν, τὰ διάφορα κατ᾽ ἀρετὴν εἴδη, τῆς εἰς θεὸν καὶ τὸν πλησίον ἀγάπης. Ὡς δὲ μίξεις, πείθουσιν αὐτὰς ἐν τῷ πάσχειν σαρκὶ, διὰ τῆς εἰς θεὸν καὶ τὸν πλησίον ἀγάπης. Καὶ εὐφραίνεσθαι διὰ τὴν μέλλουσαν μισθαπόδοσιν. Ἐν δὲ τῷ ἀνεξικακεῖν διὰ τὴν εἰς τοῦτον ἀγάπην, τὴν εἰς θεὸν ἀγάπην ἐνδείκνυσθαι, διὰ τὴν τήρησιν τῆς αὐτοῦ ἐντολῆς. Ἥτις ἐστὶ τὸ ἀγαπᾶν τὸν πλησίον. Κἀντεῦθεν οἱ εἰρημένοι διδασκαλικοὶ λόγοι, γίνονται ταῖς διδασκομέναις. Νάρδος. Καὶ κρόκος. Κάλαμος καὶ κινάμωμον μετὰ πάντων ξύλων τοῦ λιβάνου. Ἤγουν τέσσαρες

γλοικαὶ ἀρεταὶ μετὰ πασῶν τῶν ὑπ' αὐταῖς μερικῶν, τῶν φυομένων ἐν τῷ ὕψει τῆς εἰς θεὸν πίστεως οἷα ὄρη λιβάνου. Καὶ γὰρ νάρδον μέν φησιν, ὡς διαφόρων ἀρωμάτων μίγματα ἑνοειδῶς φέρουσαν πασῶν τῶν ἀρετῶν τοὺς λόγους, Φρόνησιν. Κρόκον δὲ ὡς μέσως ἔχοντα ψύξεώς τε καὶ θερμότητος. Καὶ τὴν ἐφ' ἑκατέρας ἀμετρίαν ἐκφεύγοντα. Τὴν τὰς ἐλλείψεις καὶ τὰς ὑπερβολὰς τῶν ἀρετῶν διαδιδράσκουσαν, Δικαιοσύνην. Κάλαμον δὲ γλυκὺν, ὡς κούφην καὶ εἰς ὕψος ἱκανῶς ἀνατρέχουσαν, Τὴν σωφροσύνην. Ἥτις σαρκικοῦ βάρους τὴν ἐπιθυμίαν κουφίζει καὶ ὑψοῖ πρὸς τὰ πνευματικὰ καὶ οὐρανία, καὶ τῆς τούτων γλυκύτητος τὸν νοῦν ἐμφορεῖσθαι ποιεῖ. Καὶ κινάμωμον. Ὡς θερμὸν καὶ ἡδὺ τὴν θείῳ ζήλῳ πυρπολουμένην ἀσεβείας καὶ κακίας, Ἀνδρείαν, ἣ καὶ ἡ δεία ἐστὶ διὰ τοῦ παντὸς καλοῦ ὑπεραγωνίζεσθαι. Οὐ μόνον δὲ ταῦτα ταῖς διδασκομέναις, οἱ διδασκαλικοὶ λόγοι τῆς νύμφης γίνονται. Ἀλλὰ καὶ σμύρνα ἀλόη μετὰ πάντων τῶν πρώτων μύρων. Ἤτοι νέκρωσις τοῦ σαρκικοῦ τούτων φρονήματος. Μετὰ πάντων τῶν πρώτων, τῶν ψυχαγωγέντων δίκην μύρων, χαρισμάτων τοῦ πνεύματος. Εἰ μὴ γὰρ φρονήσῃ, πάντως ἡ ψυχὴ τὰ τοῦ πνεύματος, καὶ τὰ πανάγια τούτου δέξεται χαρίσματα. Τὸ τοῦ φόβου φημὶ καὶ τὸ τῆς βουλῆς, καὶ τὸ τῆς ἐπιστήμης, καὶ τὸ τῆς γνώσεως, καὶ τὸ τῆς συνέσεως, καὶ τὸ τῆς σοφίας. Ἄλλως τοῦ σαρκικοῦ φρονήματος οὐκ ἐνεργεῖται ἡ νέκρωσις. Ἧς δηλωτικὰ ἡ σμύρνα καὶ ἡ ἀλόη, ὡς νεκρῶν σωμάτων ἀρωτίσματα. Οὗτοι δὲ οἱ λόγοι, ταῖς διδασκομέναις εἰσὶ, καὶ πηγὴ κήπων, ὡς προχέοντες τὴν ἀρδεύουσαν γνῶσιν τὰς οἷά τινα φυτὰ πεφυτευμένας ἐν αὐταῖς πολυειδεῖς ἀρετὰς, καὶ φρέαρ ὕδατος ζῶντος. Καὶ ῥοι-

ζοῦντος

ζοῦντος ἀπὸ τοῦ λιβάνου. Ἤγουν βάθος θείας, καὶ ἀειζώου σοφίας. Ἠχούσης διδασκαλικῶς τὰ τοῖς πολλοῖς ἀδιεξίτητα θεῖα μυστήρια. Ὥσπερ ἀπὸ λιβάνου τοῦ ὕψους τῆς εἰς θεὸν πίστεως. Ἐπεὶ δὲ Παράδεισον τοὺς τῆς νύμφης διδασκαλικοὺς λόγους ὁ νυμφίος εἴρηκεν ὡς δεδήλωται. Κῆπος δὲ ἐστιν ὁ Παράδεισος, ὡς παντοίων φυτῶν χωρίον. Κῆπος ἄρα τῆς νύμφης αἱ πεφυτευμέναι εἰσὶ ψυχαὶ τοῖς διδασκαλικοῖς ταύτης λόγοις. Δι' ὧν σπουδοῦσα τὰ ἑξῆς εἰρημένα ἀποτελέσαι:~

ΘΕΟΔΩΡΉΤΟΥ:-

ΤΩ͂ν ἄνωθεν ἡ νύμφη ἐπαίνων ἀκούσασα, καὶ ἡσθεῖσα, καὶ εὐφρανθεῖσα. Ὅτι οὐ μόνον αὐτῆς τὸ κάλλος ἐθαύμασεν. Ἀλλὰ καὶ τὰς στολὰς αὐτῆς ἐπῄνεσεν, φησίν:~

» Ἐξεγέρθητι Βορρᾶ, καὶ Ἔρχου νότε. Διάπνευσον κῆ-
» πόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου. Καταβήτω
» ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ. Καὶ φαγέτω καρπὸν ἀ-
» κροδρύων αὐτοῦ.

ΤΩ͂ν διαβαλλομένων ἐστὶν ὁ Βορρᾶς παρὰ τῇ θείᾳ γραφῇ. Διὸ καὶ ὁ θεὸς διὰ Ἱερεμίου φησὶ τοῦ Προφήτου. Ὅτι ἀπὸ Βορρᾶ ἐκκαυθήσεται τὰ κακά. Καὶ πάλιν, καὶ τὰ ἀπὸ Βορρᾶ, ἐκδιώξω ἀφ' ὑμῶν. Καὶ ἀλλαχοῦ. Ἰδοὺ κακὰ ἀπὸ Βορρᾶ ἔρχεται καὶ συντριβὴ μεγάλη. Παρακελεύεται τοίνυν τῷ Βορρᾷ ἐξεγερθῆναι καὶ ὑποχωρῆσαι. Ἵνα ὁ νότος διαπνεύσῃ, καὶ διαρρεύσῃ πεπεδηθέντα τὰ τοῦ κήπου ἀρώματα. Καὶ τῶν καρπῶν αὐτῆς ὁ ἀδελφιδοῦς ἀπολαύσῃ. Ὁ δὲ νότος εὔδηλον ὅτι ἀπὸ μεσημβρείας πνεῖ. Νότος προ-

σαγο-

σταγρευόμενος. Διὰ τὸ ὑγρὸς εἶναι καὶ νοτίδος πληροῦν ἐν τῷ πνεῖν τὰ σώματα. Πλέον δὲ καὶ ἀπὸ τῆς μεσημβρίας εἰσρεῖ τὸ φῶς. Διὸ καὶ τὸν κύριον ἀπὸ μεσημβρίας ἥξειν ὁ Ἀββακοὺμ προλέγει. Ὁ Θεὸς γάρ φησιν ἀπὸ Θαιμὰν ἥξει. Τοῦτο δὲ καὶ τῇ Ἑβραίων, καὶ τῇ σύρων ἑρμηνεύεται φωνῇ. Παρακελεύεται τοίνυν, ἀποστῆναι μὲν τὸ ἐναντίον πνεῦμα. Τὴν δὲ θείαν πνεῦσαι χάριν. Ἵνα πεπανθέντας τῶν ἀρωμάτων αὐτῆς καρποὺς ὁ ἀδελφιδὸς αὐτῆς τρυγήσῃ. Μηδενὸς ἀνεμοφθόρου γινομένου, ἢ παρὰ τῆς ὥρας ἐκπίπτοντος:~

ΕΞεγέρθητι βορρᾶ, καὶ ἔρχου νότε δηλονότι, ἀναχώρησον τὸ τὰς διδασκομένας μοι ψυχὰς τοῖς πάθεσι χειμάζον, δίκην ἀνέμου βορρᾶ πονηρότατον πνεῦμα. Καὶ ἔρχου ἀεὶ ταῖς οἰκείαις χάρισι ταύτας διαθερμαῖνον. Ὥσπερ ἀνέμου νότου πνοὴ πανάγιον πνεῦμα:~

» Διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώμα-
» τά μου.

ΗΤοι πνεῦσον εἰς ἃς αὐτὴ ψυχὰς τοῖς διδασκαλικοῖς λόγοις, οἷά τινα κατεφύτευσα κῆπον, καὶ χεθήτωσαν ἐπὶ ταύτας κατὰ μετάδοσιν τὰ θεῖά σου χαρίσματα. Οἷς αὐτὴ καθάπερ εἴ τισιν ἀρώμασι κέχρισμαι. Κἀντεῦθεν, καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ. Πάντως τὰς μαθητευομένας ψυχὰς παρ' ἐμοῦ ἃς αὐτὴ διδασκαλικῶς ταῖς θείαις ἐντολαῖς ὡς θεῖον κατεφύτευσα κῆπον. Διὰ τούτων ἐνοικῶν καὶ ἐμπεριπατῶν ἐν ταῖς εἰρημέναις ψυχαῖς ὁ ἀγαπητός μου:~

ΚΑὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. Ἤγουν εὐωχηθήτω τὴν τούτων τῶν ψυχῶν σωτηρίαν. Ἣν αὐτὸς οἰκεῖον ἔφησε βρῶμα εἰπών. Ὅτι ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου. Ὅπερ ἐστὶ κατὰ γνώμην οἰκείαν σωθῆναι τὸν ἄνθρωπον:~

ΚΑρπὸς δὲ τῶν τοῦ νυμφίου ἀκροδρύων. Ἡ τῶν ἀνθρώπων ὑπάρχει σωτηρία. Ὡς ἀποτέλεσμα τῶν παναγάθων αὐτοῦ θελημάτων, ἅπερ εἰσὶν αἱ ἅγιαι αὐτοῦ ἐντολαί, αἱ κατὰ πρᾶξιν ἐγκεντρισμέναι, ἐπὶ ταῖς δίκην δένδρων ἑδραίως ἐρριζωμέναις τῇ εἰς αὐτὸν πίστει ψυχαῖς:~

» Ἐξεγέρθητι βορρᾶ καὶ ἔρχου νότε. Διάπνευσον κῆπόν
» μου, καὶ ῥευσάτωσαν ἀρώματά μου. Καταβήτω
» ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ καταφαγέτω καρ-
» πὸν ἀκροδρύων αὐτοῦ:~

Τοῦ Ψελλοῦ:-

ΕΠείπερ ἐπελάβετο πάντως τῆς ἐξουσίας.
Ἡ Ἐκκλησία τοῦ Θεοῦ κῆπος ὠνομασθεῖσα.
Ἔχων ἁπάντων τῶν φυτῶν ἐν ἑαυτῇ τὴν ὥραν.
Τοῦ μὲν βορρᾶ τὴν κάκιστον ἔμπνευσιν ἀφορῆσαι.
Τὴν ἀποκρυσταλώσασαν τὸ κάλλος τῶν ἀνθέων.
Τὸν νῶτον δὲ τὸν κάλλιστον καλῶς προτρέπει πνεῦσαι.
Ὃς ἐπιπνεύσας ἐν σιὼν τοῖς Ἀποστόλοις πάλαι.
Ῥεύματα λόγων δέδωκε τοῖς Ἀποστόλοις χέειν.
Ἐκεῖνο τὸ πανάγιον τοίνυν ἡ νύμφη πνεῦμα.
Καλεῖ πρὸς κῆπον ἑαυτῆς πνεῦσαι τὴν σωτηρίαν.

Ὡς ἂν καρποφορήσωσι πάντα τὰ τέκνα ταύτης.
Καὶ τὸν Χριστὸν εὐφραίνωσι τὸν λόγον καὶ νυμφίον.
Ἐπεὶ γοῦν ὃ κεκέλευκεν, εἰς ἔργον ἐγεγόνει.
Καὶ τὸν βορρᾶν σιγήσαντα, κατεῖδεν ἡ παρθένος.
Καὶ πνεύσαντα τὸν κάλλιστον ὄντως καὶ θεῖον νότον.
Καὶ καρποφόρα δείξαντα πάντα τὰ τέκνα ταύτης.
Ἐπεύχεται τοῦ κατελθεῖν τὸν θαυμαστὸν νυμφίον.
Εἰς τὸν καρποφορήσαντα κῆπον αὐτῆς ἐν τάχει.
Ὡς ἂν τρυγήσῃ τοὺς καρποὺς αὐτοῦ τῶν ἀκροδρύων.
Τουτέστιν ὅπως εὐφρανθῇ τοῖς καρποφόροις τέκνοις.
Εἰ μὴ γὰρ οὕτω πρὸς ἡμᾶς τοὺς ταπεινοὺς κατέλθῃ.
Ἀναλαβὼν καὶ τοὺς πρᾳεῖς κατὰ τὸν ψαλμογράφον.
Οὐκ ἔστιν ἄλλως πῶς ἡμᾶς εἰς οὐρανοὺς ἀρθῆναι.
Ταῦτα μὲν λελιπάρηκεν ἡ νύμφη τῷ νυμφίῳ.
Ὁ δὲ πληρῶν τὰ σύμπαντα καὶ πανταχοῦ τυγχάνων.
Ὁ λέγων ἰδοὺ πάρειμι τοῖς ἐπικαλουμένοις.
Πλὴν πληρωθῆναι τὴν εὐχὴν τῆς νύμφης ἐπακούσας.
Εἰς κῆπον κατελήλυθεν αὐτῆς ὡς ἠβουλήθη.
Καὶ τοὺς καρποὺς ἐτρύγησε ταύτης τῶν ἀκροδρύων.
Φησὶ γὰρ οὕτω πρὸς αὐτὴν ὡς καθ' εἱρμὸν εὑρήσεις.

» Εἰσῆλθον εἰς κῆπόν μου ἀδελφή μου νύμφη. Ἐτρύγη-
» σα σμύρναν μου μετὰ ἀρωμάτων μου. Ἔφαγον ἄρ-
» τον μου μετὰ μέλιτός μου. Ἔπιον οἶνόν μου μετὰ γά-
» λακτος.

Κατῆλθον ἔγωγε φησὶ πρὸς κῆπόν σου παρθένε,
Καὶ τῶν καλῶν ἀπήλαυσα τῶν σῶν καρπῶν εἰς κόρον.
Καὶ

Καὶ τῇ θερμῇ τῶν τέκνων σου πίστει καὶ μετανοίᾳ.
Μεγάλην ἔσχηκα χαρὰν μεγάλην εὐφροσύνην.
Ὅλον δὲ τοῦτο πέφυκεν ὁ τρυγητὸς τῆς σμύρνης.
Ἡ βρῶσίς τε τοῦ μέλιτος καὶ γάλακτος ἡ πόσις.
Ταῦτα τῇ νύμφῃ προειπὼν Χριστὸς ὁ καὶ νυμφίος.
Ὥσπερ ἀντίχαριν τινὰ τῆς μελιττοτροφίας.
Τὸ σῶμα δίδωσιν αὐτοῖς τοῖς τέκνοις τῆς παρθένου.
Φησὶ γὰρ οὕτω πρὸς αὐτοὺς πλὴν μόνοις τοῖς ἀξίοις.
Οὓς καὶ πλησίον εἴρηκεν οὕτως αὐτοῦ τυγχάνειν:-

» Φάγετε οἱ πλησίον μου καὶ πίετε, καὶ μεθύσθητε
» ἀδελφοί μου.

Ὅσοι πεφύκατε φησὶ τοῖς ἔργοις ἀδελφοί μου.
Τὸ σῶμα μέν μου φάγετε τὸ δ' αἷμα πίετέ μου.
Εἶτα μεθύσθητε φησὶν ἀπὸ τῆς εὐφροσύνης.
Καὶ πάντων λήθην λάβετε τῶν κοσμικῶν φροντίδων.
Ὡς ἐν ἐκστάσει δήπουθεν γινόμενοι τῇ μέθῃ:-

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

» Εἰσῆλθον εἰς τὸν κῆπόν μου ἀδελφή μου νύμφη.

Εἰσελήλυθα γάρ φησιν εἰς τὸν ἐμὸν κῆπον τὸν ὑπὸ σοῦ μοι προσενεχθέντα. Καὶ ἐτρύγησα πρώτην τὴν σμύρναν μου. Τουτέστιν ἣν ἐγὼ ἐν σοὶ κατεφύτευσα. Πρῶτος γὰρ ἐγὼ τὸν ὑπὲρ σοῦ θάνατον κατεδεξάμην. Εἶθ' οὕτως συναποθανεῖν μοι, καὶ συνταφῆναι ἐπεθύμησας. Συνετάφης γάρ μοι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, καὶ ἐνέκρωσας σου τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Ἐτρύγησα τοιγαροῦν τὴν σμύρ-

νούμου μετὰ ἀρωμάτων μου. Καὶ τὴν ἄλλην γὰρ φησὶν ἀρετὴν, ἣν παρ' ἐμοῦ ἐδιδάχθης, ἐκαρπωσάμην, καὶ ἔλαβον :~

» Ἔφαγον δὲ καὶ ἄρτον μου μετὰ μέλιτός μου.

ΤΗν στερεὰν καὶ γλυκεῖαν τροφὴν, τὴν παρὰ τοῖς τελείοις εὑρισκομένην :~

» Ἔπινον οἶνον μου.

ΚΑὶ καλῶς τὴν ἀντωνυμίαν προσέθηκεν. Αὐτὸς γάρ ἐστιν ἡ ἀληθινὴ ἄμπελος, ἀφ' ἧς ὁ οἶνος οὗτος ἐγεωργήθη. Ἔπιον οἶνον μου μετὰ γάλακτός μου. Οὐκ ἀποσείεται γὰρ οὐδὲ τοὺς νηπίους, καὶ οἱονεὶ ὑπομαζίους καὶ γαλακτοτροφουμένους. Ἀλλὰ τὸν σύμμετρον παρ' ἐκείνων δέχεται καρπόν. Καὶ ἀγαθὸς ὤν. Καὶ τοὺς φίλους εἰς τὴν εὐωχίαν καλεῖ καὶ φησίν :~

» Φάγετε οἱ πλησίον μου καὶ πίετε, καὶ μεθύσθητε ἀδελ-
» φοί μου.

ΠΛησιάζουσι δὲ αὐτοῦ οἱ τετελειωμένοι, καὶ τὴν πρὸς αὐτὸν αὐχοῦσι συγγένειαν. Οἱ τὴν εἰκόνα φυλάττοντες ἀδιάφθορον. Καὶ οὐ μόνον αὐτοῖς πιεῖν, ἀλλὰ καὶ μεθυσθῆναι παρακελεύεται. Ἔστι γὰρ μέθη, σωφροσύνην, ἀλλ' οὐ παραφροσύνην ἐργαζομένη. Οὐ παραλύουσα τὰ μέλη, ἀλλὰ ῥωννύουσα. Τὸ γὰρ ποτήριον αὐτοῦ μεθύσκον ὡσεὶ κράτιστον. Καὶ ἀλλαχοῦ δὲ πάλιν ὁ μακάριος Δαβίδ. Μεθυσθήσονται φησὶν ἀπὸ πιότητος οἴκου σου. Καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς :~

ἭΚουσεν ὁ νυμφίος τῆς παρακλήσεως τῆς νύμφης κατὰ τὸ ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. Τοιαύτην γὰρ ἣν ἡ

παρα-

παρακελεύσασα ὡς μὴ παρακουσθῆναι. Ὅθεν ποιούμενος πρὸς αὐτὴν τὴν ἀπόκρισιν, φησίν :~

ΘΕΟΔΩΡΗΤΟΥ :~

» Εἰσῆλθον εἰς κῆπον μου ἀδελφή μου νύμφη.

ΔΗλαδὴ ὃν αὐτὴ κατεφύτευσας διδασκαλικῶς ταῖς ἐμαῖς ἐντολαῖς. Διῶν ἐδιώχθη μὲν ὁ χειμὼν τῶν παθῶν. Ἔπνευσε δέ μου τὸ πανάγιον πνεῦμα. Καὶ τὰ ἐν τῷ τοιούτῳ κήπῳ φυτὰ, ἤνεγκεν οἷα μύρα παντοῖα τοὺς τῶν ἀρετῶν λόγους. Καθ' οὓς καὶ αὐτὸς εἰσῆλθον ἐν τούτῳ τῷ κήπῳ. Ἐν ᾧ τὰ ἐμὰ θελήματα, αἱ ἅγιαί μου ἐντολαὶ ἐφυτεύθησαν. Δρεψόμενος πάντως τὸν τούτου καρπὸν, ὅς ἐστιν ἡ τῶν εἰρημένων ἐντολῶν ποίησις. Ἀδελφή μου τοῦ κατὰ φύσιν υἱοῦ τοῦ Θεοῦ καὶ Πατρὸς. Ἡ ποιοῦσα τὸ θέλημα τούτου. Καὶ υἱοθετηθεῖσα αὐτῷ κατὰ χάριν. Καὶ νύμφη μου, ὡς κολληθεῖσά μοι δι' ἀγάπης καὶ πνεῦμα ἓν γενομένη :~

ΕΙσελθὼν δὲ ἐν τῷ εἰρημένῳ κήπῳ μου, ἐτρύγησας σμύρνης μετὰ ἀρωμάτων μου. Ἤτοι τὴν τοῦ σαρκικοῦ φρονήματος τῶν μαθητευομένων σου νέκρωσιν. Μετὰ τῶν ἑπομένων ταύτῃ ἀρετῶν. Οἱ γὰρ σαρκὶ καὶ κόσμῳ νεκρώσαντες τὸ φρόνημα. Πνεύματι τοῦτο ζῶσι καὶ προσφέρουσι Θεῷ οἷά τινα καρπὸν ἀρωμάτων, τὴν ἐντολῶν αὐτοῦ ποίησιν. Περὶ ἧς φησίν :~

» Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου.

ΚΑὶ ἄρτος μὲν αὐτοῦ ἐστιν ὡς προλέλεκται αὐτὸς, ὃν δεδήλωκεν ἐν Εὐαγγελίοις εἰπών. Ὅτι ἐμὸν βρῶμά ἐστι, τὸ

 ποιεῖν

ποιεῖν τὸ θέλημα τοῦ Πατρός μου. Μέλι δὲ τὰ γλυκαίνοντα τὸν ταύτης προσφέροντα λάρυγγα, θεῖα τούτου λόγια. Οἶνος δὲ, ἡ ἐκστατικὴ τοῦ κατὰ φύσιν πρὸς τὸ ὑπὲρ φύσιν τῆς θεώσεως χάρις. Καὶ γάλα ἡ ἄδολος ἁπλότης. Λοιπὸν ἐν αἷς ἐπὶ διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν εἰσέρχεται ψυχαῖς. Καὶ τρέφει μὲν ταύταις ὡς ἄρτῳ μετὰ μέλιτος, τῇ ἀρετῇ μετὰ γνώσεως. Ποτίζει δὲ οἷα οἴνου μετὰ γάλακτος τὴν κατὰ χάριν θέωσιν. Μετὰ τῆς ἀδόλου ἁπλότητος τὴν τούτων σωτηρίαν, αὐτὸς οἱονείτινα ἄρτον μετὰ μέλιτος ἐσθίει. Καὶ οἱονείτινα οἶνον μετὰ γάλακτος πίνει. Ὅθεν πρὸς ἃς εἰσῆλθεν ὡς εἴρηται, καὶ οἰκητήρια τούτους ἐν ἁγίῳ πνεύματι αὐτοῦ ἐποίησε φησί:~

» Φάγετε οἱ πλησίον μου καὶ πίετε, καὶ μεθύσθητε ἀ-
» δελφοί μου.

Ἤγουν τραφέντες μὲν οἱ ἀπαλλαγέντες παθῶν. Καὶ ἐγγίσαντές μου διὰ καθαρότητος, μετὰ γνώσεως τῇ ἀρετῇ. Πίετε δὲ τὸν ἐκστατικὸν τῆς θεώσεως οἶνον μετὰ τῆς πρὸς με ἀδόλου πίστεως. Καὶ ἀπὸ τῶν κατὰ φύσιν πρὸς τὰ ὑπὲρ φύσιν μετάστητε, οὓς κατὰ χάριν ἐν ἁγίῳ πνεύματι υἱοθέτησα τῷ ἰδίῳ Πατρί. Ταῦτα γοῦν διὰ τὰς προσκλήσεις τῆς νύμφης πρὸς τὰς μαθητευομένας αὐτῇ, εἰρηκότος τοῦ νυμφίου. Αὕτη ταύταις ἑαυτὴν ποιουμένη παράδειγμα, τὸ πῶς ἀκούσονται τῆς φωνῆς τοῦ νυμφίου αὐτῆς, καὶ εἰσοικίζονται τοῦτον φησίν:~

(3)

» Ἐγὼ

» Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. Φωνὴ ἀδελ-
» φιδοῦ μου κρούει ἐπὶ τὴν θύραν.

Καὶ καθεύδω μὲν πρὸς τὰ ἡδέα τῶν παρόντων. Ἐπὶ τούτοις τῇ ἀργίᾳ ὥσπερ ὑπνουσῶν μου τῶν αἰσθήσεων. Γρηγορεῖ δέ μου ὁ νοῦς, ἵνα μὴ ὁ ὑπὲρ λόγον λόγος ἐλθὼν, εὑρήσῃ αὐτὸν ῥαθυμοῦντα. Ἐν οἷς δὲ γρηγορεῖ. Ἀκούει τῆς αὐτοῦ τοῦ ἀγαπητοῦ μου φωνῆς κρούει ἐπ' αὐτόν. Διοῦ ὡς διά τινος θύρας ἐπὶ εἰσέρχεται εἰς τὴν ψυχήν.

Τῶν ἄνωθεν οὕτως ῥηθέντων φησὶν ἡ νύμφη.

» Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.

Κἂν γὰρ ὑπὸ τῆς φύσεως ἀναγκασθῶ μύσαι τοὺς ὀφθαλμοὺς καὶ τὸν ὕπνον δέξασθαι, κατὰ διάνοιαν ἐγρήγορα. Καὶ τὸν τῆς ῥαθυμίας ὕπνον, οὐ καταδέχομαι. τοῦ νυμφίου τὴν παρουσίαν προσμένουσα. Διὸ καὶ αἰσθάνομαι τῶν ἐκείνου κρουμάτων.

» Φωνὴ γάρ φησιν ἀδελφιδοῦ μου κρούει εἰς τὴν θύραν.

Παραθήσωμεν εἰ δοκεῖ τούτοις τὰ ἐν τοῖς θείοις Εὐαγγελίοις ὑπὸ τοῦ καλοῦ ποιμένος εἰρημένα. Τὰ πρόβατα γάρ φησι τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει. Καὶ πάλιν, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν. Ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Μακάριος τοίνυν ὁ ποιμαινόμενος. Καὶ τοῦ ποιμένος τὴν φωνὴν ἐπιγινώσκων. Μακάριος ὁ νυμφοστολούμενος, καὶ διακρίνειν ἐπιστάμενος, φωνὴν μοιχοῦ καὶ νυμφίου. Μακάριος ὁ λέγων οὐ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου. Καὶ τοῖς βλεφάροις μου νυσταγμόν. Ἀλλ' ἐγρηγόρως καὶ τὸν νυμφίον ἀναμέ-

ἀναμένων, κατὰ τὴν αὐτὴν τοῦ κυρίου παραίνεσιν. Γρηγορεῖτε γάρ φησιν ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ἡμῶν ἔρχεται. Ταύτην δὲ καὶ ὁ μακάριος Παῦλος προσφέρει τὴν συμβουλὴν λέγων. Γρηγορεῖτε. Στήκετε ἐν τῇ πίστει. Ἀνδρίζεσθε. Κραταιοῦσθε. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Ἐγρήγορε τοίνυν ἡ νύμφη κἂν τῷ καθεύδειν τὸν σωματικὸν ὕπνον, ἐν ἀπολαύσει γίνεται τῆς φωνῆς τοῦ νυμφίου. Καὶ τῶν κρουμάτων τῆς θύρας ἀκούει. Τίνες δὲ αἱ θύραι τῆς ψυχῆς. Ἀλλ' ἢ τοῦ σώματος αἱ αἰσθήσεις. Δι' ὧν ἡ νύμφη τὸν νυμφίον εἰσδέχεται. Οὐ μόνον κρούοντα, ἀλλὰ καὶ ἀνοιγῆναι αὐτῷ τὴν θύραν παρακαλοῦντα:~

Τοῦ Ψελλοῦ:-

Εἶτα δεικνὺς ὁ καθαρὸς δεσπότης καὶ νυμφίος.
Ὡς ἑκουσίως θάνατον ὑπὲρ ἡμῶν ὑπέστη.
Ἣ σάρξ τε πέπονθεν αὐτὴ πάντως οὐχ ἡ θεότης.
Φησὶ καὶ τοῦτο πρὸς αὐτοὺς οὓς εἴρηκε πλησίον.

» Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ.

Ἐγὼ φησὶ κἂν τέθνηκα σαρκὶ τῇ προσληφθείσῃ.
Ἀλλ' ἡ θεότης ἀπαθὴς ὅλως μεμένηκέ μου:-

» Ἄνοιξον γάρ μοι φησὶν ἀδελφή μου ἡ πλησίον μου, περι-
» στερά μου, τελεία μου. Ὅτι ἡ κεφαλή μου ἐπλήσθη
» δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Σημαίνει δὲ διὰ μὲν τῆς νυκτὸς, τὴν ἐν νυκτὶ γενομένην αὐτῷ ὑπὸ τῶν Ἰουδαίων ἐπανάστασιν. Διὰ δὲ τοῦ δρόσου καὶ τῶν ψεκά-

ψεκά-

ψεκάδων, τὸν τριήμερον θάνατον. Ὃν οἱ βόστρυχοι τῆς κεφαλῆς, καὶ οὐκ αὐτὸς ὑπεδέξατο. Ἐπειδὴ τοίνυν φησὶ τὸν ὑπὲρ σοῦ θάνατον κατεδεξάμην. Καὶ διὰ σὲ ταῦτα ὑπέμεινα. Ἄνοιξόν μοι καὶ ὑποδέξαι με. Ἀγαπῶ γάρ σου τὴν πνευματικὴν εὐμορφίαν, καὶ τὴν ἐν ἀρετῇ τελειότητα. Διὸ καὶ ἀδελφήν μου καλῶ καὶ πλησίον μου. Καὶ περιστεράν μου καὶ τελείαν μου. Τελείαν μὲν, ὡς τὴν ὑπ' ἐμοῦ νομοθετηθεῖσαν τελειότητα τελοῦσαν. Ἐγὼ γὰρ ἔφην. Γίνεσθε τέλειοι καθὼς καὶ ὁ Πατὴρ ὑμῶν τέλειός ἐστι. Καὶ πάλιν εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς. Καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ λαβὼν τὸν σταυρόν σου, ἀκολούθει μοι. Περιστεράν μου καλῶ. Ὡς πνευματικὴν γενομένην. Καὶ τὸν παλαιὸν ἄνθρωπον ἀπεκδυσαμένην, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Καὶ πνευματικῶς ὁρᾶν δυναμένην. Πλησίον δέ μου ὡς κατ' ἴχνος μου βαίνουσαν, καὶ ἐγγίζειν μοι ἐπιθυμοῦσαν. Ἐγὼ γὰρ ἔφην, ἐγγίσατέ μοι καὶ ἐγγιῶ ὑμῖν. Καλῶ δὲ καὶ ἀδελφήν μου. Οὐ διὰ τὸ συγγενὲς μόνον τῆς φύσεως ἧς ἀνέλαβον, ἀλλὰ καὶ διὰ τὴν τῆς εὐσεβείας οἰκειότητα.

Τοῦ Ψελλοῦ:-

Ἀλλ' αὖθις ἀκουσώμεθα τῆς νύμφης τῶν ᾀσμάτων.

» Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν ἄνοι-
» ξόν μοι ἀδελφή μου.

Φησὶν ἐν μέσῳ τῆς νυκτὸς ὡς ἦλθεν ὁ νυμφίος.
Τὴν θύραν ἀναπέτασον εἶπέ μοι τῆς καρδίας.
Ὡς ἂν ἐν σοὶ ποιήσωμαι μονὴν σὺν τῷ Πατρί μου.
Ταῖς ἀρεταῖς γὰρ πέφυκας ὄντως ἐμοῦ πλησίον.

Εἰ γοῦν

Εἰ γοῦν ἀνοίξεις μοι φησὶ δώσω σοι δῶρον μέγα.
Τὴν δρόσον μου τῆς κεφαλῆς, ψεκάδος τε βόστρυχων.
Ἤ γοῦν ἰάσεις ἐκ τελεῖν δώσω σοι πρὸς ἀνθρώπους.
Ἴαμα γὰρ ἡ δρόσος μου τυγχάνει τοῖς ἀνθρώποις:-

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Τοιαύτη δὲ ἐστιν ἡ πρόσμου τοῦ νυμφίου φωνή:-

» Ἄνοιξόν μοι ἀδελφή μου, ἡ πλησίον μου, περιστερά μου,
» τελεία μου.

Ἄνοιξον δέ μοι τὸν νοῦν ἵνα χωρητός σοι διὰ μέσου αὐτοῦ ὁ ἀχώρητος γένωμαι. Ἀδελφή μου ὡς ποιοῦσα τὸ θέλημα τοῦ Πατρός μου. Ἡ πλησίον μου ἤδη γενομένη διὰ πάθειαν. Περιστερά μου, ὥστε χαρίσματα τοῦ παναγίου μου πνεύματος λαβοῦσα, οἷα πτέρυγας περιστερᾶς. Καὶ πετασθεῖσα κατὰ διάθεσιν ἀπὸ πάντων τῶν γηΐνων, καὶ ἐπ' ἐμοὶ τῷ ἀΰλῳ, ἀρρήτῳ τε ὑπὲρ νοῦν καταπαύσασα λόγῳ. Κἀντεῦθεν τελεία μου, ὡς καθαρθεῖσα διὰ πράξεως, καὶ φωτισθεῖσα διὰ τῆς ἐν πνεύματι θεωρίας. Καὶ τελειωθεῖσα διὰ τῆς κατὰ χάριν θεώσεως. Ἄνοιξον δέ μοι ὡς εἴρηται, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου. Καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός:-

Καὶ κεφαλὴ μέν ἐστι, τοῦ καθ' ὑπεροχὴν μυστικῶς ἀποπεφασμένου λόγου. Ὁ τοῦ τὴν κατ' οὐσίαν γνῶσιν, καὶ πάντων κατὰ πάντα τρόπον ἀπείρως ἐξῳκισμένος ἀπόρρητος νοῦς. Ὃς πληροῦται διὰ τῶν πληρούντων τὴν τελείαν ψυχήν. Οἷα δρόσου τῆς ἀποφατικῆς θεολογίας τῶν περὶ αὐτόν. Ἀπέρειστο τὸ ὑπερούσιον. Τὸ ἄναρχον. Τὸ ἄπειρον. Τὸ ἀόριστον

καὶ

καὶ τὰ ὅμοια. Βόστρυχοι δὲ τούτου ἐκ τῆς εἰρημένης φυόμενοι κεφαλῆς, ἐν ἁγίῳ πνεύματι ὑπ' αὐτοῦ τοῦ μονογενοῦς εἰς πέρας ἀγόμεναι τοῦ Πατρὸς εὐδοκίαι. Αἵπερ οἷα ψεκάδων νυκτὸς τῶν διὰ κατάληψιν ἀνεξερευνήτων πληροῦνται θείων κριμάτων. Ὅθεν ταῦτα καὶ νυκτὸς ψεκάδος ἐλέχθησαν. Ὡς νοτίδος τινὲς γνώσεως τῆς περὶ θεοῦ ἀκαταληψίας. Καθ' ἃς γνώσεως νοτίδας ὄντας, τῆς νυμφευθείσης τῷ θεῷ λόγῳ ψυχῆς ἀνοιγομένης, αὐτὸς εἰσοικίζεται. Διόπερ καὶ ὡς αἰτία τοῦ ἀνοῖξόν μοι τὸ ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ τὰ ἑξῆς εἴρηται:-

Ἐπεὶ δ' ὦ μαθήτειαι οὔπω τῆς φωνῆς τοῦ νυμφίου μου ἤκουσα, καὶ τὴν ἑαυτῆς νοητὴν πύλην ἀνέῳξα, καὶ ἔνοικον ἐκτησάμην αὐτόν, ὃς ἀναμαρτησίας ἐστὶν ἔνδυμα προτέρων πάντων. Ἐξεδυσάμην τὸν χιτῶνά μου τὸν παλαιὸν τὸν τῆς ἁμαρτίας, τὸν ἐκ τῆς παραβάσεως. Λοιπὸν πῶς ἐνδύσομαι αὐτόν; τῷ φωτεινῷ τῆς ἀναμαρτησίας ἀπελαθέντα ἐνδύματι. Ἐνιψάμην τοὺς πόδας μου ἄκρως καθαρθεῖσα τῷ τελουτεῖῳ τοῦ βαπτίσματος, καὶ τῇ τοῦ παναγίου πνεύματος ἐπιφοιτήσει. Καὶ τῶν θείων ἐντολῶν τηρήσει. Ὅθεν πῶς μολυνῶ αὐτοὺς ἴχνος δεξαμένη παράλογον ἐπιθυμίας:-

» Ἐξεδυσάμην τὸν χιτῶνά μου. Πῶς ἐνδύσομαι αὐτόν;
» Ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

Τοῦ Ψελλοῦ:-

Ἐγὼ φησὶ καὶ πρόπαλαι τὰς θύρας ἤνοιξά σοι.
Τὸ γὰρ τῆς παραβάσεως ἐξεδυσάμην πάχος.
Ὅπερ οὐκ ἐπενδύομαι πώποτε μεταγνοῦσα.

Καὶ

Καὶ μολυσμὸν ἀπέρριψα τῆς γῆς ἐκ τῶν ποδῶν μου.
Καὶ τούτους παρεσκεύασα πρὸς τρίβους σωτηρίας.
Οὕσπερ οὐκέτι μολυνῶ. Στραφεῖσα πρὸς τὸ ὀπίσω.
Τούτων ὡς ἤκουσεν αὐτῆς τῶν λόγων ὁ νυμφίος.
Ἔνδον ἠθέλησεν αὐτῆς ὥσπερ κατασκηνῶσαι.
Ἀλλ' οὐκ οὖν τὸν ἀχώρητον ἦν ὅλως χωρηθῆναι.
Ταῦτα καὶ γὰρ ἐπλήρωσεν ἡ χεὶρ αὐτοῦ καὶ μόνη.
Ὡς ἀπ' αὐτῆς μαθεῖν ἐστι τῆς νύμφης τῶν ᾀσμάτων :-

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΤΩν ἄνωθεν οὖν ῥημάτων ἡ νύμφη ἀκούσασα, ἀποκρίνεται λέγουσα :~

Ἐξεδυσάμην τὸν χιτῶνά μου :-

ΔΙδασκόμεθα ἐντεῦθεν ὅσην τίκτει βλάβην, καὶ ὅσον ἐπιφέρει πόνον τοῖς χρωμένοις ὁ ὄκνος. Ἀναβολαῖς γὰρ ἡ νύμφη χρησαμένη, καὶ εὐθὺς ἀνοῖξαι τῷ νυμφίῳ τὴν θύραν οὐ βουληθεῖσα, ἀναγκάζεται μετὰ βραχύ. Οὐ μόνον μέχρι τῆς θύρας βαδίζειν, ἀλλὰ καὶ εἰς τὴν πόλιν τρέχειν, καὶ εἰς τὰς ἀγορὰς περινοστεῖν, καὶ περιπεσεῖν, φύλαξί τισι, παρ' ὧν καὶ τὰ τραύματα λαμβάνει, καὶ μόλις εὑρίσκει τὸν ποθούμενον νυμφίον. Εἰ δὲ εὐθὺς ὑπήκουσε τῷ καλέσαντι, τούτων ἂν ἁπάντων ἀπηλλάγη τῶν πόνων. Νῦν δέ φησιν:~

» Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν;
» ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

ΚΑὶ μὴν οὐ τοῦτο αὐτῇ ὁ νυμφίος παρακελεύεται. Οὔτε γὰρ βούλεται αὐτὴν ἀπεκδυσαμένην τὸν παλαιὸν ἄνθρω-

πον

πον πάλιν αὐτὸν ἐνδύσασθαι. Οὔτε θέλει νιψαμένην αὐτὴν τοὺς πόδας, καὶ τῶν ἁγίων αὐτοῦ χειρῶν ἀπολαύσασαν, πάλιν τούτους μολῦναι. Ἀλλ' ἀνοῖξαι αὐτῷ ἀπόνως, καὶ ἀμολύντως ἢ τῆς ἀκοῆς, ἢ τοῦ ὀφθαλμοῦ τὴν θύραν, ἵνα ἢ διὰ γνώσεως, ἢ δι' ἀκροάσεως, εἰσελθὼν ὁ νυμφίος ταῖς ἡγιασμέναις ἐνοικήσῃ ψυχαῖς. Καὶ ἐπειδὴ ἀνεβάλλετο, ἐκείναις ταῖς προφάσεσι χρησαμένη, ἑτέρως αὐτὴν ὁ νυμφίος διεγείρει. Οὐκ ἔτι κρούων ἔξωθεν μόνον, ἀλλὰ καὶ τὴν χεῖρα διά τινος ὀπῆς εἰσάγων. Χεῖρα δὲ νοοῦμεν τὴν αἴσθησιν τῆς ἁφῆς καὶ τὴν θείαν αὐτοῦ ἐνέργειαν. Ἧς αὐτὴ ἐν αἰσθήσει πεποίηκεν, ὡς βοῆσαι:~

» Ἀδελφιδός μου χεῖρα αὐτοῦ ἀπέστειλεν ἀπὸ τῆς ὀπῆς.
» καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτοῦ. Ἀνέστην ἐγὼ ἀνοῖξαι
» τοῦ ἀδελφιδοῦ μου. Χεῖρές μου ἔσταξαν σμύρναν. Οἱ
» δάκτυλοί μου σμύρναν πλήρη, ἐπὶ χεῖρας τοῦ κλεί-
» θρου. Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου. Ἀδελφιδός μου
» παρῆλθε. Ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. Ἐζήτησα
» αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. Ἐκάλεσα αὐτὸν καὶ οὐχ
» ὑπήκουσέ μου. Εὗρόν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν
» τῇ πόλει. Ἐπάταξάν με. Ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ οἱ
» φύλακες τῶν τειχέων.

ἘΠειδὴ οὐκ ἠβουλήθη εὐθὺς ἀνοῖξαι κρούσαντι, ἅπτεται μὲν αὐτῆς διά τινος τῶν αἰσθητηρίων, ὅπερ ὀπὴν προσηγόρευσεν. Εἰσάγων τὴν χεῖρα, τουτέστι τὴν ἐνέργειαν. Θερμαίνει δὲ αὐτῆς καὶ πυρσεύει τὸν ἔρωτα. Τοῦτο γὰρ παραδηλοῖ τό, ἡ κοιλία ἐθροήθη ἐπ' αὐτόν. Ὅπερ ὁ Θεοδοτίων ἐθερμάνθη εἴρηκεν. Ἡ δέ, ἀνίσταται μεθυσθεῖσα τῷ πόθῳ, καὶ τρέ-

χει πρὸς τὴν θύραν καὶ φησίν. Ὅτι αἱ χεῖρές μου τὸ κλεῖθρον κατέχουσαι, καὶ ἀνοῖξαι βουλόμεναι, ἔσταξαν σμύρναν πλήρη. Τὴν γὰρ τελείαν περίκειμαι νέκρωσιν, μέχρις αὐτῶν τῶν ἀκροτάτων μορίων. Ἀνοίξασα δὲ τὴν θύραν, ὁρῶ τὸν ἀδελφιδόν μου παρατρέχοντά με, καὶ εἰσελθεῖν οὐ βουλόμενον. Ἐγὼ δὲ ἐξηρτημένη τοῦ φίλτρου, καὶ κρεμαμένη τῶν ἱερῶν αὐτοῦ λόγων, τῆς ζητήσεως εἰχόμην. Καὶ βοῶσα διετέλουν, καὶ διηνεκῶς καλοῦσα. Ὁ δὲ, οὐχ ὑπήκουσεν, οὐδὲ ἀποκρίσεώς με ἠξίου. Περινοστοῦσα δὲ καὶ τὸν ποθούμενον ἐπιζητοῦσα, περιπίπτω τοῖς τὴν πόλιν οἰκοῦσι καὶ φυλάττουσιν. Οἱ δὲ οὐ μόνον με ἠκίσαντο, ἢ ἐμαστίγωσαν, ἀλλὰ καὶ τραύματα περιέθηκαν, καὶ τὸ θέριστρόν μου ἀφείλοντο. Φύλακας δὲ τειχῶν ὑπὸ τῆς νύμφης ἡγοῦμαι καλεῖσθαι, καὶ φύλακας πόλεων, δημαγωγοὺς καὶ ἄρχοντας, καὶ τυράννους. Πάλαι τῇ τοῦ θεοῦ πολεμήσαντας νύμφῃ. Καὶ τοὺς καλλινίκους μάρτυρας πατάξαντάς τε, καὶ τραυματίσαντας. Καὶ τῷ θανάτῳ παραδεδωκότας, καὶ τὰς ψυχὰς γυμνώσαντας. Καὶ τὸ σῶμα ἀπὸ τῶν ψυχῶν οἱονεὶ θέριστρον εἰληφότας. Καὶ γὰρ ἐκεῖνοι τὸν νυμφίον ποθοῦντες, καὶ πάντοτε τοῦτον κηρύττοντες ἐν ταῖς πόλεσι. Καὶ ἀγροῖς καὶ ἐσχατιαῖς, ταῦτα πάντα ὑπέμειναν. Διδασκόμεθα τοίνυν ἐκ τῶν εἰρημένων, πάντα ὄκνον ἀποθέσθαι. Καὶ τῷ νυμφίῳ κρούοντι, παραυτίκα ἀνοίγειν. Ἵνα μὴ ἀπελθόντος, πάντως περινοστεῖν ἀναγκασθῶμεν, καὶ ζητεῖν τὸν ποθούμενον:~

„Ἀδελ-

„ Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς:
„ Καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.

Τοῦ Ψελλοῦ:-

Ἐγώ φησι κἂν ἤνοιξα πᾶσαν ἐμοῦ τὴν θύραν.
Ὡς θ' ὑποδέξασθαι Χριστὸν τὸν λόγον καὶ νυμφίον.
Πλὴν μόλις εἰσελήλυθεν ἡ χεὶρ αὐτοῦ καὶ μόνη.
Ὅθεν τὸ μέγεθος αὐτοῦ, μεγάλως κατεπλάγην.
Καλῶς ἐφιλοσόφησεν ἡ καθαρὰ παρθένος.
Ἡ τῶν ἀνθρώπων φύσις γὰρ ἡ πάνυ βραχυτάτη.
Ὅσον πρὸς φύσιν θείκην τοῦ θαυμαστοῦ νυμφίου.
Ὅλην οὐ δύναται φησὶ τὴν θειοτάτην φύσιν.
Ὅσον ἐν ὑπολήψεσι καὶ ταῖς Θεολογίαις:-

„ Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου. Χεῖρές μου ἔστα-
„ ξαν σμύρναν πλήρη, ἐπὶ χεῖρας τοῦ κλείθρου.

Ἐγώ φησιν ὡς ἤνοιξα δέξασθαι τὸν νυμφίον.
Κἀκεῖνος ἦν ἀχώρητος ἐν τοῖς ἐμοῖς ἐγκάτοις.
Ἀνέστην πρὸς ἐπίπονον καὶ θειοτέραν τάξιν.
Ὅπως τοῖς πόνοις τοῖς πολλοῖς σαρκός τε τῇ νεκρώσει.
Πλατυτέραν ἀνοίξωμαι τοῦ λογισμοῦ τὴν θύραν.
Καὶ τὸν ἀχώρητον τὸ πρὶν εἰσδέξομαι νυμφίον.
Ὅθεν αἱ χεῖρές μου φησὶν μετὰ καὶ τῶν δακτύλων.
Τοῖς πόνοις σμύρναν ἔσταξαν μέχρις αὐτοῦ τοῦ κλείθρου.
Τουτέστιν ἀπονέκρωσιν τὰ μέλη τῆς σαρκός μου.
Καὶ πάσας ἀνεπέτασα τὰς τῆς ψυχῆς αἰσθήσεις:-

„ Ἤνοι-

» Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου. Καὶ ὁ ἀδελφιδός μου
» παρῆλθεν.

Ἀλλὰ κἂν ἤνοιξα φησὶν ἀπάσας μου τὰς θύρας.
Οὐδ᾽ οὕτως ἦν μοι χωρητὸς ὁ λόγος καὶ νυμφίος.

» Ψυχή μου ἐξῆλθεν ἐν τῷ λόγῳ αὐτοῦ.

Εἶτα φησὶν ἀνύψωσα τὸν νοῦν πρὸς τὸν αἰθέρα.
Ποθοῦσα δήπουθεν μαθεῖν σαφές τι περὶ τούτου.
Ἀλλ᾽ ὅμως ὑψηλότερον καὶ τῶν νεκρῶν ὑπῆρχε.
Φησὶ γὰρ εἶτα καθ᾽ ἑξῆς ἡ νύμφη καὶ παρθένος:-

» Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. Ἐζήτησα αὐτὸν
» καὶ οὐχ ὑπήκουσέ μου.

Καὶ πῶς γὰρ εὑρεθήσεται, καὶ κρατηθήσεταί που.
Ὅστις οὐδέν τι πέφυκεν ἐν τῶν γινωσκομένων.
Οὐκ εἶδος, οὐ σχηματισμός. Οὐ τόπος οὐ ποσότης.

» Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες τὴν πόλιν, ἐπά-
» ταξάν με, ἐτραυμάτισάν με.

Ὢ τῆς καλλίστης προκοπῆς τῆς νύμφης καὶ παρθένου.
Ἰδοὺ γὰρ ἀνελήλυθε μέχρι καὶ τῶν Ἀγγέλων.
Οὗτοι γὰρ φύλακες εἰσὶ τῆς πόλεως τῆς ἄνω.
Εὕρωσαν τοίνυν με φησὶν. Τὸν λόγον ψηλαφῶσαν.
Καὶ λόγοις ἐτραυμάτισαν, καὶ κατεπλήγωσάν με.
Τοῦτο καὶ γὰρ ἐξεῖπον μοι τῶν ἄγαν ἀδυνάτων.
Τὸ τὴν κατάληψιν ζητεῖν τῆς ἀκαταληψίας:-

» Ἦραν

» Ἦραν τὸ θέριστρον ἀπ᾽ ἐμοῦ οἱ φύλακες τῶν
» τειχέων.

Ἦραν τὸ περικάλυμμα φησὶ τῶν ὀφθαλμῶν μου.
Ὥστε με καθαρώτερον γνωρίσαι τὸν νυμφίον.
Τοῖς πᾶσιν ἀκατάληπτον ὄντα καὶ τοῖς Ἀγγέλοις.
Ὅθεν ἐπαπορήσασα πάντοθεν ἡ παρθένος.
Τοὺς φύλακας ἐκδυσωπεῖ. Τουτέστιν τοὺς Ἀγγέλους.
Τὸν πόθον ταύτης τὸν πολὺν μηνύσαι τῷ νυμφίῳ.

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

Φησὶ γοῦν ἔτι ἡ νύμφη πρὸς τὰς μαθητευομένας. Ὅπως δὲ τὸν ῥυπαρὸν τῆς ἁμαρτίας ἐξεδυσάμην χιτῶνα, καὶ ἄκρως ἐκαθάρθην, ἀκούσατε:~

» Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς. Καὶ
» ἡ κοιλία μου ἐθροήθη ἐπ᾽ αὐτόν.

Ἤτοι ὁ ἀγαπητός μου ἔπεμψε παρὰ τοῦ Πατρὸς, τὸ ἐκεῖθεν ἐκπορευόμενον ὁμοούσιον αὐτῷ πνεῦμα. Ἐν ᾧ ὥσπερ ἔν τινι χειρὶ ἐνεργεῖ τὰ θεῖα χαρίσματα, διὰ μέσου τοῦ νοός μου, ὡς διά τινος ὀπῆς. Καὶ ὠδινησάσης μου τὴν ἀρχὴν τῆς σοφίας. Τὸν φόβον τοῦ ἀγαπητοῦ μου ὡς κυρίου, τὸ τῆς γαστριμαργίας συνέσταλται πάθος μου. Ἐξ οὗ πᾶν εἶδος ἀκολασίας ὑφίσταται. Καὶ εὐθὺς ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου. Ἤγουν ἠγέρθην καθ᾽ ἔμπρακτον θεωρίαν. Ἀπὸ τῆς ἐμπαθοῦς σχέσεως ἀναπετάσαι τὴν νοητήν μου πύλην τῷ ἀγαπητῷ μου:~

Χεῖρες

» Χεῖρές μου ἔσταξαν σμύρναν. Πάντως αἱ ἐλεγκτικαί μου δυνάμεις, ὧν ἐστι ὁ λόγος ἐκ περιαιρέσεως. Ἔχεαν τοὺς νεκρωτικοὺς τοῦ σαρκικοῦ φρονήματος λόγους καὶ τρόπους :~

» Δάκτυλοί μου σμύρναν πλήρη ἐπὶ χεῖρας τοῦ κλείθρου. Δηλονότι αἱ τοῦ νοῦ καὶ τοῦ λόγου συμπεριφερόμεναι, οἷα χειρὶ δάκτυλοι. Παθητικαί μου δυνάμεις. Αἵ τε αἰσθήσεις, καὶ ἡ ἐπιθυμία, καὶ ὁ θυμός, τὴν διὰ γνώσεως καὶ ἀρετῆς οἰκείαν νέκρωσιν, τελείαν ἔσταξαν ἐπὶ τὰ ἐμπαθῆ ἔργα τῆς δίκην κλείθρου ἀποκλειούσης τοῦ θείου λόγου τὴν εἴσοδον ἀπιστίας. Ὡς καὶ τῶν ταύτης ἔργων, αἱ τροπικῶς χεῖρες κλείθρου ἐκλήθησαν. Συνὴν νεκρωθέντων ταῖς εἰρημέναις παθητικαῖς δυνάμεσιν. Ὅτι δὲ τῶν ἔργων τῆς ἀπιστίας ἡ νέκρωσις, ἀποτέλεσμά ἐστι πίστεως. Αὕτη δὲ φθορὰ τῆς ἀπιστίας ἐστὶ ταύτης, παρ᾽ ἐμοῦ οἷα κλείθρου φθαρείσης ὡς εἴρηται :~

» Ἤνοιξα τῷ ἀδελφιδῷ μου ἐγώ. Τὴν ἑαυτῆς νοητὴν πύλην τῷ ἀγαπητῷ μου ἀναπετάσασα, κατὰ διάθεσιν διὰ πίστεως :~

» Ἀδελφιδός μου παρῆλθεν.

Ἐπειδήπερ νῷ κατ᾽ οὐσίαν οὐχ ὑποπίπτει, ὡς κατ᾽ αὐτὴν ἀκατάληπτος :~

» Ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ.

Ἐξῆλθε δὲ τῆς νοερᾶς ἐνδότητος πρὸς αἴσθησιν διὰ τῆς φυσικῆς θεωρίας, εὑρεῖν ποθοῦσα τὸν νυμφίον αὐτῆς ἐν λόγῳ αὐτοῦ, τῷ ὅτι ἔξελθε ἐν πλέγμασι τῶν ποιμνίων πρὸς αὐτὴν εἰρημένῳ, ἐν τῷ βούλεσθαι ταύτην μαθεῖν, ὅπου σὺ ποιμαίνεις :~

» Καὶ

» Καὶ οὕτως ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.

Ἐν γὰρ τοῖς κτίσμασιν ὁ ἄκτιστος οὐχ εὑρίσκεται.

» Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.

Ὄντα λεγούσης τὸν ὑπὲρ ὄντα, καὶ οὐσίαν τὸν ὑπερούσιον. Καὶ ζωὴν τῶν ὑπέρζωον καὶ πάντων ποιητήν. Οὐχ ὑπήκουσε γὰρ καλούμενος, ἃ μὴ κατ᾽ οὐσίαν ἐστί. Καὶ αὐτὴ μὲν τὸν ἀγαπητόν μου ὡς ἔφην, οὐκ ἠδυνήθην εὑρεῖν. Οἱ δὲ ἅγιοι Ἄγγελοι εὕρωσάν με, οἱ φύλακες οἱ κυκλοῦντες τὴν πόλιν. Εὕρωσάν με δὲ τὴν διάγνοιαν ἀπολωλυῖαν ποτὲ μαθητείαν αὐτῶν. Φωτίζοντες περὶ τὴν θεωρίαν τῶν ὄντων ἀσχολουμένην. Οἱ πᾶσαν τὴν κτίσιν οἷά τινα πόλιν κατὰ τὴν γνῶσιν τῶν ταύτης λόγων περικυκλοῦντες. Ὅροι γάρ εἰσι τῶν ὄντων οἱ τούτων λόγοι, καθ᾽ οὓς καὶ γεγόνασιν, ὡς τὰς φύσεις αὐτῶν περιγράφοντες. Ὅθεν οἱ τούτους γινώσκοντες Ἄγγελοι, ὡς ἐν ὅροις τὴν κτίσιν περιπολοῦσιν. Οὕτω δ᾽ οὗτοι ἐντυχόντες μοι :~

» Ἐπάταξάν με. Ἐτραυμάτισάν με. Ἦραν τὸ θέριστρόν
» μου ἀπ᾽ ἐμοῦ.

Ἤγουν ἐταπείνωσαν. Διδάξαντες τὸ μήπως ὡς δεῖ κατειληφέναι θεόν. Ἐλέγξαντες δέ. Ἔπληξάν με τὸ συνειδός. Ὡς οἰομένης κατειληφέναι τὸν ἄκτιστον ἐν τῷ τοῖς ὀνόμασι τῶν κτιστῶν καταφάσκειν αὐτόν. Ἐν δὲ τῷ διδάξαι με ὑπὲρ πᾶσαν γνῶσιν εἶναι τὸ θεῖον, ἀφείλοντο ἀπ᾽ ἐμοῦ τὸ δίκην θερίστρου συγκομίζοντος στάχυας. Τὴν γνῶσιν τῶν ὄντων συλλέγοντα τὸ λογικόν μου, παύσαντες τοῦτο, τοῦ τὴν ἀκατάληπτον θείαν φύσιν ἄγειν ὑπὸ κατάληψιν. Ταῦτα δὲ εἰργά-

σαντο ἐν ἐμοί. Φύλακες τῶν τειχέων. Ἤτοι τηρηταὶ ἀπαράβατοι τῶν θείων θελημάτων. Ἃ δίκην τειχῶν, τὰς τῶν ὄντων φύσεις φυλάττουσιν, ὡς γεγόνασιν. Αὐτοῖς διηγησαμένη ἡ νύμφη ταῖς νεάνισι. Πάλιν αὐτὰς ὁρκίζει λέγουσα:~

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνά-
» μεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν εὕρητε τὸν
» ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ, ὅτι τετρωμένη ἀ-
» γάπης ἐγώ.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ἘΠιφαίνεται γὰρ πολλάκις, καὶ τοῖς ἀτελέσιν ἔτι, καὶ νηπίοις ὁ νυμφίος, συγκαταβαίνων τῇ ἀσθενείᾳ, καὶ προτρέπων εἰς τελειότητα. Οὐ χρείαν γὰρ ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Ὁρκίζει τοιγαροῦν τὰς νεάνιδας, εἰ εὕροιεν τὸν ἀδελφιδοῦν αὐτῆς ἀπαγγεῖλαι, ὅσον ἔχει περὶ αὐτὸν ἔρωτα. Καὶ ὅτι ἐκλεκτῷ βέλει τῆς ἀγάπης τέτρωται. Ἀγνοοῦσιν αἱ νεάνιδες τὸ τοῦ ἀδελφιδοῦ ὄνομα. Ἔτι γὰρ ἀτελεῖς εἰσί. Καὶ τῶν μυστηρίων τὸ βάθος ἀγνοοῦσι. Διό φησιν:~

» Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ. Ἡ καλὴ ἐν γυναιξί;
» Τί ἀδελφιδοῦ σου ἀπὸ ἀδελφιδοῦ. Ὅτι οὕτως ὥρκισας
» ἡμᾶς;

ΠΟλλάκις γάρ φησιν ἠκούσαμέν σου λεγούσης. Ἀδελφιδός μου, τοῦ ἀδελφιδοῦ μου. Καὶ ἀγνοοῦμεν τῶν ὑπὸ σοῦ λεγομένων, τὴν δύναμιν. Ἐπειδὴ τοίνυν ὅρκος ἐστὶν ἐν μέσῳ, οὐ δυνάμεθα σιγῇ παραπέμψασθαι, τὰ ὑπὸ σοῦ προσ-

ταχθέντα. Δίδαξον ἡμᾶς τοίνυν ὦ καλὴ ἐν γυναιξί. Πασῶν γὰρ εὐπρεπεστέρα τυγχάνεις, καὶ νεανίδων, καὶ παλλακίδων. Τί σοι βούλεται τοῦτο τὸ ὄνομα. Διαπαντὸς γὰρ τοῦτο προφέρεις. Λέγουσα νῦν μὲν τοῦ ἀδελφιδοῦ μου. Νῦν δὲ ὁ ἀδελφιδός μου. Εἰ γὰρ μάθοιμεν παρὰ σοί, τίς τοιοῦτος, καὶ οἷα σημεῖα περίκειται. Θεραπεύσομέν σε καὶ πληρώσομέν σου τὸ πρόσταγμα:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

ΤΑύτας γοῦν πρὸς τελειότητα ἀναβάσεις μου ἐξηγησαμένη:~

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνά-
» μεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν εὕρητε τὸν
» ἀδελφιδόν μου. Τί ἀπαγγείλητε αὐτῷ. Ὅτι τετρωμένη
» ἀγάπης εἰμί.

ΗΓουν δίκην ὅρκου τῷ κατ' ἐμὲ παραδείγματι ἐβεβαίωσα, καὶ ἐστήριξα ὑμᾶς, μαθήτριαί μου. Τὰς ἐν τῇ ἀπαθείᾳ τὴν εἰρήνην ὁρώσας, ἐὰν ἐν ταῖς θεωρητικαῖς δυνάμεσι. Καὶ ταῖς πρακτικαῖς ἰσχύσεσι ταῖς ἐν τῷ παρόντι κόσμῳ τὴν γνῶσιν, καὶ τὴν ἀρετὴν ἐνεργεῖν δυναμέναις. εὕρητε ὡς ἀλήθειαν καὶ ἀγαθὸν τὸν ἀγαπητόν μου, τί ὑπόσχησθε αὐτῷ. Τό, μηκέτι πάντως τὸν μεμολυσμένον χιτῶνα τῆς ἁμαρτίας ἐνδύσασθαι, καὶ ὅλως ἴχνος μολυσμοῦ δέξασθαι. Οὕτω δ' ὑμᾶς ὥρκισα, ὅτι τέτρωμαι τῇ ἀγάπῃ τῇ πρὸς ὑμᾶς. Καὶ ἐρῶ τῆς σωτηρίας ὑμῶν. Ἐντεῦθεν δ' αἱ ταύτης μαθήτριαι εἰς ἀναζήτησιν τοῦ νυμφίου αὐτῆς διεγερθεῖσαι, καὶ δεδοικυῖαι μήπως κατὰ θεωρίαν ἢ κατὰ πρᾶξιν ἀπατηθεῖσαι.

Σκότος, ἀντὶ φωτὸς ὑποδέξωνται. Τοιαύτας ποιεῖται τὰς ἀποκρίσεις πρὸς τὸν διδάσκαλον:~

» Τί ἀδελφιδός σου, ἀπὸ ἀδελφιδοῦ. Ὅτι οὕτως ὥρκισας ἡμᾶς;

ΔΗλαδὴ ἀνάγγειλον ἡμῖν, τίνα εἰσὶ τὰ κατὰ θεωρίαν γνωρίσματα τοῦ ἀγαπητοῦ σου. Ἵνα μὴ τοῦτον παραγνωρίσασαι, τὸν σκότος ὄντα, καὶ φῶς ὑποκρινόμενον, ὑποδεξώμεθα ἀντ' αὐτοῦ. Ἀντὶ τῆς ἀληθείας τῷ ψεύδει περιτύχωσαι. Ἡ ὡραιοτάτη ταῖς νυμφευομέναις αὐτῷ ὡς τελεία καὶ τούτων διδάσκαλος. Καὶ τίνα πάλιν εἰσὶ, τὰ τοῦτον κατὰ πρᾶξιν χαρακτηρίζοντα. Ὅπως μὴ διὰ τὴν καθ' ὑπερβολὴν τῆς ἀρετῆς παθῶν, τοῦτον παραγνωρίσασαι. Ὡς ἀγαθῷ τῷ πονηρῷ περιπέσωμεν, κλαπεῖσαι ἀπὸ τῶν δεξιῶν. Ταῦτα δὲ παρὰ σοῦ ζητοῦμεν μαθεῖν. Ὅτι τὸ πρὸς αὐτὸν φίλτρον ἐνέθου ἡμῖν, δίκην ὅρκου ἀπαναγκάζων ἡμᾶς. Τοῦτον ἀναζητεῖν, καὶ σπουδὴν τούτου ἐπιτυχεῖν:~

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε, ὅτι τετρωμένη ἀγάπης ἐγώ.

Τοῦ Ψελλοῦ:-

ὉΡκίζω δή φησιν ὑμᾶς τῇ τοῦ ἀγροῦ δυνάμει.
Τουτέστιν ἐν τῇ χάριτι τῆς θείας δυναστείας.
Ἵνα τὸν πόθον τὸν ἐμὸν εἴποιτε τῷ νυμφίῳ.
Ταῦτα μὲν λελιπάρηκεν ἡ νύμφη πρὸς Ἀγγέλους.

Ἀμη-

Ἀμηχανοῦντες δὲ λοιπὸν τὴν εὕρεσιν ἐκείνου.
Καὶ τῶν Ἀγγέλων οἱ χοροὶ φασὶ πρὸς τὴν παρθένον.
Ὁποταπός τις πέφυκε φησὶν ἀδελφιδός σου.
Ἐν τίσι γὰρ σχηματισμοῖς χαρακτηρίζεται λέγε.
Δίδαξον ἅπαντα καλῶς ἡμᾶς ὡς ἀγνοοῦντας.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΔΙδάσκει τοίνυν τὰς μαθητευομένας ὑπ' αὐτῆς ἡ νύμφη τὰ τοῦ νυμφίου σημεῖα. Καὶ φησὶν αὐταῖς:~

» Ἀδελφιδός μου λευκὸς καὶ πυρρὸς. Ἐκλελεγμένος ἀπὸ μυριάδων. Κεφαλὴ αὐτοῦ χρυσίον ὀφὰζ. Βόστρυχοι αὐτοῦ ἐλάται μέλανες ὡς κόραξ. Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ περιστεραὶ, ἐπὶ πληρώματος ὑδάτων λελουσμέναι, ἐν γάλακτι. Καθήμεναι ἐπὶ πληρώματος ὑδάτων. Σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος, φύουσαι μυρεψικά. Χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη. Χεῖρες αὐτοῦ τορευταὶ χρυσαὶ πεπληρωμέναι θαρσεῖς. Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον, ἐπὶ λίθου σαπφείρου. Κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. Εἶδος αὐτοῦ ὡς λίβανος ἐκλεκτός. Ὡς κέδροι. Φάρυγξ αὐτοῦ γλυκασμός. Καὶ ὅλος ἐπιθυμία. Οὗτος ἀδελφιδός μου. Καὶ οὗτος πλησίον μου, θυγατέρες Ἱερουσαλήμ.

ἘΡωτησάσας τὰς νεάνιδας. Διδάσκει ἡ νύμφη τοῦ ἀδελφιδοῦ τὰ σημεῖα καὶ φησίν. Ἀδελφιδός μου λευκὸς καὶ πυρρὸς. Καὶ πρῶτον μὲν τίθησι τὸ λευκὸς, δεύτερον δὲ τὸ

πυρ-

πυρρός. Θεὸς γὰρ ἀεὶ ἦν. Ἐγένετο δὲ καὶ ἄνθρωπος· οὐκ ἀφεὶς ὃ ἦν. Οὐδὲ τραπεὶς εἰς ἄνθρωπον, ἀλλ᾽ ἀνθρωπείαν ἐνδυσάμενος φύσιν. Λευκὸς τοίνυν ἐστὶν ὡς θεός. Τί γὰρ φωτὸς λαμπρότερον. Φῶς δέ ἐστιν ἀληθινὸν κατὰ τὴν τῶν Εὐαγγελίων φωνήν. Ἦν γάρ φησι τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Οὐ μόνον δὲ λευκός ἐστιν, ἀλλὰ καὶ πυρρός. Οὐ μόνον γάρ ἐστι θεὸς, ἀλλὰ καὶ ἄνθρωπος. Τὸ δὲ πυρρὸν, παραδηλοῖ τὸ γήϊνον. Διὸ καὶ ἐν τῷ Ἡσαΐᾳ ἐρωτῶσιν. Αἱ δυνάμεις ὁρῶσαι αὐτὸν ἀπὸ γῆς εἰς οὐρανὸν ἀνιόντα, καὶ φησί. Τίς οὗτος ὁ παραγενόμενος Ἐξ Ἐδώμ; Ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ. Οὗτος ὡραῖος ἐν στολῇ βίᾳ μετὰ ἰσχύος. Καὶ θαυμάζουσιν αὐτοῦ καὶ τὸ ἐν σώματι κάλλος. Στολὴν αὐτοῦ τοῦτο προσαγορεύσαντες. Ὡραῖος γάρ ἐστι κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὡς ἄνθρωπος. Τὸ γὰρ θεῖον αὐτοῦ κάλλος, ἀσύγκριτον. Ἐρωτῶσι δὲ αὐτὸν, καὶ φασίν. Ἱνατί σου ἐρυθρὰ τὰ ἱμάτια ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρης καταπεπατημένης, καὶ διδάσκει αὐτοὺς μαθεῖν ποθούσας, τῆς ἐρυθρότητος τὴν αἰτίαν. Καὶ λέγει. Ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐδεὶς ἦν μετ᾽ ἐμοῦ. Οὔτε γὰρ πρέσβυς, οὔτε Ἄγγελος. Ἀλλ᾽ αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς κατὰ τὴν Ἡσαΐου Προφητείαν. Καὶ συνεπάτησα αὐτοὺς φησὶν ἐν τῷ θυμῷ μου. Καὶ συνέθλασα αὐτοὺς ἐν τῇ ὀργῇ μου. Τοὺς τῆς ἀνθρωπείας φύσεως πολεμίους δαίμονας, καὶ τὸν ἐκείνων στρατηγόν. Καὶ κατερράνθη τῷ κατανικήματι αὐτῶν, τὰ ἱμάτιά μου. Ἐν γὰρ τῷ νικᾶν καὶ καταλύειν αὐτῶν τὸ κράτος, ἔλαβον τινὰς αἵματος ῥανίδας ἐν τοῖς ἱματίοις. Δηλοῖ δὲ τὸν τριήμερον θάνατον. Καὶ προσεκτέον ἀκριβῶς, ὡς οὐ λέγει κατερράνθην ἐγὼ, ἀλλὰ κατερράνθη τῷ κατανική-

ματι

ματι αὐτῶν, τὰ ἱμάτιά μου. Τουτέστι τὸ σῶμά μου. Ἀπαθὴς γὰρ ἡ θεία φύσις. Τὸ δὲ σῶμα, τὸ πάθος ἐδέξατο. Συνεργίας μὲν αὐτὸ τοῦ ἑνωθέντος θεοῦ λόγου, πάθους δὲ ἐκεῖθεν οὐκ ἑλκύσαντος. Ἐπειδὴ φύσει τὸ θεῖον πάθους ὑπέρτερον. Διὰ τοῦτο φησὶν ἡ νύμφη. Ἀδελφιδός μου λευκὸς καὶ πυρρὸς ἐκλελεγμένος ἀπὸ μυριάδων:~

Ἁπάσης γὰρ φύσεως κρείττων ἡ ἀπαρχή. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν. Οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Διὸ θυσία ἄμωμος ὑπὲρ παντὸς προσηνέχθη τοῦ γένους. Τούτου χάριν καὶ διὰ Ἡσαΐου τοῦ Προφήτου ὁ τῶν ὅλων προσαγορεύει θεὸς λέγων. Ἰδοὺ ὁ παῖς μου ὃν ηὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν. Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Εἰκότως τοίνυν ἡ νύμφη φησίν:~

» Ἀδελφιδός μου λευκὸς καὶ πυρρὸς ἐκλελεγμένος ἀπὸ
» μυριάδων.

Ἔπρεπε γὰρ τῷ τὰς ἁμαρτίας ἡμῶν ἀνειληφότι. Αἵτινες ἦσαν πυρραὶ ὡς φοινικοῦν καὶ ὡς κόκκινον. Πυρρῷ γενέσθαι καὶ προσαγορευθῆναι:~

» Ἀλλὰ καὶ κεφαλὴ αὐτοῦ φησὶ, χρυσίον ὀφάζ.

Κατὰ μὲν τὸν σύμμαχον, ὡς λίθος τίμιος. Κατὰ δὲ τὴν ἔκδοσιν, ἐπίσης χρυσῷ. Κεφαλὴν δὲ αὐτοῦ, τροπικῶς καλεῖ τὸ θεῖον. Τὸ λευκὸν ἄνω προσαγορευθέν. Διὸ χρυσῷ καὶ λίθῳ αὐτὴν ἀπεικάζει. Ταῖς παρὰ ἀνθρώποις τιμιωτάταις ὕλαις. Οὐ γὰρ εὗρεν ἕτερον ὄνομα:~

» Βόστρυχοι αὐτοῦ, ἐλάται μέλαιναι ὡς κόραξ.

Τὰς ἐκ τῆς κεφαλῆς ἐκείνης προερχομένας χάριτας ἡγοῦμαι, βοστρύχους ὀνομάζεσθαι. Μέλαινας μὲν, κατ' ἄλλο· Ἐλάτας δὲ κατ' ἕτερον ὀνομαζομένας. Οἱ γὰρ ἐλάται, καρποὶ εἰσὶ φοινίκων ἀρσένων, ταῖς θήλεσιν ἐπιβαλλόμενοι, καὶ ὡρίμους γίνεσθαι παρασκευάζοντες τοὺς ἐκείνων καρπούς. Ἐπειδὴ τοίνυν τῶν ποικίλων αὐτοῦ χαρισμάτων ἀπολαύοντες οἱ πεπιστευκότες αὐτῷ. Καρποφοροῦσιν αὐτῷ τὴν εὐσέβειαν. Ἐλάταις εἰκότως ἀπεικάζει τοὺς βοστρύχους. Μέλανας δὲ προσαγορεύει, διὰ τοῦ βαθέως χρώματος καὶ σκοτεινοῦ. Τὸ ἀνέφικτον τῶν οἰκονομιῶν παραδηλῶν:~

» Βόστρυχοι ἐλάται μέλαιναι ὡς κόραξ.

Τὸν δὲ κόρακα ἐν ταῦθα παρείληφε. Τῆς χρόας ἕνεκεν μόνης:~

» Οἱ ὀφθαλμοὶ αὐτοῦ φησὶν, ὡσεὶ περιστεραὶ ἐπὶ πληρώ-
» ματα ὑδάτων.

Πάλιν ἐν ταῦθα διὰ τῶν ὀφθαλμῶν, τὸ ὀπτικὸν αὐτοῦ θαυμάζει. Διὸ ὡς περιστερὰς αὐτοὺς εἶναι λέγει:~

» Ἐπὶ πληρώματος ὕδατον.

Καὶ ἀναμιμνήσκει ἡμᾶς τῆς ἐν τῷ Ἰορδάνῃ κατελθούσης ἐπ' αὐτὸν περιστερᾶς. Καὶ μηδένα ξενιζέτω, τὸ, ὡς περιστεραί. Ἀλλὰ μὴ περιστερὰ ῥηθῆναι. Εὑρίσκομεν γὰρ οὐ μόνον πνεύματα παρὰ τῇ θείᾳ γραφῇ προσαγορευόμενα. Οὐκ ἐπειδὴ πολλὰ πνεύματα ἅγια. Ἓν γάρ ἐστι πνεῦμα ἅγιον παράκλη-

ράκλητος. Ἀλλὰ τὰ τούτου χαρίσματα, πνεύματα οἶδε καλεῖν ὁ μακάριος Παῦλος. Καὶ πνεύματα γάρ φησι Προφητῶν, Προφήταις ὑποτάσσεται. Ἐπειδὴ τοίνυν πάντα εἶχεν ὁ δεσπότης Χριστὸς τοῦ πνεύματος τὰ χαρίσματα κατὰ τὸ ἀνθρώπειον, φησὶν ἡ νύμφη:~

» Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ περιστεραὶ ἐπὶ πληρώμα-
» τος ὑδάτων.

Διηνεκῶς γὰρ, εἰς τὴν τοῦ βαπτίσματος ἀποβλέπουσι δωρεάν. Οἱ ὀφθαλμοὶ αὐτοῦ, τοὺς σωζομένους ἀναμένοντες, καὶ πάντων τὴν σωτηρίαν ποθοῦντες. Ἀλλὰ καὶ λελουμέναι ἐν γάλακτι φησὶν αἱ περιστεραὶ, καὶ καθήμεναι ἐπὶ πληρώματος ὑδάτων. Τοὺς μὲν γὰρ γαλακτοτροφοῦσι ταύτης δεομένους τῆς τροφῆς. Τοὺς δὲ νεουργοῦσι καὶ ἀνανεοῦσιν ὑπὸ τῆς ἁμαρτίας παλαιωθέντας. Καθήμεναι ἐπὶ πληρώματος ὑδάτων καὶ ταῦτα ἁγιάζουσαι. Καὶ εἰκότως ἔφη πληρώματα ὑδάτων. Τοὺς γὰρ ἀτελῆ τὴν πίστιν κεκτημένους, καὶ μετὰ εἰλικρινοῦς πίστεως μὴ προσιόντας, οὐχ ὑποδέχεται ὁ τοιοῦτος ἦν ὁ Σίμων. Ὃς ἐβαπτίσθη μὲν ἀνάξιος δὲ ὤφθη, τῆς χάριτος μὴ πεπληρωμένος, ἀλλ' ἐλλείπων καὶ τὸ τέλειον οὐκ ἔχων τῆς πίστεως:~

» Σιαγόνες αὐτοῦ φησὶν, ὡς φιάλαι τοῦ ἀρώματος φύου-
» μυρεψικά. Καὶ χείλη αὐτοῦ κρίνα, στάζοντα σμύρ-
» νην πλήρη.

Σιαγόνας δὲ πάλιν καὶ χείλη, τὴν διδασκαλίαν καλεῖ, ὄργανα γὰρ τοῦ λόγου, καὶ χείλη καὶ σιαγόνες. Τούτων γὰρ κινουμένων, ἡ ἔναρθρος ἀποτελεῖται φωνή. Φιάλας δὲ ἀρώ-

ματος ταύταις παρηγορεῖ, διὰ τὸ τῆς διδασκαλίας εὐῶδες. Λέγει δὲ αὐτὰς καὶ φύειν μυρεψικά. Ἐκεῖθεν γὰρ τὰς τῆς διδασκαλίας ἀφορμὰς λαμβάνοντες οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, οἱ ὄντινες μυρεψοὶ γίνονται τοῦ κηρύγματος, καὶ τὸ μύρον τῆς ὠφελείας κατασκευάζουσι. Κείνοις δέ φησι ἔοικεν αὐτοῦ τὰ χείλη, λάμπουσι γὰρ οἱ θεῖοι λόγοι, οὐδὲν ἀνθρώπινον ἔχοντες. Οὔτε γὰρ νήθη, οὔτε ὑφαίνεται τὰ κρίνα κατὰ τὴν τοῦ κυρίου διδασκαλίαν. Ἀλλ' ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς ἀμφιέννυσιν αὐτά. Ἐπειδὴ τοίνυν πάσης ἀνθρωπίνης σοφίας οἱ θεῖοι λόγοι γεγυμνῶνται, μόνον δὲ τὸ θεῖον ἔχουσι κάλλος. εἰκότως φησίν. Χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη. Τουτέστι τὴν ἐν τῷ παρόντι βίῳ νέκρωσιν ἐκπαιδεύοντα. Τοιαῦτα γὰρ τὰ τοῦ κυρίου διδάγματα, ὁ μὴ καταλιμπάνων πατέρα καὶ μητέρα καὶ τέκνα, καὶ γυναῖκα καὶ ἀγροὺς καὶ ἀμπελῶνας ἕνεκεν ἐμοῦ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Καὶ εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. Καὶ λαβὼν τὸν σταυρὸν, ἀκολούθει μοι :~

Διὰ τοῦτο στάζει χείλη αὐτοῦ σμύρναν πλήρη. Χεῖρες δὲ αὐτοῦ, τορευταὶ χρυσαῖ πεπληρωμέναι θαρσεῖς. Χεῖρας δὲ, τὴν πρακτικὴν ἀρετὴν ὀνομάζει, ἣν μετὰ πάσης ἀρμονίας μετελήλυθεν. Οἷον διατορευόντων καὶ ἀπευθυνόντων πρᾶξιν ἑκάστην. Διὸ καὶ τῷ Ἰωάννῃ ἔλεγεν. Ἄφες ἄρτι. Οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. Χρυσᾶς δὲ πάλιν καλεῖ, ὡς τιμίους καὶ σπανίους. Τὸ δὲ θαρσεῖς, διὰ τὸ δόκιμον ἔλαβε τοῦ χρυσίου. Ἐκεῖθεν γὰρ λέγει ἡ θεία γραφὴ, τὸ ἀκίβδηλον, καὶ ἄπεφθον, καὶ δόκιμον χρυσίον κομίζεσθαι :~

„Κοιλία αὐτοῦ, πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου. Ὁ γὰρ βυθὸς αὐτοῦ τῶν μυστηρίων καὶ τὸ ταμιεῖον τῆς γνώσεως. Ἔνθα εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. Πυξίον ἐστὶν ἐλεφάντινον, τοῖς τῆς Ἀποκαλύψεως ἀξίοις. Καὶ τῇ μὲν φύσει ἐστὶν ἀκατάληπτος. Διὸ ἐπὶ λίθου Σαπφείρου. Καὶ παραδηλοῖ τὸ βαθὺ καὶ κεκρυμμένον τῶν θείων. Ἀλλ' ὅμως τοῦτο βαρὺ, καὶ κεκρυμμένον καὶ ἄδηλον. Πυξίον ἐλεφάντινον γίνεται τοῖς ἀξίοις. Διὸ καὶ ὁ μακάριος Παῦλος, βοᾷ. Ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε. Καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. Καὶ πάλιν, τὸ μυστήριον αὐτοῦ τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν. Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη. Ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀποστόλοις αὐτοῦ, καὶ Προφήταις. Διὰ τοῦτο τὴν κοιλίαν αὐτοῦ φησὶν, πυξίον εἶναι ἐλεφάντινον ἐπὶ λίθου Σαπφείρου. Καὶ τοὺς μὲν βοστρύχους ὄντας μέλανας ἔφη. Τοῖς γὰρ μήδέπω τῆς θείας Ἀποκαλύψεως τετυχηκόσι, καὶ τὰ δοκοῦντα εἶναι δῆλα, ἔστιν ἄδηλα. Καὶ τὰ αἰσθητὰ, ἀκατάληπτα. Τοῖς δὲ τῶν θείων μυστηρίων ἐντὸς γεγονημένοις, καὶ τὰ ἄδηλα γίνεται φανερά. Διὸ καὶ ὁ μακάριος Δαβὶδ φησί. Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Τοῦτο τοίνυν, καὶ ἡ νύμφη λέγει :~

„Η Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου Σαπφείρου. Κνῆμαι αὐτοῦ, στῦλοι μαρμάρινοι τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. Τὸ ἑδραῖον αὐτοῦ καὶ σταθερὸν καὶ μόνιμον, καὶ διαρκὲς, διὰ τῶν μαρμαρίνων στύλων ἐδήλωσε. Καὶ τὰς βάσεις δὲ αὐτῶν χρυσᾶς ὠνόμασε. Τὸ τίμιον τῶν πράξεων διὰ τούτων παραδηλῶν :~

» Εἶδος αὐτοῦ ὡς λίβανος ἐκλεκτὸς ὡς κέδροι.

Π Άλιν ἐνταῦθα τὸ διπλοῦν ἑρμηνεύει τῶν φύσεων. Καὶ λίβανον μὲν τὴν θείαν προσαγορεύει. Ἐπειδὴ λίβανος κατὰ τὸν νόμον θεῷ προσεφέρετο. Κέδρον δὲ καλεῖ τὴν ἀνθρωπείαν, ὡς σηπεδόνα τῆς ἁμαρτίας οὐ δεξαμένην. Ἄσηπτος γὰρ ἐν ξύλοις, ἡ κέδρος:~

» Φ Άρυγξ αὐτοῦ γλυκασμός. Τί γὰρ τῶν θείων λογίων γλυκύτερον; Διὸ καὶ ὁ μακάριος Δαβίδ. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Καὶ τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Διὸ καὶ οἱ ὑπηρέται τῶν ἀρχιερέων οἱ ἐπ' αὐτὸν ἀποσταλέντες. Γλυκανθέντες καὶ ἑαλωκότες τῷ πόθῳ τῆς τῶν λόγων γλυκύτητος. Φασὶ τοῖς ἀποστείλασιν, οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. Καὶ ἄλλοι ἐβόων. Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μασοὶ οὓς ἐθήλασας. Φάρυγξ τοίνυν αὐτοῦ, γλυκασμός. Ἀλλὰ καὶ ὅλος ἐστὶν ἐπιθυμία. Ἀπορήσας γὰρ λοιπὸν ἄλλων ἐπαίνων, ἑνὶ αὐτὸν ὀνόματι ὀνομάζει. Τί δήποτε γάρ φησι κατὰ μέρος αὐτοῦ διηγοῦμαι τὸ κάλλος. Ὅλος γάρ ἐστιν, ἐπιθυμία. Ἕλκων ἅπαντας, εἰς ἔρωτα. Βιαζόμενος εἰς ἀγάπην. Ἐπιθυμίαν ἐμβάλλων. Οὐ γὰρ τοῖς ὁρῶσι μόνον, ἀλλὰ καὶ τοῖς ἀκούουσι. Ταῦτα εἰρηκυῖα, φησὶ ταῖς νεάνισιν:~

» Οὗτος ὁ ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου θυγατέ-
» ρες Ἱερουσαλήμ.

Ἐ Πειδὴ ἠγνοεῖτε καὶ ἠρωτᾶτε. Τί ὁ ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ. Ἴδου λέγω ὑμῖν. Ὅτι τοιοῦτός ἐστιν ὁ ἀδελφιδός μου

καὶ

καὶ τοιοῦτός ἐστιν ὁ πλησίον μου. Φροντίσατε τοίνυν τοῦ ὅρκου, καὶ μὴ ἀμελήσατε. Ἀλλὰ ζητήσατε αὐτὸν καὶ ἀπαγγείλατέ μοι τὸν πόθον:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:~

Ἀ Πάρχεται λοιπὸν ἡ διδάσκαλος. Ἀπαγγέλλει τοῦ νυμφίου αὐτῆς τὰ γνωρίσματα. Καὶ πρῶτον μὲν καθολικῷ λόγῳ ταῦτα διεξιοῦσα φησίν:~

Ἀ Δελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκλελοχισμένος ἀπὸ μυριάδων, ἤτοι ὁ ἀγαπητός μου. Κατὰ μὲν τὴν θείαν φύσιν, λευκὸς μὲν ὡς ἀπρόσιτον φῶς. Πυῤῥὸς δὲ, οἷα χρυσὸς τῶν λοιπῶν ὑλῶν τιμιώτερος, ὡς ὑπέρχρυσος. Καὶ ἐκλελοχισμένος ἀπὸ μυριάδων, ὡς μόνος ἐκ Πατρὸς ἀχρόνως τεχθείς. Κατὰ δὲ τὴν ἀνθρωπίνην, λευκὸς μὲν, ὡς καθαρὸς διὰ τὸ ἀναμάρτητον, πυῤῥὸς δὲ, ὡς τὸ οἰκεῖον αἷμα ἐν τῷ σταυρῷ ἐκχέας ὑπὲρ ἡμῶν. Καὶ ἐκλελοχισμένος ἀπὸ μυριάδων ὡς μόνος αὐτὸς ἀπὸ πάντων ἀσπόρως ἐκ παρθένου τεχθείς. Καὶ οὕτω μὲν θεωρεῖται οὗτος ἐν πνεύματι. Ἐν πείρᾳ δὲ τούτου κατὰ πρᾶξιν γίνονται. Ὡς μὲν λευκοῦ, οἱ ἀπὸ παντὸς καθαρθέντες ῥύπου ἁμαρτημάτων. Ὡς δὲ πυῤῥοῦ οἱ ποικίλοις πειρασμοῖς περιπεσόντες. Καὶ τῷ ἐντεῦθεν τῆς ὑπομονῆς δοκιμίῳ ὡς χρυσοῦ ἐκ χωνευτηρίου πυῤῥότης ἀναλάμψαντος. Καὶ ὡς ἐκλελοχισμένοι ἀπὸ μυριάδων, οἱ ἐν τῇ τῆς ἐγκρατείας καθάρσει καὶ τῇ ὑπομονῇ. Μήτι καταδεξάμενοι πάθος ἐν ἑαυτοῖς μεσάσαι ἀνθρώπινον. Καὶ διὰ τοῦτο τῆς ταπεινοφροσύνης μὴ ἐκπεπτωκότες. Εἶτα καὶ κατὰ μέρος ἡ νύμφη τὴν τῶν γνωρισμάτων, τοῦ νυμφίου αὐτῆς ποιουμένης ἐξήγησιν φάσκει:~

Καὶ

» Κεφαλὴ αὐτοῦ χρυσίον κεφάζ. Ἤγουν ὁ τοῦ τὸν κατ' οὐσίαν γεννῶν ἀπόρρητος νοῦς. Πρὸς ὃν ὡς κεφαλὴν ὁ ἀρρήτως αὐτοῦ λόγος διὰ τοῦ συμφυοῦς πνεύματος ἀνάγει τὸν ἑπόμενον νοῦν. Οἷα χρυσίον καθαρώτατον τῶν λοιπῶν ὑλῶν ὑπερκείμενον. Πάντων κατὰ πάντα τρόπον ἀπείρως ἐξῴκισται. Κεφαλὴ γάρ ἐστι τοῦ Χριστοῦ κατὰ τὸν θεῖον Ἀπόστολον, ὁ Θεὸς καὶ Πατήρ. Τούτων δ' οὕτω πάντων ὑπεξῃρημένων θεωρειῶν. Καὶ κατὰ τὸ ἐγχωροῦν, ἐν πείρᾳ αὐτοῦ γίνεται, ὁ μὴ δὲ τῶν ὄντων ὑπὲρ ἄνω τεθεὶς τοῦ ταῖς ἀναποδείκτοις μυσταγωγίαις, ἀγνώστοις νοουμένου ἢ γινωσκομένου ὑπερνόησιν, λόγου τοῦ τῆς πίστεως. Καὶ ὑπὲρ τοῦ τηρῆσαι τοῦτον, ὅλον ἑαυτὸν τοῖς πειρασμοῖς παραδιδούς. Κἀντεῦθεν ὡς ἐν καμίνῳ καθαρώτατον χρυσίον φυλάττων τὴν πίστιν ἀμείωτον:~

Βόστρυχοι αὐτοῦ, ἐλάται μέλαιναι ὡς κόραξ. Ἤτοι αἱ ἐν ἁγίῳ πνεύματι ὑπὸ τοῦ μονογενοῦς ἐκπληρούμεναι τοῦ Πατρὸς εὐδοκίαι. Τὸ ὂν ἡ ζωή. Ἡ σοφία, καὶ τὰ ὅμοια. Ἅπερ κατακαλύπτουσι τὰς κατὰ φύσιν οἷά τινα κεφαλὴν τρίχες, τὴν μίαν ἀρχὴν καὶ αἰτίαν τῶν ὅλων. Ὑποκατάληψιν ποιεῖν δοκοῦντα, τὸν ἀκατάληπτον. Ἐλάται μὲν εἰσίν, ὑψηλά τε καὶ οὐρανομήκη δένδρα, ὡς τῶν τούτων κατὰ γνώμην ἀντεχομένους ἐν τῷ προνοεῖσθαι δι' ἀγάπης τῶν ἀγχομένων. Ἀνάγουσαι κατὰ πρᾶξιν μιμητικῶς, πρὸς τὸ ὕψος τῆς θείας μου καειότητος. Μέλανες δ' οἷα κόρακες, ὡς τῷ ἀνεξερευνήτῳ τῶν κειμάτων τῶν θείων συστέλλουσαι, κατὰ θεωρίαν τὸν νοερὸν ὀφθαλμόν. Καὶ γὰρ ὥσπερ τὸ λευκὸν χρῶμα ὑφαπλοῖ τὴν ὄψιν, οὕτω τὸ μέλαν συστέλλει:~

» Οἱ

» Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραί, ἐπὶ πληρώματος
» ὑδάτων.

Ἤγουν αἱ τοῦ παναγίου πνεύματος ἐνέργειαι. Ὀφθαλμοὶ οὖν προσαγορευόμεναι, ὅτι δι' αὐτῶν πέφυκεν ἐπισκοπεῖν τὰ ἐπὶ γῆς ὁ Θεὸς ὥστινες περιστεραί, ἐπὶ πλήρεις ὑδάτων δεξαμενάς. Ὡς μόνον ταῖς ἐπὶ ταῖς ἀρεταῖς οὔσας, πληρώματα τῶν ὑδάτων, οὐρανόθεν κατερχομένων, θείων ἐντολῶν. Διὰ τὸ τοὺς τούτων λόγους τῇ πράξει πληροῦσθαι τῶν ἐντολῶν. Ὁρμᾶν δ' αἱ τοιαῦται ἐνέργειαι ἐπὶ ταῖς ἀρεταῖς εἴρηνται. Ὅτι ἐὰν μὴ κύριος δι' αὐτῶν οἰκοδομήσῃ κατ' ἀρετὴν ὥστινα οἶκον αὐτοῦ. Τὴν τὸ ἀγαθὸν προαιρουμένην ψυχήν, εἰς μάτην ἐκοπίασεν ὁ οἰκοδομῶν:~

» Ὡς περιστεραὶ δέ φησι λελουμέναι ἐν Γάλακτι. Κα-
» θήμεναι ἐπὶ πληρώματα.

Δηλαδὴ καθαραὶ φύσεις εἰσὶ καὶ παντελῶς ἀμόλυντοι αἱ τοῦ πνεύματος ἐνέργειαι. Ἐπαναπαυόμεναι ταῖς τούτων κατὰ χάριν πεπληρωμέναις ψυχαῖς. Ὡς καθαρθείσαις καὶ φωτισθείσαις, καὶ τελειωθείσαις. Καὶ οἱ μὲν ὀφθαλμοὶ τοῦ νυμφίου τοιοῦτοι:~

» Οἱ δὲ σιαγόνες αὐτοῦ, ὡς φιάλαι τοῦ ἀρώματος, φύου-
» σαι μυρεψικά.

Ἤτουν τῆς περὶ πάντα τοῦ Θεοῦ προνοίας, οἱ λόγοι. Οἵπερ ὥστινες σιαγόνες ταῖς ἐνεργείαις οἱονεὶ κινοῦνται. Καὶ τοὺς σωτηρίους τῶν ἀρετῶν τρόπους διδάσκουσι. Καὶ διὰ τούτων πνευματικῶς τρέφουσι. Λεαίνοντές πως τὸ κατ' οὐσίαν ἀ-

κατα-

ἐκκαζευόντων τοῦ θεοῦ. Ὡς σαφηνίζοντες αὐτὸ κατὰ τὴν τούτων ἐνέργειαν πεπλήρωται. Τοὺς εὐωδιάζοντες ταῖς οἰκείαις ἐνεργείαις, τὰς τῶν πιστῶν ψυχάς, παναγίου πνεύματος. Οἷαί τινες ἀρωματοφόροι φιάλαι, περιφέροντες ἐν παντοίᾳ μυρεψικὰ εἴδη τοὺς εἰρημένους πολυειδεῖς πνευματικοὺς τρόπους. Καὶ γὰρ ὁ πάντων προνοητὴς τοῦ θεοῦ, καὶ Πατρὸς λόγος, ἐν ἁγίῳ πνεύματι, ὡς ὁμοουσίῳ. Τὴν περὶ τὰ πάντα ἐπιτελεῖ πρόνοιαν, καὶ οὕτω μὲν αἱ σιαγόνες:~

„ Τὰ δὲ χείλη αὐτοῦ κρίνα, στάζοντα σμύρναν πλήρη.

ΗΤοι τῆς περὶ πάντα θείας κρίσεως οἱ λόγοι. Καθ' οὓς ὁ τοῦ θεοῦ λόγος διανέμων ἑκάστῃ φύσει καὶ γνώμῃ τὰ πρόσφορα ὥσπερ χείλεσι τούτοις ἑκάστην αὐτῶν οἱονεὶ κατὰ μετοχὴν περιπτύσσεται, ὑπάρχουσι τῇ λαμπρότητι διαφανεῖς ὡς κρίνα. Τηροῦντες τὰς καθ' ἕκαστα φύσεις κατὰ τοὺς ἰδίους αὐτῶν λόγους, ἀτρέπτους καὶ ἀσυγχύτους. Καὶ διδάσκοντες τοὺς τρόπους τῆς παντελοῦς νεκρώσεως πασῶν τῶν κατὰ προαίρεσιν παρὰ φύσιν κινήσεων:~

„ Χεῖρες αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι
„ θαρσεῖς.

ΗΤοι οἱ καθόλου ποιητικοὶ καὶ ἀνανεωτικοὶ τῶν ὄντων λόγοι. Οἱ τῆς δημιουργίας φημὶ καὶ τῆς προνοίας καὶ τῆς κρίσεως. Καθ' οὓς τὰ πάντα ὁ τοῦ θεοῦ λόγος πεποίηκέ τε καὶ διεξάγει καὶ ἄφυκτα συντηρεῖ. Τετορευμένα τε εἰσὶ τῇ ποικίλῃ αὐτοῦ σοφίᾳ. Καὶ καθαρεύοντα μέν, οἷα χρυσὸς ἀκίβδηλος, πάσης ἐννοίας ψευδοῦς. Ὡς δὲ τοῦ θαρσεῖς, Ἐπισκοπῆς χαρᾶς ἑρμηνευόμενον, πεπληρωμένοι ἀληθοῦς κατανοήσεως

τῆς

τῆς τὰ πάντα εὐφραινούσης ἀγαθότητος αὐτοῦ. Ἐτυμολογουμένης παρὰ τὸ ἄγαν εἶναι, ἢ τεθεῖσθαι, ἢ θέειν. Τὸ μὲν γὰρ εἶναι τῶν ὄντων τὸ ὑπερεῖναι τοῦ θεοῦ δηλοῖ. Τὸ δὲ τεθεῖσθαι, πάντως τὸ ἀτρέπτους τοὺς τούτων λόγους εἶναι, τὸ τούτου κατ' οὐσίαν πάμπαν ἀκίνητον. Τὸ δὲ θέειν δηλαδή, ταῖς ἐξ ἀλλήλων κινεῖσθαι διαδοχαῖς τὸ κατ' ἐνέργειαν αὐτοῦ ἀκίνητον:~

„ Κοιλία αὐτοῦ, πυξίον ἐλεφάντινον ἐπὶ λίθου Σαπ-
„ φείρου.

ΔΗλονότι ἡ φέρουσα ἐν ἑαυτῇ. Κατ' αἰτίαν τοὺς τῶν ὄντων λόγους τούτου σοφία, ὑποκείμενον μὲν ἔχει κατ' οὐσίαν τὰ ἀόρατα αὐτοῦ. Οἷα λίθον Σάπφειρον διά τε τὸ στερρόν, καὶ ἀκίνητον, καὶ τὸ τοῦ χρώματος κυανόν. Ἐγκεγράπται δὲ κατ' ἐνέργειαν τῇ κτίσει, καθ' ἥν, οἷά τις Βίβλος ἐλεφαντίνη λεία καὶ καθαρά, τὴν θείαν δόξαν τε καὶ μεγαλοπρέπειαν, ἀληθῶς τε, καὶ ἀειδήλως παρίστησι. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, κατὰ τὸν μέγαν Ἀπόστολον. Καὶ τοιουτρόπως ὁ νοῦς, ἐν μὲν τῷ κατ' ἐνέργειαν τοῦ θεοῦ καταληπτῷ, ὁρᾷ τὸ κατ' οὐσίαν αὐτοῦ ἀκατάληπτον. Ἐν δὲ τῷ κατ' οὐσίαν ἀκαταλήπτῳ ἀναπαύεται μέν, τοῦ ἐν τῷ καταθεωρεῖν δρόμῳ ἄλγους. Ὁ γὰρ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. Ἐνδυναμοῦται δέ πως πάλιν τῇ θεωρίᾳ τῶν ὄντων. Ὥσπερ καὶ ὁ αἰσθητὸς ὀφθαλμός, ἀτονίσας τὴν ὄψιν διαχυθεὶς τῷ λευκῷ χρώματι, αὖθις ἀνακαινίζεται. Κατ' αὐτὴν συστελλομένην τῇ παραμιξίᾳ τοῦ μέλανος. Καὶ ἡ μὲν κοιλία τοιαύτη:~

„ Αἱ

» Αἱ δὲ κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι· τεθεμελιωμέ-
» νοι, ἐπὶ βάσεις χρυσᾶς.

Ἤγουν αἱ καθ' ὅλου, καὶ τῶν ἄλλων πασῶν περιληπτικαὶ δύο αὐτοῦ ἐντολαί. Ἡ εἰς αὐτὸν δηλαδὴ ἀγάπη καὶ εἰς τὸν πλησίον. Αἷς αὐτὸς ὁ τοῦ θεοῦ λόγος, οἷα ἐπὶ κνήμαις ἐν ταῖς πισταῖς βαίνει ψυχαῖς. Καὶ τὸν δρόμον ἐν ταύταις ποιεῖται κατὰ γνῶσιν καὶ ἀρετήν. Οἵτινες στῦλοι μαρμάρινοι, τῇ ἀρραγεῖ πίστει καὶ τῷ λαμπρῷ βίῳ ὑπερανέχουσαι αὐτὴν τὸν πιστευόμενον λόγον, ὥστε δι' ἡμᾶς τὸ ὄνομα αὐτοῦ καταπίπτειν εἰς τὸ βλασφημεῖσθαι τοῖς ἔθνεσιν, ἠδραιωμέναι εἰσίν. Ὡς ἐπί τισι χρυσαῖς βάσεσι τῇ ἀληθείᾳ τε καὶ τῷ ἀγαθῷ. Οἷς διὰ τὸ κατ' οὐσίαν ἄτρεπτον, καὶ τὸ κατ' ἐνέργειαν εὐεργετικόν, τὸ θεῖον δηλοῦται, ὃ πάσης ὑπέρκειται φύσεως. Μετὰ γοῦν τὴν κατὰ μέρος τοῦ νυμφίου ἐξήγησιν. Καθολικῶς πάλιν ἡ νύμφη τὰ περὶ αὐτοῦ ἀπαγγέλλουσα ταῖς μαθητευομέναις φησίν:~

» Εἶδος αὐτοῦ, ὡς λίβανος ἐκλεκτὸς ὡς κέδρος.

Ἤτοι ἡ ἐνέργεια αὐτοῦ, καθ' ἣν αὐτὸς ἡ τοῦ θεοῦ καὶ Πατρὸς ἐνυπόστατος δύναμις χαρακτηρίζεται, πᾶσιν ἐστὶ διαφανὴς καὶ κατάδηλος, ὡς τὸ ὄρος ὁ λίβανος. Διὰ τὸ ὑπερκεῖσθαι τῶν αὐτῷ παρακειμένων ὀρῶν. Τὸ γὰρ ἀγαθόν, ὃ τὴν θείαν σημαίνει ἐνέργειαν. Φύσει παρὰ πᾶσιν ἐστὶν αἱρετόν. Ὅτι τούτου τὰ πάντα ἐφίεται. Διόπερ κατὰ τὴν εἰρημένην ἐνέργειαν, ἐκλεκτὸς ὁ νυμφίος ἐστίν, ἀπὸ τοῦ σκότους ὄντως, καὶ φῶς ὑποκρινομένου. Ὥσπερ οἱ κέδροι παρεικαζόμενοι δίκαιοι ἀπὸ τῶν ἀδίκων καὶ πονηρῶν:~

» Φά-

» Φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία.

Ἤγουν ἡ καινὴ διαθήκη. Δι' ἧς ὡς διά τινος φάρυγγος βρῶμα ποιεῖται τὴν τῶν ἀνθρώπων σωτηρίαν. Γλυκεῖα ἐστὶ τῷ λάρυγγι ἡμῶν, ὡς τοὺς ἡδεῖς καὶ ποτίμους λόγους τῶν ἀρετῶν βλύζουσα. Ὅθεν καὶ ὅλος ἐπιθυμία ἐστίν, ὡς ἔσχατον ὀρεκτόν:~

» Οὗτος ἀδελφιδός μου. Καὶ οὗτος πλησίον μου, θυγατέ-
» ρες Ἱερουσαλήμ.

Εἴτουν οὗτος ὑπάρχει ὁ ἀγαπητός μου, οὗ κατὰ μέρος τε καὶ καθόλου ἐξηγησάμην ὑμῖν τὰ γνωρίσματα, καὶ οὗτος ἐστὶν ὁ χρηματίσας πλησίον μου. Ἐγγισάσης τούτῳ, ὡς μὲν ἀληθείᾳ, κατὰ ἄληστον γνῶσιν. Ὡς δ' ἀγαθῷ, κατ' ἔμπρακτον πίστιν. Μαθήτριαί μου. Τῆς ὀρώσης ἐν τῇ παντὸς πάθους ἀπαλλαγῇ, τὴν θείαν εἰρήνην καὶ ἀνενόχλητον εὐφροσύνην, πάντως τὴν ἐντὸς ἡμῖν τοῦ Θεοῦ Βασιλείαν:~

Τοῦ Ψελλοῦ:-

» Λευκὸς καὶ πυρρὸς ἐκλελοχισμένος ἀπὸ μυριάδων.

Ἐκεῖνος πέφυκε φησὶν ὄντως ἀδελφιδός μου.
Ὃς ἐν σταυρῷ τὴν ἄχραντον πλευρὰν λελογχευμένος,
Αἷμα καὶ ὕδωρ ἔβλυσεν, ἀνθρώποις παραδόξως.
Ὡς ἀπὸ πάντων τῶν βροτῶν μόνος ἐκ τῆς παρθένου.
Ἄνευ λοχείας προελθών, ἀνθρώποις ἐλογίσθη.

» Κεφαλὴ δὲ αὐτοῦ χρυσίον κεφάζ.

Ὅστις τυγχάνει καθαρὸς φησὶν ἐξ ἁμαρτίας.

Gg 2 » Βοστρυ-

» Βόστρυχοι αὐτοῦ ἐλάται μέλανοι ὡσεὶ κόρακας.

Ὕπνος πέφυκε φησὶν, κόσμος βοστρύχων δίκην.
Παῦλος καὶ Πέτρος οἱ τὸ πρὶν ὄντες ζεζοφωμένοι.
Καὶ πᾶς ἐξ ἔθνους βαπτισθεὶς καὶ προσελθὼν ἐκείνῳ.

» Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματος ὑδά-
» των λελουμέναι.

Οὗτινος πάλιν ὀφθαλμοὶ τυγχάνουσι Προφῆται.
Ἀκέραιοι τὴν φρόνησιν καὶ θαυμαστοὶ τοῖς τρόποις.
Ἐπὶ πληρώματος φησὶν ὑδάτων λελουμένοι.
Ἤγουν ἐν πάσαις ἀρεταῖς ὄντες ἠγκαλισμένοι.
Ἐν γάλακτι καθήμενοι πλήρωμα τῶν ὑδάτων.
Οὐκ ἐπιδεικτικῶς φησὶν τὴν ἀρετὴν αὐχοῦντες.

» Σιαγόνες αὐτοῦ, ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι
» μυρεψικά. Χείλη αὐτοῦ κρίνα. Στάζοντα σμύρ-
» ναν πλήρη.

Τὸν πάγχρυσον αἰνίττεται Χρυσόστομον ὁ λόγος.
Καὶ τῶν αὐτῷ τυγχάνοντας ἴσους καὶ διδασκάλους.
Τὸν μέγιστον Βασίλειον Γρηγόριον τὸν πάνυ.
Τοὺς ἐκ χειλέων στάζοντας λόγους διδασκαλίας.
Καὶ μέλιτος ἡδύτερον, οὔπερ οἱ γεγευμένοι.
Σμύρνης ἐμπίπλανται πολλῆς τοῦ λόγου τῇ δυνάμει.
Ἤγουν νεκροῦσι τὰ τῆς γῆς αὐτῶν ἐν πόνοις μέλη.
Καὶ συσταυροῦνται τῷ Χριστῷ καὶ συνθάπτονται τούτῳ.

» Χεῖ-

» Χεῖρες αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι θαρσεῖς.
» Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον, ἐπὶ λίθου σαπφεί-
» ρου. Κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι τεθεμελιωμένοι
» ἐπὶ χρυσῷ.

Ταῦτα μὲν οὖν ἡ καθαρὰ παρθένος τε καὶ νύμφη.
Τοῖς φύλαξιν ὡμίλησε, τουτέστι τοῖς Ἀγγέλοις.
Τὸ κάλλος ἀπεμφαίνουσα δῆθεν τοῦ νυμφίου.
Σὺ δέ γε πάσας τροπικῶς τὰς ἐξηγήσεις δέχου.
Ἐπεὶ γὰρ πάντων κεφαλὴ Χριστὸς τυγχάνει μόνος.
Σῶμα δὲ τούτου πέφυκεν ἡ θεία Ἐκκλησία.
Καὶ μέλη τούτου λέγομεν, καὶ μέρος τῶν ἁγίους.
Τὸν μὲν ἐκεῖνον τράχηλον. Τὸν δ' αὖ ἐκείνου πόδα.
Λοιπὸν καὶ χεῖρας γίνωσκε τούτου τετορευμένας.
Τοὺς Ἀποστόλους τῶν σεπτοὺς καὶ θείους ἱεράρχας.
Τοὺς οἰκονόμους τῶν πιστοὺς τῆς χάριτος τῆς θείας.
Οἵτινες κατετόρευσαν αὐτῶν εὐεπιβόλως.
Ἅπασαν ἀποξύσαντες ἀφ' ἑαυτῶν κακίαν.
Ὅθεν ἐλπίδος ἀγαθῶν εἰσὶν ἐμπεπλησμένοι.
Τούτου δὲ πάλιν γίνωσκε κοιλίαν καὶ πυξίον.
Τῶν ἐναρέτων τὰς ψυχὰς πάντων καὶ τὰς καρδίας.
Ἐν αἷς ὁ λόγος τοῦ Θεοῦ, ἔστιν ἐγγεγραμμένος.
Οἵτινες ἔχουσιν αὐτῶν τὸν νοῦν καὶ τὰς αἰσθήσεις.
Τῷ Βασιλεῖ τῶν οὐρανῶν ἐπαναπεμπομένας.
Ὁ λίθος γὰρ ὁ σάπφειρος τοῦτο σημαίνειν θέλει.
Ἔστι γὰρ οὐρανοειδὴς ὁ λόγος ἐστὶ μόνος.
Κνήμας δὲ τούτου γίνωσκε, Πέτρον τὸν κορυφαῖον.

Ἐπ

Ἐν τούτῳ γὰρ ὁ κύριος αὐτοῦ τὴν Ἐκκλησίαν.
Οἰκοδομεῖν ὑπέσχετο, καὶ τοῖς Εὐαγγελίοις.

» Εἶδος αὐτοῦ ὡς λίβανος ἐκλεκτός.

Εἶδος αὐτοῦ δὲ γίνωσκε τουτέστι τοῦ νυμφίου.
Μέγιστον ὄντως καὶ φρικτὸν καὶ θαυμαστὸν καὶ θεῖον.
Ταῦτα γὰρ οἶμαι ἀληθῶς, σημαίνειν τοῦ νυμφίου.
Φάρυγξ δὲ τούτου γλυκασμὸς καὶ ὅλος ἐπιθυμίας.
Φάρυγξ δὲ τούτου πέφυκεν ὁ πρόδρομος ὁ θεῖος.
Φωνὴ γὰρ ὄντως λέγεται τοῦ λόγου καὶ νυμφίου.

ΘΕΟΔΩΡΗΤΟΥ.

Μαθοῦσαι τοίνυν ἐκεῖναι τοῦ νυμφίου τὰ σημεῖα. Πάλιν ἐπερωτῶσι καὶ πυνθάνονται, ποῦ πορεύεται καὶ ποῦ ἐξεδήμησε. Καί φησι.

» Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδόςσου ἡ καλὴ ἐν γυναιξί; ποῦ
» ἀπέβλεψεν ὁ ἀδελφιδόςσου καὶ ζητήσομεν αὐτὸν
» μετὰ σοῦ.

Εἰ γὰρ μάθοιμεν τὸν τῆς ἀποδημίας τόπον, οὐκ ἀμελήσομεν. Ἀλλὰ κοινωνήσομέν σοι τοῦ πόνου, καὶ ζητήσομεν ὃν ποθεῖς. Πάλιν τοίνυν αὐταῖς ἀποκρίνεται λέγουσα:~

» Ἀδελφιδόςμου κατέβη εἰς κῆπον αὐτοῦ. Εἰς φάλας
» τοῦ ἀρώματος. Πιμαίνειν ἐν κήποις, καὶ συλλέγειν
» κρίνα.

Ζητητέον δέ, τί δήποτε καὶ ἕνα λέγει κῆπον, καὶ πολλούς. Κατέβη γὰρ εἰς κῆπον αὐτοῦ. Ποιμαίνειν ἐν κήποις. καὶ γὰρ

μία

μία ἐστὶν Ἐκκλησία κατὰ τὸν μακάριον Παῦλον. Ἡρμοσάμην γὰρ ὑμᾶς φησὶν ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν, παραστῆσαι τῷ Χριστῷ. Καὶ πάλιν. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, ὡς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν. Ἀλλὰ καὶ πολλὰς δὲ αὐτὰς πάλιν ὁ Μακάριος Παῦλος καλεῖ. Οὐ κατὰ τὴν πνευματικὴν, ἀλλὰ κατὰ τὴν τοπικὴν διαίρεσιν τοῦτο ποιῶν. Παῦλος γάρ φησιν Ἀπόστολος. Οὐκ ἀπ' ἀνθρώπων, ἀλλὰ δι' ἀνθρώπων. Ταῖς Ἐκκλησίαις τῆς Γαλατίας. Καὶ Κορινθίους δὲ γράφων, φησίν. Αἱ γυναῖκες ὑμῶν, ἐν ταῖς Ἐκκλησίαις σιγάτωσαν. Διὰ τοῦτο καὶ ἡ νύμφη φησί:~

Ἀδελφιδόςμου κατέβη εἰς κῆπον αὐτοῦ, εἰς φιάλας τοῦ ἀρώματος, ποιμαίνειν ἐν κήποις, καὶ συλλέγειν κρίνα. Πάσας γὰρ ποιμαίνει τὰς Ἐκκλησίας, Καὶ χαίρει ταῖς φιάλαις τοῦ ἀρώματος, τοῖς τὴν εὐοσμίαν αὐτοῦ κεκτημένοις. Καὶ τὰς τῆς νύμφης τὸ κάλλος μιμησαμένας. Καὶ κρίνα γενομένας, συλλέγει, καὶ τῇ νύμφῃ συνάπτει, τούτοις ἐπιφέρει ἡ νύμφη:~

» Ἐγὼ τῷ ἀδελφιδῷμου, καὶ ὁ ἀδελφιδόςμου ἐμοί. Ὁ ποι-
» μαίνων ἐν τοῖς κρίνοις.

Αὐτοῦ γὰρ ἐξήρτημαι, καὶ αὐτῷ ἐμαυτὴν ἀνέθηκα. Καὶ γὰρ αὐτός με πάσης προτετίμηκε τῆς οἰκουμένης. Καὶ ἑαυτῷ συνῆψε, καὶ γεγηρακυῖαν ἀνενεώσατο. Καὶ πενομένην ἐπλούτισε. Καὶ δυσειδῆ οὖσαν, ὡραίαν ἀπέφηνε. Καὶ μώλωπας ἔχουσαν σεσηπότας καὶ δυσώδεις ἰάσατο, καὶ εὐωδίας ἐπλήρωσε. Διὰ τοῦτο λέγω, ἐγὼ τῷ ἀδελφιδῷμου. Καὶ ὁ ἀδελφιδόςμου ἐμοί. Ὁ ποιμαίνων ἐν τοῖς κρίνοις. Ἢ ὁ ποι-

μαίνων

μαίνων τὰ ἄνθη κατὰ τὸν Σύμμαχον. Καὶ γὰρ ὑπὸ γινομένους κρίνας, ποιμαίνει. Καὶ ἐν κρίνοις, ὑπὸ ἀξίους ποιμαίνει. Οὐδὲν δὲ τῶν θείων γραφῶν εὐωδέστερον:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:-

Ἐπεὶ δ' αἱ μαθήτριαι παρὰ τῆς διδασκάλου, τίς ἐστιν ὁ ταύτης νυμφίος διὰ τῶν αὐτοῦ γνωρισμάτων ἀνεδιδάχθησαν. Βουλόμεναι λοιπὸν μαθεῖν, καὶ ὅπου ἐστὶν ἥκει. Φασὶ πρὸς αὐτήν:~

„ Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξί;

Δῆλα δὴ ἀνάγγειλον ἡμῖν ἔνθα ἐνδημεῖ ὁ ἀγαπητός σου. Ἡ ἐν ταῖς ἀπολεσάσαις ψυχαῖς διὰ τὴν τῆς θείας ἐντολῆς παράβασιν. Τὸ κάλλος τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. Ἀπολαβοῦσα τοῦτο πάλιν ἐν τῷ νυμφευθῆναι τῷ λόγῳ τοῦ Θεοῦ. Ἐπειδὴ δι' ὧν ἀκηκόαμεν γνωρισμάτων αὐτοῦ, οὔπω ὁρῶμεν αὐτὸν ἐν ἡμῖν:~

„ Ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου. Καὶ ζητήσωμεν
„ αὐτὸν μετὰ σοῦ;

Δῆλον ὅτι ποῦ ὁ ἀγαπητός σου ἀόρατος ὤν, ὁρᾶσθαι ἠθέλησε, καὶ ἅμα σοὶ ὁδηγῷ πρὸς τὰ κρείττονα. Ψυλαφήσομεν αὐτὸν κατὰ πρᾶξιν καὶ θεωρίαν. Ἡ δὲ ἀποκριναμένη λέγει πρὸς αὐτάς:~

„ Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ. Εἰς φιάλας τοῦ
„ ἀρώματος.

Ἤτοι ὁ ἀόρατος κατὰ τὸ ὕψος τῆς ἑαυτοῦ οὐσίας, ἀγαπητός-

μου

μου κατέβη κατ' ἐνέργειαν ὡς εἰς κῆπον αὐτοῦ, τὴν τοῖς θείοις αὐτοῦ θελήμασι πεφυτευμένην κτίσιν. Καὶ ὡς εἰς φιάλας τοῦ ἀρώματος. Τὰς κατὰ τὴν εἰς Θεὸν πίστιν δεκτικὰς ψυχάς, τῆς εὐωδιαζούσης αὐταῖς τοῦ παναγίου πνεύματος χάριτος. Ἥτις ἀναμορφοῖ ταύταις κατὰ θεωρίαν καὶ πρᾶξιν, τὸ κατ' εἰκόνα καὶ τὸ καθ' ὁμοίωσιν. Ἐν οἷς ὡς ἰδίῳ ἐκτυπώματι ὁ νυμφίος ὁρᾶται. Κατέβη δὲ ὡς εἴρηται ποιμαίνειν ἐν τοῖς κήποις, καὶ συλλέγειν κρίνα. Ἤγουν διέπειν τὰ λογικὰ πρόβατα, καὶ ἐκτρέφειν κατὰ γνῶσιν καὶ ἀρετήν, εἴτε τῇ νοητῇ καὶ τῇ αἰσθητῇ κτίσει, ἐν αἷς οἱ λόγοι καὶ οἱ τρόποι τῆς ἀρετῆς, ὥσπισι καρποῖς πεφυτευμένοι εἰσί. Καὶ ἐκ λέγεσθαι ὡς ἀπὸ ἀκανθῶν κρίνα, τῶν συμπνιγομένων δηλαδὴ ψυχῶν τῇ σωματικῇ μερίμνῃ τὰς ταύτην παντελῶς ἀναθεμένας Θεῷ. Πειθομένας αὐτῷ ἐν Εὐαγγελίοις φάσκοντι. Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ ὅτι οὐκ ὀπιᾷ οὐδὲ νήθει. Ὧν καὶ φησὶν ἑκάστη:~

„ Ἐγὼ τῷ ἀδελφιδῷ μου. Καὶ ὁ ἀδελφιδός μου ἐμοί, ὁ ποι-
„ μαίνων ἐν τοῖς κρίνοις.

Εἴτουν ἐγὼ τῷ Θεῷ ζῶ. Νεκρὰ γινομένη τῷ κόσμῳ. Καὶ ἐν ἐμοὶ μόνη Χριστὸς ζῇ. Ὁ διεξάγων τὴν κατὰ γνώμην τούτῳ ἑπομένην ψυχήν. Καὶ ἐκτρέφων ὡς ἐν κρίνοις ταῖς λαμπρότησι τῆς ἀρετῆς:~

Τοῦ Ψελλοῦ:-

Ταῦτα μὲν οὖν λελάληκε τοῖς φύλαξιν ἡ νύμφη.
Ἐκεῖνοι δ' ἀκριβέστερον αὖθις ἐπερωτῶσι.

„ Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου ἡ καλὴ ἐν γυναιξί; ποῦ

„ ἀπῆλ-

» ἀπῆλθε; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου, καὶ ζητή-
» σω αὐτὸν μετὰ σοῦ;

Ὁ Ποταπὸς ἦν πρότερον οὕτω μεμαθηκότες.
Νῦν ἐκζητοῦσι καὶ μαθεῖν καὶ ποῦ πότε μετέβη.
Οὐδέπω γὰρ ἐπεγνώσαν τὴν σάρκωσιν τοῦ λόγου.
Ἣν κατελθὼν ἐπὶ τῆς γῆς ἀρρήτως ἐσαρκώθη.
Ὅτι δ' οὐ πᾶσιν ἔγνωστο δέσποτα τοῖς Ἀγγέλοις,
Τὸ τῆς ἐνανθρωπήσεως μυστήριον τοῦ λόγου.
Μέχρι τῆς ἀναλήψεως αὐτοῦ πρὸς τὸν Πατέρα.
Ἄκουσον τί φησιν Δαβὶδ τῶν Προφητῶν ἀκρότης.
Τῶν λειτουργούντων τότε γὰρ, ταγμάτων τῷ σωτῆρι.
Πρὸς τὴν ἀνάληψιν αὐτοῦ μεγάλ' ἱκετευόντων.
Ἄρατε πύλας ἄρατε ταγμάτων ἀρχηγέται.
Ὡς εἰσελεύσεται Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης.
Οἱ μὴ γινώσκοντες φησὶ τὰ τῆς οἰκονομίας.
Ἀντικεκράγασιν αὐτοῖς ὥσπερ ἐπαποροῦντες.
Τίς ἐστιν οὗτος λέγοντες ὁ Βασιλεὺς τῆς δόξης;
Ἀλλ' οὕτω μὲν εἰρήκασιν οἱ φύλακες τῇ νύμφῃ.
Ἡ δ' ἀπεκρίθη πρὸς αὐτοὺς λέγουσα τοὺς Ἀγγέλους:-

» Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ εἰς φιάλας τοῦ
» ἀρώματος. Τοῦ ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν
» κρίνα.

Ἐκεῖνος κατελήλυθε φησὶν ἀρρητοτρόπως.
Ὡς ἐπὶ πόκον ὑετὸς, ὡς ἐπὶ χλόην δρόσος.
Ἐν τῇ γαστρὶ τῆς καθαρᾶς καὶ παναμώμου κόρης.
Ὡς εἰς φιάλην καθαρὰν τῶν θείων ἀρωμάτων.

Ἐξ

Ἐξ ἧς ἀπορρήτως προελθὼν, μόνος αὐτὸς ὡς οἶδεν.
Εἰς τὰς ψυχὰς τῶν καθαρῶν ἀνθρώπων μετερρύη.
Ταύτας γὰρ ἴσθι δέσποτα φιάλας ἀρωμάτων.
Ὥσπερ καὶ κῆπον γίνωσκε τοῦτον τὸν κόσμον ἄναξ.
Ἐν ᾧ κατῆλθεν ὁ Χριστὸς καὶ τοὺς πεπιστευκότας.
Ἐποίμανεν ὡς ἀληθῶς τοῖς σεβασμίοις λόγοις.
Κρίνα γὰρ ταῦτα λέγεται τὰ λόγια τὰ θεῖα.

» Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοί.

Ἀλλ' ἵνα τί φησιν ὑμᾶς σαφέστερον διδάξω.
Ἐκεῖνος ὅμοιος ἐμοὶ τυγχάνει κατὰ πάντα.
Ἔπλασε γάρ με πρότερον ἐκεῖνος κατ' εἰκόνα.
Καὶ πάλιν ἀνεκαίνισε δεινῶς με συντριβεῖσαν.
Ὡς τὴν ἐμὴν ἀνειληφὼς μορφὴν ἐκ τῆς παρθένου.
Ταῦτα μὲν οὖν λελάληκεν ἡ νύμφη τοῖς Ἀγγέλοις:-

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ἀκούσας ὁ νυμφίος τὸν λόγον τῆς νύμφης, καὶ ἐλεήσας αὐτὴν ποθοῦσαν αὐτὸν, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν φανταζομένην, καὶ περὶ αὐτοῦ διαλεγομένην. Καὶ τὸ κάλλος αὐτοῦ διεξιοῦσαν, ἐπιφαίνεται αὐτῇ λέγων:~

» Καλὴ εἶ ἡ πλησίον μου ὡς εὐδοκία. Ὡραία ὡς Ἱερου-
» σαλήμ. Θάμβος ὡς τεταγμένη.

Καὶ ποιεῖ αὐτῇ ὄνομα, τὸ δι' αὐτῆς γινόμενον πρᾶγμα. Ἐπειδὴ γὰρ ηὐδόκησε κύριος τὴν γῆν αὐτοῦ. Καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν Ἰακώβ. Καὶ ἀφῆκε τὰς ἀνομίας τοῦ λαοῦ αὐτοῦ. Καὶ ἐκάλυψε πάσας τὰς ἁμαρτίας αὐτῶν, εἰκότως

 αὐτήν

αὐτὴν εὐδοκίαν προσαγορεύει. Καὶ ὥσπερ αὕτη αὐτὸν ἐπιθυμίαν ἄνω ὀνόμασεν, ἀπὸ τοῦ οἰκείου πάθους τὴν προσηγορίαν θεμένη. Ἐπιθυμοῦσα γὰρ αὐτοῦ διηνεκῶς, ἐπιθυμίαν καλεῖ, οὕτως καὶ αὐτὸς εὐδοκήσας, καὶ θελήσας μνηστεύσασθαι αὐτὴν, καὶ ἑαυτῷ συνάψαι, εὐδοκίαν ὀνομάζει. Οὕτως γάρ φησιν εἶ καλὴ, ὡς εὐδοκηθεῖσαν παρ᾽ ἐμοῦ καὶ ἀναγκασθεῖσαν. Οὐ μόνον δὲ καλὴ εἶ, ἀλλὰ καὶ ὡραία. Καὶ οὐχ ἁπλῶς ὡραία, ἀλλ᾽ ὡς Ἱερουσαλήμ. Οὐκ αὕτη ἡ κάτω, ἀλλ᾽ ἡ ἄνω. Περὶ ἧς ὁ μακάριος λέγει Παῦλος. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Ἐκείνῃ ἔοικας ὦ πλησίον μου. Τὴν γὰρ Ἀγγελικὴν πολιτείαν μιμεῖσθαι προμελετᾷς, ἐν γῇ τὰ οὐράνια. Καὶ ἐν σαρκὶ περιπατοῦσα, οὐ κατὰ σάρκα στρατεύει, καὶ κατὰ σκοπὸν διώκεις, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Καὶ τὰ ἄνω ζητεῖς οὗ ἐγώ εἰμι ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. Διὰ τοῦτο, ὡραία εἶ ὡς Ἱερουσαλήμ. Καὶ οὐχ ἁπλῶς ὡραία, ἀλλὰ θάμβος ἐμποιοῦσα τοῖς ὁρῶσι. Ἐκπλήττονται γὰρ οἱ τὴν τάξιν σου θεώμενοι. Οὐδὲν γὰρ παρά σοι ἄτακτον. Οὐδὲ ἄχρηστον. Οὐδὲ διάκενον. Ἀλλὰ πάντα τεταγμένα καὶ κεκριμένα. Καὶ οἶδας ἀκριβῶς τὴν τῶν πραγμάτων ἀκολουθίαν. Πάντων προτιμᾶν τὸν νυμφίον δεδίδαξαι. Καὶ μετ᾽ ἐκεῖνον, τοὺς ἐκεῖνον πλησιάζοντας. Τούτοις προσίθησιν:~

» Ἀπόστρεψον ὀφθαλμούς σου ἀπ᾽ ἐναντίον μου, ὅτι αὐτοὶ
» ἀνεπτέρωσάν με.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστι. Τὸ κάλλος τῶν ὀφθαλμῶν σου, καὶ ἡ θεωρία τοῦ ὀπτικοῦ σου. Καὶ τὸ ὀξυδερκὲς τῆς διανοίας σου, εἵλκυσάν με εἰς ἔρωτά σου. Ἀλλὰ μὴ πέρα τοῦ μέτρου

μία

εἰς ἐμὲ ἀτενίσῃς, ἵνα μὴ βλάβην ἐντεῦθεν ἑλκύσῃς. Ἀνέφικτος γάρ εἰμι καὶ ἀκατάληπτος, καὶ πᾶσαν ὑπερβαίνων κατάληψιν. Οὐκ ἀνθρωπίνην μόνην, ἀλλὰ καὶ Ἀγγελικήν. Κἂν βουληθῇς ὑπερβῆναι τοὺς ὅρους. Καὶ περιεργάσασθαι τὰ τῆς σῆς δυνάμεως ἐπέκεινα, οὐ μόνον οὐδὲν εὑρήσεις, ἀλλὰ καὶ ἀμαυρώσεις τὸ ὄμμα, καὶ ἀμβλύτερον τοῦτο ποιήσεις. Τοιαύτη γὰρ τοῦ φωτὸς ἡ φύσις. Ὥσπερ γὰρ φωτίζει τὸ ὄμμα, οὕτως τούτου τὴν ἀπληστίαν κολάζει τῇ βλάβῃ:~

» Ἀπόστρεψον τοίνυν τοὺς ὀφθαλμούς σου ἀπεναν-
» τίον μου.

ΧΑλεπώτερά σου μὴ ἐρεύνει. Καὶ ἰσχυρότερά σου μὴ ζήτει. Ἃ προσετάχθη σοι, ταῦτα διανοοῦ. Τούτοις πάλιν ἐπιφέρει τοὺς προτέρους ἐπαίνους. Καὶ λέγει:~

» Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεφάνησαν
» ἀπὸ τοῦ Γαλαάδ. Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρ-
» μένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ. Αἱ πᾶσαι δι-
» διμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. Ὡς σπαρ-
» τίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία. Ὡς λέ-
» πυρον ῥοᾶς μῆλά σου, ἐκτὸς τῆς σιωπήσεώς σου.

ΤΑῦτα ἑρμηνεύσαντες ἄνω, περιττὸν ἡγούμεθα, δὶς ἑρμηνεύειν. Δυνατὸν γὰρ κἂν ἐπιλέληθε τῆς ἑρμηνείας, εἰς ἐκεῖνα ἀναδραμεῖν, τὴν σαφήνειαν εὑρεῖν. Οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε δὶς τὰς αὐτὰς εὐφημίας τῇ νύμφῃ προσήνεγκεν. Ἀλλ᾽ ἀναμιμνήσκων αὐτὴν τοῦ οἰκείου κάλλους, καὶ παραινῶν σῶον τοῦτο φυλάξαι, καὶ μηδένα δέξασθαι μῶμον. Ἰδοὺ

γάρ

γάρ φησι, οἵαν σε ἀνθ᾽ οἵας εἰργασάμην. Καὶ ὁποίαν σοι ὥραν ἐχαρισάμην. Καὶ ἡλίκον σοι κάλλος ἐδωρησάμην. Τοῦτο μοι εἰς τέλος ἀβλαβὲς διαφύλαξον. Ἀεὶ γάρ σοι συγγινόμενος, ἐρευνῶ σου τὰ μέλη, καὶ πολυπραγμονῶ μήτις αὐτοῖς ἐπεγένετο βλάβη:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ´ΡΩΝ:-

ΑΥ᾽τὸς ὁ νυμφίος τὴν ὥραν τῶν κατορθωμάτων, ταῖς τοιαύταις ψυχαῖς ἐπ᾽ ἐκείνων. Ἤγουν τῶν νεανίδων. Οἱονεί φησι πρὸς αὐτήν:~

» Καλὴ εἶ πλησίον μου ὡς εὐδοκία.

ΔΗλονότι, ἀγαθὴ ὑπάρχεις ἡ ἐγγύς μου, κατὰ τὴν τῆς θείας σοφίας καὶ ἀγαθότητος μετοχήν. Ὡς τῷ θελήματί μου, καθ᾽ ὃ ἐκ τοῦ μὴ ὄντος παρήχθης. Μὴ κατά τι ἀντικειμένη. Ἀλλ᾽ ὅλη τούτου ἐξηρτημένη, ἐν τῷ τηρεῖν τὸ κατ᾽ εἰκόνα τε καὶ καθ᾽ ὁμοίωσιν. Ἐντεῦθεν δὲ καὶ ὡραία ὡς Ἱερουσαλήμ. Δηλαδὴ καλὴ ὡς ἐν ἑαυτῇ συζοῦσα τὸν ἐμὸν χαρακτῆρα, κατὰ τὴν ἀπαθεστάτην ἕξιν ἀλώβητον, ἐμὲ τὴν εἰρήνην τοῦ Πατρὸς ὁρῶσα, ὃ σὲ τούτῳ κατήλλαξα. Ὅρασις γὰρ εἰρήνης ὡς προείρηται τὸ Ἱερουσαλὴμ ἑρμηνεύεται. Ὅθεν εἶ καὶ θάμβος ὡς τεταγμέναι. Ἤτοι ἔκπληξις ὅλη ἐπὶ τῇ θεωρίᾳ ἐκπληττομένη ἐμοῦ τοῦ κατ᾽ οὐσίαν ἀκαταλήπτου. Ὥσπερ καὶ αἱ θεῖαι τε καὶ Ἀγγελικαὶ τάξεις θάμβους πληρούμεναι, τῷ φόβῳ τοῦ ἀπροσίτου μου κάλλους κατακαλύπτονται. Διόπερ ἀπόστρεψον ὀφθαλμούς σου ἀπέναντί μου, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με. Ἤγουν μὴ ζήτει κατ᾽ οὐσίαν καταλαβεῖν με τὸν ὑπερούσιον. Ὅτι ὅσον ἂν σπουδῇ καταλαβεῖν με. Τοσοῦτον σου τοὺς νοεροὺς ὀφθαλμοὺς τῇ ἀκαταληψίᾳ ὑπερίπταμαι. Ἀλλὰ στρέψον τούτους ἀπὸ τοῦ κατ᾽ οὐσίαν ἀθεωρήτου, εἰς τὸ θεωρητόν μου κατ᾽ ἐνέργειαν κάλλος. Καὶ ὄψει με εὐεργετικόν τε καὶ παντοδύναμον. Πνευματικοὶ γάρ εἰσιν οἱ ὀφθαλμοί σου. Τὸ δὲ τείχωμά σου, ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεφάνησαν διὰ τοῦ Γαλαάδ. Εἴτουν οἱ ἐκ τοῦ κόσμου. Οἷα δὴ κεφαλῆς κομώσης θριξί, πνευματικῶς φυόμενοι, καὶ ἀναισθητοῦντες πρὸς τὰ παρόντα. Πρακτικοί τε καὶ θεωρητικοί, καὶ Θεολογικοί, λογισμοὶ δίκην εὐθαλοῦς τειχώματος αὐτῶν ἀναδεικνυμένων, διά τινος ἀπόπτου ὄρους Γαλαὰδ καλουμένου, ἀνακεκαλυμμένοι ἀπὸ σκότους κακίας καὶ ἀγνοίας καὶ ἀθείας εἰσίν. Ὅτι ἐκ τούτων μετῳκίσθη τό, εἰς ἀρετὴν καὶ γνῶσιν καὶ θεοσέβειαν, παρὰ τοῦ μαρτυρουμένου τοῖς πιστοῖς τὰ μέλλοντα δικαιωτήρια Εὐαγγελίου. Μετοικία γὰρ μαρτυρίας, τὸ Γαλαὰδ ἑρμηνεύεται. Καὶ οὕτω μὲν τείχωμά σου:~

» Οἱ δὲ ὀδόντες σου, ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέ-
» βησαν ἀπὸ τοῦ λουτροῦ. Αἱ πᾶσαι διδυμεύουσαι, καὶ
» ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.

ΔΗλαδὴ αἱ ἔννοιαί σου, δι᾽ ὧν τὸ σωματικὸν τοῦ νόμου πάχος, εἰς ἀληθῆ λεπτύνεται νοήματα. Καὶ πρὸς βρῶσιν πνευματικὴν ἐπιτήδειον γίνεται, δίκην κεκαθαρμένων Ἀγέλων. Πᾶσαν ψευδῆ ὑπόληψιν περιῄρηνται, περὶ μόνην συναγελαζόμεναι τὴν ἀλήθειαν. Αἵπερ ὡς ἀπὸ λουτροῦ καθαρεύσασαι τῶν ψευδῶν ὑπολήψεων, ὑψώθησαν ἀπὸ τῶν

γηΐνων

γηΐνων καὶ σαρκικῶν, πρὸς τὰ πνευματικὰ καὶ οὐράνια διδυμοτοκοῦσαι τοὺς λόγους τῶν ἀρετῶν, καὶ ἄκαρπος καὶ ἀνωφελὴς ἐνθύμησις οὐκ ἔστιν ἐν αὐταῖς :~

» Ὡς σπαρτίον κόκκινον χείλη σου. Καὶ ἡ λαλιά σου
» ὡραία.

Δηλονότι, οἷα μὲν σπαρτίον με μετρημένον. Οἷα δὲ κόκκινον, ἀληθῆ τὸν λόγον προφέροντα. Ὅθεν καὶ καλὴ ἡ τούτου προφορά. Ὡς λέπυρον ῥοᾶς μῆλόν σου, ἐκτὸς τῆς σιωπήσεώς σου. Ἤτοι οἷα λέπυρον ῥοᾶς, σύμφουσαί εἰσιν αἱ παρειαί σου, διὰ τὸ συννοῦν τε καὶ ἀδιάχυτον. Καὶ ὅτε μὴ σιωπᾷς τῶν συνεσταλμένων κολαζούσης σου τὴν ἐν ταῖς ὁμιλίαις διάχυσιν :~

Τοῦ Ψελλοῦ :-

Ταῦτα μὲν οὖν λελάληκεν ἡ νύμφη τοῖς Ἀγγέλοις.
Ἀλλ' ὁ φιλανθρωπότατος δεσπότης καὶ νυμφίος.
Ἰδών τε βάζουσαν αὐτὴν καὶ καταπειχωμένην.
Καὶ μεριμνῶσαν περιττῶς, καὶ ψηλαφῶσαν τοῦτον.
Πάλιν ἐπήνεσεν αὐτὴν φωνήσας ἀοράτως :-

» Καλὴ εἶ πλησίον μου εὐδοκία, ὡραία. Ὡς Ἱερουσαλὴμ,
» θάμβος ὡς τεταγμένη.

Τοῦ Ψελλοῦ :-

Καλῶς φησὶ γεγένησαι καὶ μῶμον οὐκ οὖν ἔχεις.
Τῇ εὐδοκίᾳ τῇ ἐμῇ καλῶς ὁμοιωθεῖσα.
Καὶ σὺ γὰρ θέλεις ἅπαντας σωθῆναι τοὺς ἀνθρώπους.
Καὶ πάλιν Ἱερουσαλὴμ καλῶς ἐζημιώθης.

Ἐν ᾗπερ ἀναπέπαυμαι μετὰ καὶ τοῦ Πατρός μου.
Ὅθεν καὶ θάμβος κέκτησαι καὶ φοβερὰ τυγχάνεις.
Ὥσπερ αἱ τεταγμέναι μου δυνάμεις τῶν Ἀγγέλων.
Ἐμοὶ φησὶ λελάληκεν ἐμοὶ σεπτὸς νυμφίος.
Λοιπὸν δὲ πρόσχες ἐπ' ἐμοὶ τοὺς ὀφθαλμούς σου λέγων.
Τὸ φῶς γὰρ ἀνεπτέρωσεν, ἐμὲ τῶν ὀφθαλμῶν σου.
Καὶ πάντων κατεφρόνησα τῶν κοσμικῶν πραγμάτων.
Ἀλλ' ὁ πληρῶν τὸ θέλημα τῶν αὐτὸν ἀγαπώντων.
Εὐθὺς ἐπέβαλεν αὐτῇ τοὺς ὀφθαλμοὺς τοὺς θείους.
Ἰδὼν δὲ ταύτην ἀρεταῖς κατακεκοσμημένην.
Ἤρξατο ταύτην ἐπαινεῖν, φησὶ γὰρ οὕτω τάδε :-

» Τείχωμά σου ὡς Ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν
» ἀπὸ τοῦ Γαλαάδ. Ὀδόντες σου ὡς Ἀγέλαι τῶν κεκαρ-
» μένων αἳ ἀναβαίνουσαι ἀπὸ τοῦ λουτροῦ. Αἳ πᾶσαι
» διδυμεύουσαι. Καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. Ὡς
» σπαρτίον κόκκινον χείλη σου. ἡ λαλιά σου ὡραία. Ὡς
» λέπυρον ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου.

Οὕτως μὲν οὖν ἐπήνεσε τὴν νύμφην ὁ νυμφίος.
Γυναικικῶς ἐρωτικῶς, καὶ νυμφοπρεπεστάτως.
Σὺ δ' ἄλλα τούτους ξύμπαντας τῆς νύμφης τοὺς ἐπαίνους,
Ὡς ἡρμηνεύθης ἄνωθεν γίνωσκε στεφηφόρε.
Ταύτην τὴν ῥῆσιν γὰρ ἡμεῖς ἄνωθεν εὑρηκότες.
Ἐντεῦθεν ἡρμηνεύσαμεν, ὡς δυνατὸν ἦν ὅλως.
Ἀλλ' ἀκουσώμεθα λοιπὸν τοῦ τέλους τῶν ᾀσμάτων :-

» Ἑξήκοντα εἰσὶ Βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί.
» Καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός. Μία ἐστὶ περιστερά-

» μου τελεία μου. Μία ἐστὶ τῇ μητρὶ αὐτῆς. Ἐκλεκτὴ
» ἐστὶ τῇ τεκούσῃ αὐτήν. Εἴδοσαν αὐτὴν πᾶσαι θυγατέρες,
» καὶ μακαριοῦσιν αὐτήν. Βασίλισσαι καὶ παλλακαὶ
» αἰνέσουσιν αὐτήν.

Ὁ Σολομὼν ὁ πάνσοφος ὁ θαυμαστὸς Προφήτης.
Προφητικῶς ἐν ὄμμασιν εἶδεν ὡς ἐν κατόπτρῳ.
Τοὺς τρόπους καὶ τὰς ἀρετὰς ψυχῶν τῶν σεσωσμένων.
Μᾶλλον δ' εἰπεῖν ὡς ἀληθῶς, τὰς τάξεις καὶ τὰς βάσεις.
Τρεῖς γάρ εἰσιν ὡς πέπεισμαι τάξεις τῶν σεσωσμένων.
Υἱότης μισθαρνότης τε καὶ μετ' αὐτὴν δουλότης.
Οἱ μὲν γὰρ ἀγαπήσαντες ἐξ ὅλης τῆς καρδίας.
Τὸν εὐεργέτην τοῦ παντὸς ἐξ ἁπαλῶν ὀνύχων.
Καὶ τῆς ἀγάπης ἕνεκα τούτου καὶ τῆς σοφίας.
Τὸν κόσμον βδελυξάμενοι καὶ τὰ περὶ τὸν κόσμον.
Προσκολληθέντες τῷ Χριστῷ τῷ λόγῳ καὶ νυμφίῳ.
Εἰς τάξιν ἔφθασαν υἱοῦ τῇ χάριτι τῇ θείᾳ.
Οἱ δὲ γλιχόμενοι τυχεῖν τῆς ἄνω Βασιλείας.
Καὶ ταύτην χάριν ἔπευσαν Χριστῷ δεδουλευκότες.
Εἰς τάξιν ἔφθασαν αὐτοὶ καὶ τόπον τῶν μισθίων.
Οἱ δέ γε πλημμελήσαντες, ὥσπερ ἐγὼ ὁ τάλας.
Καὶ πᾶσαν ἐκτελέσαντες ἄτοπον ἁμαρτίαν.
Καὶ φοβηθέντες τὰς πικρὰς βασάνους καὶ κολάσεις.
Καὶ τούτου χάριν φθάσαντες εἰς τόπον μετανοίας.
Ὡς εἴθε τούτοις φθάσαιμι κἀγὼ Χριστέ μου λόγε.
Εἰς τάξιν ἐληλύθασι δούλων, πλὴν σεσωσμένων.
Ταύτας τὰς τάξεις καθιδὼν ὁ Σολομὼν ἐκεῖνος.
Προκατιδὼν δὲ μάλιστα τῷ πνεύματι τῷ θείῳ.

Καὶ

Καὶ τὴν τοῦ λόγου σάρκωσιν τοῦ καθαροῦ νυμφίου.
Καὶ τὴν γεννήσασαν αὐτὸν ἀσπόρως θεοτόκον.
Τὴν ὄντως παναμώμητον τὴν καθαρὰν Μαρίαν.
Ἣν ὕμνοις μακαρίζουσι φωναῖς ἀκαταπαύστοις.
Αἱ γλῶσσαι τῶν γλωσσῶν ἁπάντων τῶν ἀνθρώπων.
Ὅτι σωτῆρα τέτοκε τῆς ὅλης οἰκουμένης.
Ταύτης ἐξεῖπε τὴν ᾠδὴν προσώπῳ τοῦ νυμφίου :-
Σὺ δέ μοι τὰς ἑξήκοντα Βασιλίσσας ἀκούων.
Ἐκείνους εἶναι γίνωσκε δέσποτα στεφηφόρε.
Τοὺς δεκαπλασιάσαντας ἐν ἀγαθοεργίαις.
Τὴν δεδομένην πρὸς αὐτοὺς ἑξάδα τῶν ταλάντων.
Καὶ τόπων φθάσαντας υἱῶν τῇ χάριτι τῇ θείᾳ.
Καὶ παλλακὰς ὡς ἀληθῶς ἐκείνους εἶναι νόει.
Τοὺς ὀκτωπλασιάσαντας ἐν κόποις σωτηρίας.
Τὸ δεδομένον τάλαντον αὐτοῖς ἐκ τοῦ δεσπότου.
Καὶ γεγονότας μισθωτοὺς τοῦ λόγου, καὶ νυμφίου.
Ἀκούων δὲ νεάνιδας πολλὰς ἀναριθμήτους.
Γίνωσκε ταύτας ἀληθῶς ἁμαρτωλοὺς ἀνθρώπους.
Οἵτινες τὸ μὲν τάλαντον λαβόντες τοῦ δεσπότου.
Εἰς γῆν αὐτὸ κατέχωσαν ἐξ ἄκρας ῥαθυμίας.
Καὶ δοῦλοι μὲν γεγόνασιν, ἀλλ' ὅμως σεσωσμένοι.
Τῶν σεσωσμένων οὖν ψυχῶν τοσούτων πεφυκότων.
Ἁπάντων ὑπερέχουσα τῶν ἐπὶ γῆς ἀνθρώπων.
Ὡς ἐκλεκτὴ περιστερὰ τυγχάνει μία μόνη.
Ἡ τὸν Χριστὸν γεννήσασα παρθενομήτωρ κόρη.
Ἡ Χερουβὶμ καὶ Σεραφὶμ ὄντως καθαρωτέρα :-
Ἔχεις τὸ σὸν ἐπίταγμα πεπληρωμένον ἄναξ.
Ἰδοὺ γὰρ τέλος εἴληφε τὸ τῶν ἀσμάτων ᾆσμα.

 Ἀλλ-

Ἀλλ' ἐρωτᾷς ὦ κράτιστε καὶ πλέον φιλολόγε,
Καὶ τί τὸ συναγόμενον ἐν καθαρῷ τυγχάνει,
Ἐκ ταύτης τῆς Προφητικῆς ᾀσματογράφου Βίβλου.
Ἅπαν τὸ συναγόμενον, τοῦτο τυγχάνει μόνον.
Ὅτι τὴν φύσιν τῶν βροτῶν τὴν ἐκπεσοῦσαν πάλαι,
Ὁ λόγος ἀνεζήτησεν ὁ ταύτην πλαστουργήσας.
Εὑρὼν δὲ ταύτην καὶ λαβὼν ἐπ' ὤμων ὁ δεσπότης.
Εἰς οὐρανοὺς ἀνήγαγε καὶ τῷ Πατρὶ παρέσχε.
Καὶ τῶν Ἀγγέλων ἔδειξε ταύτην ὑψηλοτέραν.
Ὅπερ προγνοὺς ὁ Σολομὼν πνεύματι Προφητείας,
Ποικίλως συνεγράψατο καὶ πολυπλόκως τάδε.
Ἡμεῖς δὲ τὸ ἐπίταγμα τὸ σὸν ὦ στεφηφόρε,
Ἀποπληρῶσαι θέλοντες ὡς δοῦλοι τοῦ κράτους.
Πολιτικοῖς ἐφθάσαμεν ὡς δυνατὸν ἐν στίχοις.
Τὴν τῶν ᾀσμάτων δύναμιν ἐξήγησιν καὶ γνῶσιν.
Εἰ δ' ἴσως παρεσφάλημεν, καί τι τῆς ἀληθείας,
Οὐ ξένον οὐδὲ θαυμαστὸν οὐδὲ καινὸν τυγχάνει.
Ἐχρῆν γὰρ καὶ μηδ' ὁπωσοῦν ἐπιχειρῆσαι ταύτην.
Τὴν βίβλον τὴν πνευματικὴν ὅλως ἑρμηνεῦσαι.
Τοῦτο γὰρ τοῖς πνευματικοῖς εἰκός ἐστι καὶ μόνοις,
Τὸ τὰ τοῦ πνεύματος λαλεῖν, καὶ φράζειν καὶ διδάσκειν.
Ἐπεὶ δὲ τοῦτο γέγονε καὶ παρ' ἡμῶν ἐκτόλμη.
Ὁ παντοκράτωρ μου Χριστός. Ἵλεως γένοιτό μοι :-

Τέλος τῆς τοῦ Ψελλοῦ ἐξηγήσεως :-

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

» Ἑξήκοντα εἰσὶ Βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί.
» Καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.

ΗΓουν αἵτε μὴ φόβῳ τῶν ἠπειλημένων κολάσεων, ἀλλὰ πόθῳ τοῦ κληρονομῆσαι τὴν ἐπηγγελμένην τοῦ θεοῦ Βασιλείαν. Ἑξαπλασιάζουσαι ψυχαὶ τὰς δέκα ἐντολάς, κατὰ λόγον ἐπισατοῦνται ταῖς πέντε αἰσθήσεσι. Καὶ ἅμα ταύταις πληροῦνται τὸν ἓξ ἀριθμόν. Καὶ αἱ κατ' ἐπιθυμίαν μὲν τὸ πονηρῷ συμπλεκόμεναι. Κατὰ φόβον δὲ τῶν ἠπειλημένων κολάσεων, ἀκίνητοι κατ' ἐνέργειαν πρὸς τὰ πάθη μένουσι. Ὁ γὰρ ὀγδοήκοντα ἀριθμός, ἀκινησίαν καθ' ἑαυτὸν θεωρούμενος δηλοῖ. Περιγράφων τοῦ ἑβδομήκοντα ἀριθμοῦ περιττοῦ ὄντος τὴν κίνησιν. Καὶ αἱ κατὰ τὴν πίστιν ἐπινεάζουσαι, καὶ μὴ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, διὰ καθαρότητός τε, καὶ φωτισμοῦ ἔργων δικαιοσύνης φθάσαι, καὶ διὰ τὸ νεκρὰν ἔτι τὴν πίστιν ἐν ἑαυταῖς περιφέρειν, ταῖς σωζομέναις τάξεσι μὴ συναριθμούμεναι. Ἐκ πασῶν δὲ τῶν λεχθεισῶν τάξεων, μία ἐστὶ περιστερὰ τελεία τῇ μητρὶ αὐτῆς. Ἐκλεκτὴ ἐστὶ τῇ τεκούσῃ αὐτήν. Ἤγουν ἡ μετὰ τὸ πιστεῦσαι θεῷ. Καὶ φόβῳ μὲν τῶν ἀπειλῶν καθαρθεῖσαι. Ἀγαπητικῶς διατεθεῖσα περὶ τὸ ἀγαθὸν καὶ μὴ δι' ἕτερόν τι ποιοῦσα αὐτό. Ἀλλὰ δι' αὐτὸ ὡς φύσει καλόν. Αὕτη γὰρ μία μένει ἐστιν, ὡς κατὰ θέωσιν ἑνωθεῖσα τῷ ἑνὶ καὶ μόνῳ θεῷ, καὶ παρ' αὐτῆς ἀκίνητος μένουσα. Περιστερὰ δὲ ὡς πνευματικὴ τελεία τῇ πανταιτίᾳ σοφίᾳ, ὡς πρὸς ταύτην ἀναγωγικῶς διὰ πάσης ἀρετῆς συναχθεῖσα. Καὶ τὴν ἐν αὐτῇ ποιουμένη

μένη

μένη περίοδον, κατὰ τὴν ἑκάστης ἀρετῆς γένεσιν. Ἥ τινι σοφίᾳ καὶ ἐκλελεγμένη ἐστὶν ἀπὸ τῶν δουλίδων καὶ μισθωτῶν, ὡς ὑποθετησαμένη ταύτην κατὰ τὴν ἐν χάριτι θέωσιν:~

„ Εἴδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτήν.
„ Βασίλισσαι καὶ παλλακαὶ αἰνέσουσιν αὐτήν.

Δηλονότι ἐν πείρᾳ τῶν κατορθωμάτων αὐτῆς γεγόνασιν. Αἱ μόνον τὰς αὐτῆς μαθήτριαι. Ἃς ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἀπέτεκε. Καὶ μόνῳ λόγῳ αὐτὴν ἐκθειάζουσιν. Αἱ δὲ διὰ φωτισμοῦ ἔργων δικαιοσύνης τῆς θεοῦ βασιλείας ἀντιποιέμεναι. Καὶ αἱ διὰ φόβον τῶν κολάσεων παντοίων κακῶν ἀπεχόμεναι. Καὶ δι᾽ ἔργων ἐπαινέσουσιν αὐτήν:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Λέγει καὶ ταῦτα πρὸς ἐκείνας ὁ νυμφίος. Ἐπιμεῖναι τῷ κάλλει τὴν νύμφην προτρέπων:~

„ Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί.
„ Καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.

Πολλὰ τάγματα καὶ διάφορα τῶν εὐσεβῶν ἐδιδάχθημεν εἶναι. Καὶ τοῦτο διδάσκων ὁ κύριος ἔλεγε. Πολλαὶ μοναὶ παρὰ τῷ Πατρί μου. Καὶ ἐν τῇ διανομῇ δὲ τῶν ταλάντων, οὐ πάντες ἀνὰ πέντε ἔλαβον τάλαντα. Ἀλλ᾽ ὁ μὲν, πέντε. Ὁ δὲ δύο. Ὁ δὲ ἕν. Τὰ κατὰ δύναμιν ἕκαστος. Καὶ ἐν τῇ παραβολῇ δὲ τοῦ σπόρου φησί. Τὰ δὲ, ἔπεσεν ἐπὶ τὴν καλὴν γῆν, καὶ ἐποίησε καρπὸν, ἀνὰ τριάκοντα, καὶ ἑξήκοντα, καὶ ἑκα-

ἑκα-

ἑκατόν. Καὶ πᾶσαν καλὴν ὀνομάζει γῆν. Οὐ μόνον τὴν τὰ ἑκατὸν ποιήσασαν, ἀλλὰ καὶ τὴν τὰ ἑξήκοντα. Καὶ τὴν τὰ τριάκοντα. Ἔστι μὲν γὰρ ὁ τριάκοντα ἀριθμὸς, τῶν ἐπαινουμένων. Τρεῖς γὰρ ἔχει δεκάδας, τῇ τριάδι τιμωμένας. Ὁ δὲ ἑξήκοντα, διπλῆν ἔχει τὴν εὐλογίαν. Διπλασιαζόμενος γὰρ ὁ τριάκοντα, γεννᾷ τὸν ἑξήκοντα. Ὁ δὲ ἑκατὸν, ἐστὶ τελειότατος. Καὶ τῆς μὲν εὐωνύμου χειρὸς ἀπηλλαγμένος. Ἀρχὴν δὲ ἔχων τῆς δεξιᾶς, καὶ ἐν δέκα δεκάσι συμπληρούμενος. Τετράγωνον δὲ τοῦτον οἱ περὶ ταῦτα καλοῦσι δεινοί. Ἀλλ᾽ ὅμως εἰ καὶ τέλειος ὁ ἑκατόν. Ἀλλὰ καὶ ὁ ἑξήκοντα καὶ ὁ τριάκοντα τῶν ἐπαινουμένων. Πάντας γὰρ καλὴν γῆν ὠνόμασεν ὁ κύριος. Νοήσωμεν τοίνυν νύμφην μὲν εἶναι, τὰς ἐν πάσῃ φιλοσοφίᾳ καὶ ἀρετῇ τετελειωμένας ψυχάς. Καὶ διὰ μόνην τὴν περὶ τὸν νυμφίον ἀγάπην, τῶν πόνων τῆς ἀρετῆς ἀνεχομένων. Καὶ πάντα ποιεῖν καὶ πάσχειν αἱρουμένων, ὁ ποῖος ἦν ὁ μακάριος Παῦλος ὡς ὅταν λέγει:~

Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα, δυνήσεται ἡμᾶς χωρῆσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ. Τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν:~

Διδάσκει γὰρ ἡμᾶς διὰ τούτων. Ὅτι οὐ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν ποθεῖν τὸν Χριστόν. Ἀλλ᾽ ὅτι αἱρεῖται τῆς βασιλείας ἐκπεσεῖν, μετὰ τοῦ τὸν Χριστὸν ἀγαπᾶν. Ἢ βασιλεύειν, τῆς ἀγάπης ἐκείνης ἐστερημένης. Αἱ τοίνυν τοιαῦται ψυχαὶ, τῆς νύμφης πληροῦσι τὸ σύνταγμα. Αἱ μόνῳ τῷ πόθῳ τοῦ νυμφίου κατεχόμεναι. Εἰσὶ δέ τινες οἷον μισθωτοὶ, τῇ ἐπιθυμίᾳ τῶν μελλόντων ἀγαθῶν, τοὺς ὑπὲρ ἀρετῆς

ἱδρῶ-

δρῶντας φέρειν ἀνεχόμενοι. Τούτους ἐπὶ τοῦ παρόντος ἡγοῦμαι Βασιλίδας ὀνομάζεσθαι. Ὡς τῆς Βασιλείας ἐπιθυμοῦντας, καὶ διὰ ἐκείνην φέρειν αἱρουμένους τῆς εὐσεβείας τοὺς πόνους, Οἱ δὲ, ἕτεροι οὐδέπω τῆς ἐλευθερίας ἠξιωμένοι. Ἔτι δὲ δουλεύειν ἐθέλοντες. Καὶ φόβῳ τῆς γεέννης, τοὺς θείους νόμους πληροῦντες. Τούτους ὑπολαμβάνω παλλακίδας ὑπωνομάζεσθαι. Συγγίνεται γὰρ καὶ τοῖς τοιούτοις ὁ νυμφίος, πᾶσι πάντα γινόμενος. Εἰσὶ δὲ καὶ ἄλλοι ῥαθυμίᾳ συζῶντες. Καὶ μήτε τῷ φίλτρῳ τοῦ νυμφίου κατεχόμενοι, μήτε τῷ πόθῳ τῆς Βασιλείας ἑλκόμενοι, μήτε φόβῳ τῆς γεέννης νυττόμενοι. Ἀμελέστερον τὰ καθ᾽ ἑαυτοὺς οἰκονομοῦντες. Καὶ τὴν μὲν πίστιν ἀκίνητον ἔχοντες. Καὶ τὰ τῆς εὐσεβείας δόγματα σῶα διαφυλάττοντες. Καὶ πᾶσαν αἱρετικὴν καὶ ἀλλόφυλον διδασκαλίαν ἀποστρεφόμενοι. Ἀμελέστερον δὲ βιοῦντες. Καὶ ποτὲ μὲν σφῶν αὐτῶν ἐπιμελούμενοι, ποτὲ δὲ πάλιν εἰς ῥαθυμίαν κυλινδούμενοι. Καὶ ποτὲ μὲν ἁμαρτάνοντες. Ποτὲ δὲ, τῆς μετανοίας πηγάζοντες δάκρυα. Τούτους ὁ νυμφίος ἐνταῦθα νεάνιδας προσαγορεύει. Καὶ ἐπειδὴ πλείους οἱ τοιοῦτοι τῶν τε βασιλίδων καὶ παλλακίδων φησί:~

» Καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.

ΟΥ᾽ μόνον διὰ τὸ πλῆθος ἀριθμεῖσθαι αὐτὰς οὐκ ἔστι φησίν. Ἀλλὰ διὰ τὸ, ἀναξίους εἶναι ἀριθμοῦ. Τῶν γὰρ ἀξίων, καὶ αἱ τρίχες ἠριθμημέναι εἰσὶ παρὰ τῷ Πατρί. Ἀλλ᾽ ὅμως καὶ ταύτας ὁ νυμφίος ἐστὶν, ὅτε συγγίνεται, τῆς ῥαθυμίας αὐτὰς ἀφέλκειν βουλόμενος. Καὶ ποδηγῶν ἐπὶ τὰ τέλεια, καὶ πανταχόθεν αὐταῖς τὴν σωτηρίαν πραγματευόμενος. Καὶ ζητήσομεν δέ. Τί δήποτε Βασιλίδες ἑξήκοντα, παλλακαὶ δὲ ὀγδοή-

κοντα ἔφη; ὁ ἑξήκοντα ἀριθμὸς, ἓξ ἔχει δεκάδας. Καὶ ἡ μὲν δεκὰς, σημαίνει τὴν τελειότητα. Ἡ δὲ ἑξὰς, τὸν τῆς κοσμοποιίας ἀριθμὸν περιέχει. Ἐν γὰρ ἓξ ἡμέραις ὁ τῶν ὅλων θεὸς, τὴν κτίσιν ἐδημιούργησεν ἅπασαν. Τὰς τοίνυν ἐν τούτῳ τῷ κόσμῳ τετελειωμένας ἐν ἀρετῇ ψυχὰς. Καὶ τῆς Βασιλείας ἐπιθυμούσας, ἑξήκοντα Βασιλίδας ὠνόμασεν. Ἡ γὰρ νύμφη, ὑπὲρ τὸν κόσμον τοῦτον πολιτεύεται, καὶ ἔξω τούτου τυγχάνει. Καὶ ὑπὲρ τοῦτον ἵπταται. Καὶ ὅλη τοῦ νυμφίου γίνεται. Καὶ διηνεκῶς ἐκεῖνον φαντάζεται. Αὗται δὲ ἐν τῷ κόσμῳ τούτῳ πολιτευόμεναι τὸ τέλειον τῆς ἀρετῆς, ὡς ἔνι μάλιστα μετίασι, τῆς Βασιλείας τυχεῖν ἐφιέμεναι. Αἱ δὲ φόβῳ τῆς κρίσεως ἐκπληροῦσαι τοὺς νόμους, εἰκότως ὀγδοήκοντα προσηγορεύθησαν. Τὸν γὰρ τῆς κρίσεως καιρὸν, ὀγδόην ἡ θεία προσαγορεύει γραφή. Ὁ γὰρ μακάριος Δαβὶδ τὰ περὶ τῆς κρίσεως ἐν Ψαλμοῖς διηγούμενος. ἐπέγραψε μὲν αὐτὸν, ὑπὲρ τῆς ὀγδόης. Φησὶ δὲ ἀρχόμενος. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Καὶ μετ᾽ ὀλίγα. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Διδάσκων, ὡς ἐν τῷ τῆς κρίσεως καιρῷ, οὐδὲ μία χώρα μετανοίας τοῖς ἡμαρτηκόσι καὶ μὴ μετεγνωκόσι δοθήσεται. Ἐπειδὴ τοίνυν ταῦτα δεδοικότες, τοῖς θείοις ἠκολούθησαν νόμοις. Καὶ οὔτε τῷ πόθῳ τῆς Βασιλείας, οὔτε τῷ ἔρωτι τοῦ νυμφίου, εἰκότως ὀγδοήκοντα εἶναι λέγονται. Ὁ μὲν γὰρ ὀκτὼ ἀριθμὸς, τὴν ὀγδόην σημαίνει. Ἡ δὲ δεκὰς τὴν τελειότητα. Ἀλλὰ τούτων, κρείττονα λέγει τὴν νύμφην, καὶ τῶν ἑξήκοντα, καὶ τῶν ὀγδοήκοντα:~

» Μία γάρ ἐστι περιστερά μου τελεία μου.

ΠΑ'λιν αὐτὴν πνευματικὴν ὀνομάζων, καὶ μίαν. ὑπὲρ γὰρ τὰς ἑξήκοντα καὶ τὰς ὀγδοήκοντα, μία ἐστὶ τῇ μητρὶ αὐτῆς. Μητέρα δὲ ἔχει τὴν ἱερὰν κολυμβήθραν, τὴν ἄνω Ἱερουσαλήμ. Ἐκλεκτὴ ἐστὶ τῇ τεκούσῃ αὐτήν. Κἀκεῖναι μὲν γὰρ ἐξ αὐτῆς ἐτέχθησαν. Ταύτην δὲ ἐκ πασῶν προτετίμηκε καὶ ἐκλεκτὴν ἔχει θυγατέρα. Διὸ εἴδωσαν αὐτὴν θυγατέρες. Καὶ μακαριοῦσιν αὐτήν. Τουτέστι νεάνιδες. Οὐ μόνον δὲ ἐκεῖναι. Ἀλλὰ καὶ Βασίλισσαι, καὶ παλλακαὶ, αἰνέσουσιν αὐτήν. Ὑπὲρ ἀναβέβηκε γὰρ αὐτὰς, ὡς οὔτε διὰ μισθὸν, οὔτε διὰ φόβον κολάσεως, ἀλλὰ διὰ τὸν τοῦ νυμφίου πόθον τὴν ἄκραν μετιοῦσα Φιλοσοφίαν. Γένοιτο δὲ καὶ ἡμᾶς ὑπὸ τῆς θείας βοηθουμένους χάριτος, φθάσαι εἰς τὴν τῆς νύμφης τελειότητα. Εἰ δὲ ἀτονήσαιμεν, τῶν γοῦν Βασιλίδων γενέσθαι. Εἰ δὲ καὶ τούτων διαμάρτοιμεν, μὴ πόρρω γενέσθαι τῶν παλλακίδων. Εἰ δὲ καὶ τούτων ἀνάξιοι φανείημεν, ταῖς νεάνισιν ἐγκαταλεγῆναι. Καὶ τῆς εὐσεβείας τὴν ὁμολογίαν, ἀνέπαφον διαφυλάξαι. Καὶ μὴ παντελῶς στερηθῆναι τῆς τοῦ νυμφίου κοινωνίας. Ἀλλ' ἀπολαῦσαι αὐτοῦ τῆς ὡραιότητος. Χάριτι αὐτοῦ. Ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.




ΛΟΓΟΣ



ΛΟΓΟΣ δ.

ΘΕΟΔΩΡΗΤΟΥ.

ΠΙστεύοντες τῷ εἰρηκότι, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε. Κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει. Καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Αἰτήσωμεν ἐπὶ τοῦ παρόντος τῶν ὑπολοίπων ῥημάτων τοῦ ᾄσματος τῶν ᾀσμάτων τὴν σαφήνειαν. Καὶ βοήσωμεν λέγοντες. Ἀποκάλυψον τοὺς ὀφθαλμούς ἡμῶν καὶ κατανοήσωμεν τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου. Αὐτὸς γὰρ δίδωσι ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Αὐτὸς εἶπε πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. Αὐτὸ μεταδίδωσι δὲ καὶ τοῖς οὐκ ἀξίοις πολλάκις τῆς χάριτος διὰ τὴν τῶν πολλῶν ὠφέλειαν. Θαῤῥοῦμεν τοίνυν, ὡς καὶ ἡμῖν ἐπὶ τοῦ παρόντος δώσει τοῦ τῆς λέξεως βάθους, τὴν κατάληψιν. Οὐ διὰ τὴν ἡμετέραν ἀξίαν, ἀλλὰ διὰ τῆς τῶν ἐντευξομένων. Ἢ ἀκουσομένων τὴν τῆς ἑρμηνείας ὠφέλειαν. Φέρε τοίνυν τῶν ὑπολοίπων θαρσαλέως κατατολμήσωμεν.

» Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος. Καλὴ ὡς σελήνη. Ἐκλεκτὴ ὡς ὁ ἥλιος. Θάμβος ὡς τεταγμέναι.

ΕΝ μὲν οὖν τοῖς περὶ τούτου ῥητοῖς. Ὁ νυμφίος τῆς νύμφης τὸ κάλλος τῷ λόγῳ διέγραψε. Καὶ χωρὶς μὲν, ἕκαστον

εὐφήμησε μέλος. Κοινὴν δὲ πάλιν τὴν εὐφημίαν προσήνεγκε. Καὶ ὡς ἐγκωμίῳ κατὰ τέχνην συγγραφομένῳ. Καὶ τὴν σύγκρισιν ἐποιήσατο. Παρεξετάσαντες τὴν νύμφην καὶ ταῖς νεάνισι, καὶ ταῖς παλλακίσι, καὶ ταῖς Βασιλίσι, καὶ πολλῷ τῷ μέτρῳ. Τοσαύτην γὰρ αὐτὴν ἔφη τὴν εὐμορφίαν ἔχειν. Ὡς καὶ ὑπ' αὐτῶν ἐκείνων τῶν παρεξετασθεισῶν μὴ ζηλοτυπεῖσθαι. Ὁμολογοῦσαι γὰρ τὴν ἧτταν. Μακαρίαν αὐτὴν καὶ τρισμακαρίαν ἀποκαλοῦσιν. Ἐνταῦθα δὲ οἱ τοῦ νυμφίου διάκονοι διδαχθέντες παρ' αὐτοῦ τῆς νύμφης τὴν εὐμορφίαν. Τὴν εὐκοσμίαν. Τὴν εὐπρέπειαν. Καὶ ἀκριβέστερον αὐτὴν καταμαθεῖν προτραπέντες ὑπὸ τῆς πολλῆς εὐθυμίας, ἐκέκρυπτο γὰρ αὐτῆς ἔτι τὸ ψυχὸν κάλλος. Ἐν τῷ ἐλύτρῳ τοῦ σώματος βοῶσι :~

„ Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος.

ἘΚ μέρους γὰρ αὐτῆς τέως ὁρᾶται τὸ φῶς, τῷ φθαρτῷ τούτῳ συγκαλυπτόμενον σώματι. Καὶ καθάπερ ὁ ὄρθρος, νυκτός ἐστι καὶ ἡμέρας μεθόριον καὶ τῆς μὲν τὴν ἀρχήν, τῆς δέ, τὸ τέλος κηρύττει. Καὶ σημαίνει τῆς ἡμέρας τὴν παρουσίαν. Οὕτως κατὰ τὸν παρόντα βίον αἱ ἐν εὐσεβείᾳ καὶ πάσῃ σοφίᾳ τετελειωμέναι ψυχαί, ἃς Ἐκκλησίαν καὶ νύμφην ἡ θεία προσαγορεύει γραφή. Βραχείας τινὰς λαμπηδόνας ἐκ τῆς οἰκείας ἀφιᾶσιν ἀρετῆς. Ὅταν δὲ κατὰ τὸν μακάριον Παῦλον, τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν. Καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, ἅπαν αὐτῆς γυμνοῦται τὸ φῶς. Καὶ τοῦτο προορῶντες οἱ τοῦ νυμφίου διάκονοι, οὐ μόνον αὐτὴν ἀπεικάζουσιν ὄρθρῳ, ἀλλὰ καὶ καλὴν λέγουσιν ὡς σελήνην. Ἐκλεκτὴν, ὡς ἥλιον. Θάμβος ἐμποιοῦσα τοῖς ἐνατενίζειν αὐτῇ τολμῶ-

σι.

σι. Προστεθείκασι δὲ ἐκλεκτήν. Οὐ μόνον τὸ διάφορον, τὸ πρὸς τοὺς ἀστέρας σημαίνοντες, ἀλλὰ καὶ αὐτῆς τῆς σελήνης προσδηλοῦντες τὸ τέλειον. Ἀντὶ τοῦ, ὡς σελήνη πεπληρωμένη, πλησιφαής. Οὐ μονοειδής. Οὐ διχότομος, οὐδὲ ἀμφίκυρτος, ἀλλὰ τελεία πανσέληνος. Οὐδὲν ἀτελὲς ἔχουσα. Πάντα τὸν κύκλον πεφωτισμένον δεικνύουσα. Οὕτω τοίνυν φησὶν ἐστὶ καλή, ὡς ἐκλεκτὴ σελήνη. Φασὶ δὲ τὴν σελήνην οἱ περὶ ταῦτα δεινοί, ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων, ὑποδεχομένην τὸ φῶς. Βραχὺ μὲν λαμβάνειν φῶς ὅταν βραχὺ μόριον αὐτῆς βλέπει τὸν ἥλιον. Ὅταν δὲ κατ' ἀντικρὺ γενομένη, ὅλον θεωρεῖ τὸν ἥλιον. Οἱονεὶ κάτοπτρον ὅλον αὐτῆς τὸν δίσκον ἐκματτομένη, ὅλη φωτίζεται. Καὶ οὐδὲν τοῦ σώματος μέρος ἀφώτιστον καταλείπει. Οὕτω τοίνυν καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τῶν ἀρετῇ τετελειωμένων ψυχῶν τὸ σύστημα. Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζομένη, κατὰ τὸν μακάριον Παῦλον. Τὴν αὐτὴν εἰκόνα μεταμορφοῦται ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. Καὶ γίνεται ὅλη φωτοειδής, ὡς ἐοικέναι σελήνῃ. Καὶ σελήνῃ ἐκλεκτῇ. Τουτέστι, πεπληρωμένῃ. Οὐ μόνον δὲ σελήνῃ ἔοικεν, ἀλλὰ καὶ ἡλίῳ. Θάμβος ἐμποιοῦσα τοῖς ὁρῶσιν. Οὐχ ἁπλῶς δὲ ταύτην ἡγοῦμαι κεῖσθαι τὴν τάξιν. Οὐδὲ γὰρ ὡς ἔτυχεν ὑπὸ τοῦ θείου λέγεται πνεύματος. Ἀλλ' ἐπειδὴ νὺξ ὁ βίος, κατὰ τὸν μακάριον Παῦλον. Ἡ νὺξ γάρ φησι προέκοψεν. Ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀναγκαίως ὡς ἐν νυκτὶ οἱονεὶ σελήνη ἐστὶν ἡ Ἐκκλησία, τοὺς ὁδοιπόρους φωτίζουσα. Καὶ τὴν εὐθεῖαν ὁδὸν ὑποδεικνύουσα. Ἔστι δὲ καὶ ὡς ὄρθρος. Ἐπειδὴ οἱονεὶ ὄρθρος ἐστὶν ὁ μετὰ τὴν κυριακὴν παρουσίαν χρόνος. Τὴν μέλλουσαν σημαίνων κατάστασιν.

Οἱόν-

Οἱ ὄντως ἡμέρας περιουσίαν, ὡς ὄρθρος γάρ φησιν ἔτι μόνον εὑρήσομεν αὐτόν. Ὅταν δὲ ἡ ἡμέρα κυρίου ἡ μεγάλη καὶ ἐπιφανὴς ἀφίκηται, κατὰ τὴν τοῦ Προφήτου φωνήν, περὶ ἧς ὁ μακάριος λέγει Παῦλος· ὅτι ἡ ἡμέρα ἤγγικε. Τότε οὐκ ἔτι ὡς σελήνη λάμπει, ἀλλ' ὡς ἥλιος θάμβος ἐμποιοῦσα. Οὐ μόνον τοῖς ἀπίστοις ἀνθρώποις, ἀλλὰ καὶ ταῖς νεάνισι καὶ ταῖς παλλακίσι, καὶ ταῖς Βασιλίσι. Καὶ αὐταῖς ταῖς ἀσωμάτοις δυνάμεσι. Καὶ μάρτυς αὐτὸς ὁ κύριος λέγων. Τότε ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος. Καὶ ὁ μακάριος δὲ Παῦλος φησίν. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης. Καὶ ἄλλη δόξα ἀστέρων. Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Ἐκκύπτει τοίνυν ἡ τοῦ Χριστοῦ νύμφη, ὡσεὶ ὄρθρος. Ἐκ μέρους γὰρ αὐτῆς ἐπὶ τοῦ παρόντος τὸ κάλλος γινώσκεται. Καὶ καλή ἐστιν, ὡς σελήνη. Ἐκλεκτή, τοῦ κυριακοῦ πεπληρωμένη φωτός. Καὶ ταῖς ἀκτῖσιν αὐτῆς τὴν οἰκουμένην φωτίζουσα. Διὸ καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἔλεγε. Τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς. Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. Καὶ δεικνὺς ὁποῖον φῶς, ἐπάγει λέγων. Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα γνῶντες τὰ καλὰ ἔργα ὑμῶν. Δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Οὐ μόνον δέ ἐστιν ἡ νύμφη ὡς ἐκλεκτὴ σελήνη. Ἀλλὰ καὶ ὡς ἥλιος ἀπαστράψει ἐν τῷ μέλλοντι βίῳ, πάντας ἐκπλήττουσα ταῖς λαμπηδόσι. Θαυμάζουσιν αὐτῆς, οὐ μόνον τὸ φῶς, ἀλλὰ καὶ τὴν τάξιν. Οὐδὲν γὰρ ἄτακτον περὶ τὴν τοῦ κυρίου νύμφην. Οὐδὲν ἀόριστον. Οὐδὲν ἀδιάκριτον. Οἷον γάρ τινι σταθμῇ διευθύνει τὸ πρακτέον. Καὶ κανόνι εὐγνώμονι κεχρημένη, τὸν ἑαυτῆς βίον ῥυθμίζει. Ἐπειδήπερ δόξα τῆς διδασκάλου ἐστὶ τῶν μαθητευομένων ὁ φωτισμός τε ἡ κάθαρσις. Περὶ ἧς τε ἔρεστιν:~

ΤΩΝ

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

» Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη.
» Ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμβος ὡς τεταγμέναι.

Δηλαδὴ θαυμασία τίς ἐστιν ἡ διδάσκαλος ὑμῶν. Ὡς ταῖς μὲν ἀποστάσαις τῶν ἔργων τοῦ σκότους διὰ καθάρσεως, μήπω δὲ τὰ ἔργα τῆς δικαιοσύνης καταλαβούσαις διὰ φωτισμὸν γνώσεως. Συγκαταβαίνουσα διδασκαλικῶς, ὡς ἤτοι ἑωθινὸν φῶς. Ἐν τῷ τὰ μὲν τέως ἀχώρητα ταύταις μυστήρια κρύπτειν. Παραδηλοῦν δὲ τὰ χωρητά, καὶ ταῖς ἀπειλαῖς τῶν μελλουσῶν, πρὸς ὑπακοὴν ἐπιστρέφειν. Ταῖς δὲ πιστευσάσαις μὲν τῷ τῆς ἀληθείας κηρύγματι, μήπω δὲ καθαρθείσαις τῶν τοῦ σκότους τῆς κακίας ἔργων. Ἀγαθή ἐστιν, ἐν ταῖς πρὸς μετάνοιαν διδασκαλίαις. Καθάπερ τι σεληνιακὸν φῶς, τὴν νύκτα τῆς ἀγνοίας τούτων καταφαιδρύνουσα. Ταῖς δ' ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατούσαις ἐν ἀρεταῖς ψυχαῖς, ἐκλελεγμένη ἐστίν. Οἷα περ ὁ ἥλιος τῶν λοιπῶν κατ' ἐκεῖνον φώτων, αἴγλῃ τε καὶ μεγέθει διαφανέστερος. Ὡς ἀνατέλλουσα ταύταις, φῶς ἀληθοῦς γνώσεως. Κἀντεῦθεν ἐκπλήττουσα τοὺς ὁρῶντας αὐτήν, καθάπερ ἐπιφάνειά τις Ἀγγελικῶν τάξεων. Καὶ ταῦτα μὲν αἱ μαθήτριαι, περὶ τῆς διδασκάλου εἰρήκασι:~

» Μετὰ οὖν ἐπαίνους τοῦ νυμφίου διακονοῦσα τὰ καθ' ἑ-
» αυτὴν ἡ νύμφη διηγουμένη, φησίν.

Εἰς κῆπον καρύας κατέβην, τοῦ ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάρρου, ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος. Εἰ ἤνθησαν αἱ ῥοαί.

Ἐκεῖ

Ἐκεῖ δώσω τοὺς μαστούς μου σοι. Οὐκ ἔγνω ἡ ψυχή μου. Ἔθετό με ἅρματα Ἀμιναδάβ:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Σφόδρα συγκέχωσται τῇ ἀσαφείᾳ τῶν ῥημάτων ἡ διάνοια. Ἀλλὰ τὴν θείαν χάριν ἐπίκουρον καλέσαντες, διορύξωμεν τὸ βάθος, καὶ τὸν θησαυρὸν ἀνασπάσωμεν, διδάσκει τῶν εὐσεβῶν τὰ συστήματα, ὃ νύμφην ἡ θεία προσαγορεύει γραφή, ὡς οὐκ ἀρκοῦνται τῇ ἑαυτῶν σωτηρίᾳ. Οὐδὲ ἀπόχρην ἡγοῦνται τὸ μόνου τοῦ προσδοκωμένου γάμου τυχεῖν. Ἀλλὰ πᾶσαν συνεισφέρουσι προθυμίαν. Ὥστε καὶ τοὺς ἄλλους ἅπαντας ἀνθρώπους, ἀπαλλάξαι μὲν τῆς ἀκαρπίας. Γονίμους δὲ ἀποφῆναι, καὶ τὸν τῆς ἀρετῆς γεννῆσαι καρπόν. Διδάσκουσι δὲ ὡς ἐν τῷ ταῦτα ποιεῖν, καὶ τὴν διδασκαλίαν τοῖς ἄλλοις προσφέρειν ἀνθρώποις. Ἅρμασιν Ἀμιναδὰβ περιέπεσον. Ἢ ὡς ὁ σύμμαχος ἡρμήνευσεν. Ἅρμασι λαοῦ ἡγουμένου. Ἢ ὡς ὁ Ἀκύλας. Ἅρμασι λαοῦ ἑκουσιαζομένου ἄρχοντος:~

Κῆπον δὲ καρύας, τὸν παρόντα βίον καλοῦσιν. Ὃς πικρός ἐστι καὶ μοχθηρὸς καὶ ἐπίπονος. Ἔχει δὲ ἐν ἑαυτῷ, τὸν τῆς ἀρετῆς καρπὸν κεκρυμμένον. Καὶ γὰρ καὶ ὁ τῆς καρύας καρπὸς, τὸ μὲν ἐξώτερον λέμμα, πικρὸν ἔχει. Τὸ δὲ δεύτερον, σκληρὸν καὶ ἀντίτυπον. Τὸ δὲ ἐδώδιμον, οἷον ἐν θαλάμῳ τινὶ ἀποκείμενον, καὶ κεκρυμμένον, καὶ ἀπόνως οὐκ ἐκφερόμενον. Τοιοῦτος δὲ καὶ ὁ παρὼν βίος, ἔχων ὀδύνας πικρὰς καὶ λύπας. Ἔχων πόνους καὶ ἱδρῶτας. Ἀλλ' οὐκ ἀγόνους οὐδὲ ἀκάρπους. Κεκρυμμένον δὲ τὸν καρπὸν ἔχοντας. Διὸ καὶ ὁ μακάριος Παῦλος φησί. Ὅτι ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. Ὅταν δὲ φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ἡμεῖς ζησόμεθα ἐν αὐτῷ:~

Εἰς κῆπον καρύας κατέβην. Τουτέστιν εἰς τὸν ἀνθρώπινον βίον. Καὶ τί κατέβης ὦ νύμφη; ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάρρου; πάλιν χειμάρρουν, τὰ παρόντα προσηγόρευσεν. Οὐ γὰρ ἀέναος ὁ χείμαρρος, ἀλλ' ἐν χειμῶνι μὲν, φερόμενος. Ἐν δὲ θέρει, λήγων καὶ ξηραινόμενος. Τοιαῦτα δὲ τὰ τοῦ βίου τερπνά. Ἐπὶ μὲν γὰρ τοῦ παρόντος, οἱονεί τις χείμαρρος, καὶ δόξα φέρεται, καὶ πλοῦτος, καὶ βασιλεία, καὶ τρυφή. Καὶ τ' ἄλλα τοῦ βίου ἄνθη. Τοῦ δὲ μέλλοντος βίου φανέντος, φθίνει, καὶ λήγει, καὶ παύεται, δίκην χειμάρρου. Κατέβη τοίνυν φησὶν, εἰς τὸν τῆς καρύας κῆπον, ἰδεῖν ἐν τοῖς τοῦ χειμάρρου γεννήμασιν. Καὶ καταμαθεῖν βουλομένη, εἰ ἤνθησαν αἱ ῥοαί. Ἔχει γὰρ ὁ βίος, τινὰς μὲν ἀνθρώπους, τροπικῶς ἀμπέλους ὀνομαζομένους. Τινὰς δὲ ῥοὰς, κατὰ τὰ διάφορα τῆς ἀρετῆς κατορθώματα. Οἱ μὲν γὰρ, τὴν ἀγάπην φύσει καὶ τὴν ὁμόνοιαν ἀγαπῶσι. Συνημμένοι κατὰ τὸ φρόνημα, καθάπερ τῆς ῥοᾶς οἱ κόκκοι. Οἱ δὲ καὶ οἶνον γεωργοῦσι τῶν λόγων ἄξιον τῶν πατρικῶν, τῇ θεωρίᾳ προσέχειν ἐσπουδακότες. Κατάβασιν δὲ λέγει τὴν συγκατάβασιν. Καὶ γὰρ ὁ μακάριος Παῦλος, ἐγίνετο τοῖς ἀσθενέσιν ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ. Καὶ τοῖς ἀνόμοις ὡς ἄνομος. Μὴ ὢν ἄνομος θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδήσῃ ἀνόμους:~

Κατέβη τοίνυν φησὶν εἰς τὸν τῆς καρύας κῆπον. Φροντίδα ποιουμένη τῶν τοῦ χειμάρρου γεννημάτων. Καὶ τῶν τῆς ἀμπέλου καὶ ῥοᾶς καρπῶν. Οὐκ ἀφέξομαί σου οὐδὲ ἐκεῖ. Ἀλλ' ὀρέξω σοι τοὺς μαστούς μου. Τουτέστι τοὺς τῆς διδασκαλίας μου κρουνούς. Οἰκειοῦται γὰρ τὰ εἰς ἐκείνους γινόμενα, καὶ

να, καὶ λέγει. Ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων τῶν ἐλαχίσων, ἐμοὶ ἐποιήσατε. Τούτοις ἐπιφέρει:~

» Οὐκ ἔγνω ἡ ψυχή μου. Ἔθετό με ἅρματα
» Ἀμιναδάβ.

Ἀφέσερον τοῦτο ὁ σύμμαχος ἡρμήνευσεν εἰρηκώς. Ἡ ψυχή μου ἠπόρησέ με ἀπὸ ἁρμάτων λαοῦ ἡγουμένου. Ταῦτα γάρ φησι ποιῆσαι. Ἐν ἀπορίᾳ γινομένη καὶ ἐκστάσει. Ὅτι ἐγὼ μὲν αὐτοῖς ἐπραγματευσάμην σωτηρίαν. Αὐτοὶ δὲ ἐπέθεντό μοι, τῷ στρατηγοῦντι διαβόλῳ πειθόμενοι, καὶ οἱονεὶ ἅρματα ἐκείνου γινόμενοι. Καὶ ὑπ᾽ ἐκείνου ἡνιοχούμενοι. Τὸ γὰρ Ἀμιναδάβ, λαοῦ ἡγουμένου, ἢ λαοῦ ἄρχοντος ἑρμηνεύεται. Καὶ τοῦτό ἐστιν ἀκριβῶς μαθεῖν, ἔκ τε τοῦ ἀκύλα, καὶ τοῦ συμμάχου, καὶ τῆς ἐκείνων ἐκδόσεως. Λέγει τοίνυν ἡ νύμφη. Τουτέστιν ὁ τῶν ἐν ἀρετῇ τετελειωμένων χορός. Ὅτι ἡμεῖς μὲν πᾶσαν ποιούμεθα τῶν ἀπίστων φροντίδα. Πανταχόθεν αὐτοῖς πορίσαι σωτηρίαν μηχανώμενοι. Τινὲς δὲ αὐτῶν, οἱονεὶ ἅρματα γινόμενοι τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. Τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, κατὰ τὸν μακάριον Παῦλον. Ἐπέθεντό μοι κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντες. Καὶ τοῦτο ἐστὶ σαφῶς εὑρεῖν. Καὶ ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων. Καὶ ἐν ταῖς τοῦ μακαρίου Παύλου Ἐπιστολαῖς. Κηρύττοντες γὰρ τῆς εὐσεβείας τὸν λόγον. Τοὺς μὲν ἔπειθον πιστεύειν. Ὑπὸ δὲ τῶν ἀπίστων ἐξηλαύνοντο. Ἠκίζοντο. Ἐστρεβλοῦντο. Μυρίων θανάτων ὑπέμενον εἴδη. Καὶ μάρτυς ὁ μακάριος Παῦλος λέγων. Ἐν κόποις περισσοτέρως. Ἐν πληγαῖς ὑπερβαλλόντως. Ἐν φυλακαῖς περισσοτέρως. Ἐν θανάτοις πολλάκις. Πεντάκις τεσσαράκοντα παρὰ

μίαν ἔλαβον. Τρὶς ἐραβδίσθην. Ἅπαξ ἐλιθάσθην. Τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. Κινδύνοις ποταμῶν. Κινδύνοις λῃστῶν. Κινδύνοις ἐκ γένους. Κινδύνοις ἐν θαλάσσῃ. Κινδύνοις ἐν ψευδαδέλφοις, καὶ τὰ ἑξῆς:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ΄ΡΩΝ:-

Ταῦτα μὲν αἱ μαθήτριαι, περὶ τῆς διδασκάλου εἰρήκασι. τὰ δ᾽ αὐτῇ περὶ τούτων, πρὸς τὸν νυμφίον, φησίν:~

» Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάρρου. Ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος. Εἰ ἤνθησαν
» αἱ ῥοαί.

Ἤτοι συγκατέβην ἐκ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, ταῖς γεωργούσαις ψυχαῖς οἱονεὶ κάρυα. Κατὰ μὲν τὸ ἐκτὸς λέπυρον, πικρά. Κατὰ δὲ τὸ ἐντὸς, σκληρά. Κατ᾽ ταὐτὸν δὲ τὸν ἔνδον τῶν τοιούτων λεπύρων καρπὸν, ἰδέα, τὴν τῇ πικρίᾳ τῶν ἀκουσίων πειρασμῶν, καὶ τῇ σκληρότητι τῶν ἑκουσίων πεφυλαγμένην, γλυκύτητα τῶν ἀρετῶν. Ἀπό τε τῶν κατέλλειψιν αὐτῶν, καὶ τῶν καθ᾽ ὑπερβολὴν παθῶν. Ὥστε θεάσασθαι ἐν τῇ ὑπομονῇ αὐτῇ κύματα κινέσῃ τῆς ῥεύσης θλίψεως ἐκ τοῦ χειμάρρου τῶν πειρασμῶν. Ἡ θλίψις γὰρ ὑπομονὴν κατεργάζεται. Εἴτε εὐχαριστία, εἴτε δυσφημία προσάγεται αὐτοῖς, τῷ ἰατρικῶς ἀλλ᾽ οὐ τιμωρητικῶς παιδεύοντι. Θεάσασθαι δὲ πάλιν, ἐάν τε αὐτὸς ὁ ἐν Εὐαγγελίοις εἰρηκὼς, ὅτι ἐγώ εἰμι ἡ ἄμπελος. Ἐν τῇ ὑπομονῇ ταύτῃ προδείκνυται ὡς ἄνθος βότρυος, ποιοῦντος οἶνον, τῆς φύσεως ἐκστατικὸν, κατὰ τὴν τῆς θεώσεως χάριν. Ὁ γὰρ ἐν ὑπομονῇ, καὶ αὐτῆς τῆς ἰδίας φύσεως ὑπερρέων. Τὴν ὑπὲρ

φύσιν τῆς θεότητος δέχεται χάριν. Καὶ ἐὰν, αἱ δίκην ῥοιῶν τῷ μὲν φαινομένῳ λεπύρῳ στυφουσῶν, τῷ δ' ἐντὸς τούτου κεκρυμμένῳ καρπῷ. Τοὺς γευομένους γλυκαινουσῶν, πεφυλαγμέναι μὲν τῷ τοῦ φόβου σου στυπτικῷ, εὐφραίνουσαι δὲ τοὺς γευσαμένους τῇ τῆς εἰς σὲ ἐλπίδος γλυκύτητι ἀρεταί. Δηλαδὴ ἡ φρόνησις καὶ ἡ ἀκεραιότης. Δίκην ἀνθοῦντος καρποῦ ἐδείχθησαν ἐν τῇ ὑπομονῇ. Ἡ μὲν φρόνησις, τὴν εἰς σὲ πίστιν ὥσπερ τινὰ κεφαλὴν ἀπὸ τοῦ ἐχθροῦ φυλάττουσα ἄτρωτον. Ἡ δ' ἀκεραιότης, τὴν εἰς τὸν πλησίον ἀγάπην ἀσάλευτον, ἐν ταῖς τῶν πειρασμῶν ποικίλαις ἐπαγωγαῖς, καθὼς αὐτὸς ἐν Εὐαγγελίοις εἴρηκας. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡσεὶ ὄφις. καὶ ἀκέραιοι ὡς αἱ περιστεραί :~

Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. Πάντως ἐν τῷ εἰρημένῳ κήπῳ τῶν ἀρετῶν, ἔξεστιν αἱ ἐν ταύταις πεφυτευμέναι μαθήτριαι. Τὴν εἰς αὐτὰς ἠθικὴν καὶ φυσικὴν διδασκαλίαν μου. Αἷς οἱ ἅπερ γάλακτι φυσικῇ καὶ καταλλήλῳ τροφῇ ταύτας τρέφουσα, προσάξωσι τῷ νυμφίῳ. Ὡς ἐντεῦθεν τὸ σόν τε ποιοῦσαι θέλημα. Καὶ σοὶ τὰς μαθητευομένας μοι προσάγουσαι :~

Εἶτα στρέφουσα τὸν λόγον πρὸς τὰς μαθητευομένας, οἱονεί φησι πρὸς αὐτὰς ὅτι εἰ καὶ συγκατέβην ὑμῖν ἐκ τοῦ μυστικώτερον ὁρᾶν ἐν ἑαυτῇ τὸν νυμφίον μου, εἰς τὸ θεάσασθαι αὐτὸν καὶ ἐν ὑμῖν ὡς εἴρηκα. Ἀλλὰ ἐλέγχω ἡ ψυχή μου. Δηλαδὴ οὔπω ἐθεασάμην αὐτὸν ἐν ὑμῖν, ὡς μὴ τελειωθείσαις ἔτι κατὰ Χριστόν. Οὗτος δ' ἐντεῦθεν, ἔθετό με ἅρματα Ἀμιναδάβ. Εἴτουν πεποίηκέ με ὀχήματα ἑαυτοῦ, ὡς ταῖς διδασκαλίαις φέρουσαν αὐτὸν, ἐφ' ἑαυτῆς πρὸς ὑμᾶς, διαφόρως καὶ καταλ-

λήλως

λήλως ὑμῖν. Ἀμιναδὰβ γὰρ ἄρχων λαοῦ ἑρμηνεύεται, ὅς ἐστι Χριστὸς ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν :~

ΘΕΟΔΩΡΗΤΟΥ :-

Τούτων ὑπὸ τῆς νύμφης ῥηθέντων. Οἱ τοῦ νυμφίου διάκονοι ἀποκρίνονται, καὶ φασὶν αὐτῇ :~

» Ἐπίστρεφε ἐπίστρεφε ἡ Σουλαμῖτις. Ἐπίστρεφε ἐπίστρε-
» φε καὶ ὀψόμεθα ἐν σοί.

Σαφέστερον αὐτὰ ὁ Ἀκύλας ἡρμήνευσεν. Ἐπίστρεφε γάρ φησιν ἐπίστρεφε εἰρηνεύουσα :~

Ὥσπερ Σολομῶντα τὸν εἰρηνικὸν ἡμῶν κύριον ὀνομάζει τὸ σύγγραμμα. Οὕτω καὶ τὴν νύμφην αὐτοῦ εἰρηνεύουσαν. Ὡς τῆς παρ' αὐτοῦ λαχοῦσα εἰρήνης. Καὶ τοῦ προτέρου ἀπαλλαγεῖσαν πολέμου. Ὁρῶντες τοίνυν αὐτὴν οἱ τοῦ νυμφίου διάκονοι ὑπὸ τῶν ἁρμάτων ἐκείνων ἐλαυνομένην, καὶ πολεμουμένην παραθαρρύνοντες φασίν :~

» Ἐπίστρεφε εἰρηνεύουσα. Ἐπίστρεφε ἐπίστρεφε καὶ ὀψό-
» μεθα ἐν σοί.

Ἀντὶ τοῦ μὴ φοβηθῇς τοὺς διώκοντας. Ἀλλ' ἔχου τῆς διδασκαλίας. Πρόφερε τῆς εὐσεβείας τὸ κήρυγμα. Μὴ δείσῃς τὰ ἅρματα. Μὴ φοβηθῇς πόλεμον εἰρηνεύουσα καλουμένη. Ἐὰν γὰρ ἐπιμείνῃς κηρύττουσα, ὀψόμεθά σου τὴν βασιλείαν. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ κυρίου πρὸς τὸν μακάριον Παῦλον ῥηθέντα. Καμὼν γὰρ κἀκεῖνος, καὶ τοὺς πολλοὺς πειρασμοὺς δυσχεράνας, φησίν. Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ ἵνα μὴ ὑπεραίρωμαι. Καὶ

ὑπὲρ

ὑπὲρ τούτου τρεῖς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Ἀποκρίνεται τοίνυν αὐτῷ λέγων. Ἀρκεῖ σοι ἡ χάρις μου. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Τοῦτο καὶ ἐνταῦθα φησίν. Οἱ τοῦ νυμφίου διάκονοι:~

» Ἐπίστρεφε ἐπίστρεφε ἡ Σουλαμῖτις. Ἐπίστρεφε, ἐπίστρε-
» φε καὶ ὀψόμεθα ἐν σοί.

Πρὸς οὓς νυμφίος φησίν.

» Ὄψεσθε ἐν τῇ Σουλαμίτιδι, ἡ ἐρχομένη ὡς χοροὶ τῶν
» παρεμβολῶν.

Εἰ γάρ φησι προσδοκᾶτε ἰδεῖν ἐν τῇ εἰρηνευούσῃ. Μὴ ἐλπίσητε εὐτελῆ τινὰ καὶ μερικὰ θεάσασθαι ἀγαθά. Ἰδοὺ γὰρ ἔρχεται ὡς χοροὶ τῶν παρεμβολῶν. Καὶ δοκεῖ πως ἐναντία εἶναι ἀλλήλοις τὰ ὀνόματα. Οὔτε γὰρ συμβαίνουσιν οἱ χοροὶ τῆς παρεμβολῆς. Οἱ μὲν γάρ εἰσι πανηγυρικοί. Αἱ δὲ στρατιωτικαί. Ἐναντίον δὲ πολέμῳ πανήγυρις. Ἀλλ' αὕτη ἡ νύμφη ἐκ πολλῶν ἁγίων συγκεκροτημένη. Καὶ παρεμβολαῖς ἔοικε, διὰ τὸ ἀνδρεῖον αὐτῆς καὶ γενναῖον φρόνημα καὶ τὴν στρατιωτικὴν πανοπλίαν. Καὶ χορός ἐστι, τὴν θείαν ὑμνῳδίαν ἐν τῷ στόματι φέρων. Καὶ τοῦτο μὲν ὁ μακάριος Δαβίδ, δηλοῖ λέγων. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας, ἐν σκηναῖς δικαίων. Καὶ πάλιν. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Τὰς δὲ παρεμβολὰς ὁ μακάριος Παῦλος ὑποδείκνυσι φάσκων. Τὰ γὰρ ὅπλα ἡμῶν, οὐ σαρκικά. Ἀλλὰ δυνατὰ τῷ θεῷ, πρὸς καθαίρεσιν ὀχυρωμάτων. Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. Καὶ αἰχμαλωτί-

ζοντες

ζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Καὶ πάλιν. Ἀναλάβετε φησὶ τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ. Καὶ πάντα κατεργασάμενοι στῆναι. Χορηγεῖ δὲ τοῖς στρατιώταις. Οἷον τις στρατηγὸς καὶ τὰ ὅπλα. Καὶ φησίν. Στῆτε οὖν περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ. Καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης. Καὶ ὑποδυσάμενοι τοὺς πόδας ὑμῶν ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης. Καὶ ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθαι πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε. Καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ. Ὅτι οὐ δὲ οὐ μόνον παρεμβολαῖς ἐοίκασιν οἱ ἅγιοι. Ἀλλὰ καὶ χοροῖς, ἀκούσωμεν τοῦ κυρίου λέγοντος. Τότε ὁμοιωθήσεται ἡ Βασιλεία τῶν οὐρανῶν, δέκα παρθένοις. Αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Εἰκότως τοίνυν ὁ νυμφίος φησὶν ὡς χοροὶ τῶν παρεμβολῶν. Καὶ οὐκ εἶπεν αἱ παρεμβολαὶ τῶν χορῶν, ἀλλ' οἱ χοροὶ τῶν παρεμβολῶν. Ἀπὸ γὰρ τῶν παρεμβολῶν, γίνονται χοροί. Καὶ νικῶντες ἐν ταῖς παρεμβολαῖς οἱ τῆς ἀρετῆς ἀθληταί. Νεανίζοντες ἐπανέρχονται. Καὶ χορεύοντες τὸν ἐπινίκιον ὕμνον ἄδουσι:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

Αἱ δὲ μαθήτριαι, φασὶ πρὸς τὴν νύμφην:~

» Ἐπίστρεφε ἐπίστρεφε ἡ σουλαμῖτις. Ἐπίστρεφε ἐπίστρε-
» φε, καὶ ὀψόμεθα ἐν σοί.

Ἤτοι συγκαταβαίνετε ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρείας.

Πρὸς

Πρὸς τὴν διὰ τῶν τεσσάρων γενικῶν ἀρετῶν. Ἠθικὴν διδασκαλίαν ἦλθεν. Συμμετριάζουσαι κατὰ τὰς εἰρημένας ἀρετὰς τετραχῶς. Ταῖς ἔτι ὑπὸ παθῶν ὀχλουμέναις ἡμῖν. Ἡ δ' ἀπάθειαν εἰρηνεύουσα ἑρμηνεύεται. Καὶ θεασόμεθα ἐν σοὶ ἃ μήπως ἐν ἑαυταῖς ἑωράκαμεν διὰ τὴν ἡμετέραν ἀτέλειαν. Ἐρωτᾷ δ' αὕτη αὐτάς. Τί ὄψεσθε ἐν τῇ Σουλαμίτιδι ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν; Ἤγουν τί ἐν ἐμοὶ θεάσασθε τῇ εἰρηνευούσῃ. Ὡς μηκέτι πολεμικῶς, καὶ ἀγωνιστικῶς, κατὰ πρᾶξιν τὴν κεκρυμμένην μου διάθεσιν φανερούσῃ διὰ τοῦ σώματος, ἀλλὰ λογικῶς καὶ γνωστικῶς, τοῖς ἀληθῶς ἀγαθοῖς, ἐμμενούσῃ διὰ τελειότητα. Ἡ ἐκ τῶν παθῶν πολέμου ἐπανερχομένη πληθύς. Ὥσπερ ἦνες ἐπινικίους ᾄδοντες ὕμνους χοροὶ, τῶν ἐκ πολέμου ἐπανερχομένων. Γενναίως γὰρ ἐν τῷ κατὰ τῶν παθῶν πολέμῳ ἀγωνισάμενοι κατὰ τοὺς τρόπους τῶν ἀρετῶν. Ὡς ἐπινικίους ὕμνους τοὺς τούτων λόγους ᾄδετε γνωστικῶς:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

Ταῦτα πρὸς τοὺς διακόνους εἰρηκὼς ὁ νυμφίος, πρὸς τὴν νύμφην τρέπει τὸν λόγον καὶ φησί:~

„ Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασι θύγα-
„ τερ Ναδάβ;

Ὁ μὲν Ἀκύλας, ἄρχοντος εἶπεν. Ὁ δὲ Σύμμαχος ἡγεμόνος. Τίς δ' ἂν εἴη ἕτερος οὗτος ὁ ἡγεμὼν, ἢ ὁ ἄρχων; ἢ ὁ Παράκλητος τὸ πνεῦμα τὸ ἅγιον. Ὃς καὶ ἐν τῷ μδ΄. Ψαλμῷ φησὶ πρὸς αὐτήν. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου. Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου

τοῦ Πατρός σου. Καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου ὅτι οὗτος ἐστὶ κύριός σου:~

Ὅτι δὲ καὶ τὴν τοῦ ἡγεμόνος ἔχει προσηγορίαν τὸ πνεῦμα τὸ ἅγιον. Ὁ μακάριος διδάσκει Δαβὶδ λέγων. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με:~

Ἐπαινεῖ τοίνυν ὁ νυμφίος πρῶτον τῆς νύμφης, τὰ διαβήματα εὐθέα ὄντα. Καὶ τὴν Βασιλικὴν ὁδὸν ὁδεύοντα, καὶ καλῶς ἐν τοῖς ὑποδήμασι λάμποντα. Τίνα δὲ τὰ ὑποδήματα ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Παῦλος λέγων. Ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης. Τούτων δὲ τῶν ποδῶν τὸ κάλλος. Καὶ ὁ Προφήτης Ἡσαΐας προορῶν, ἔλεγεν. Ὡς ὡραῖοι οἱ πόδες τῶν Εὐαγγελιζομένων εἰρήνην, τῶν Εὐαγγελιζομένων τὰ ἀγαθά. Τοῖς αὐτοῖς ῥήμασι καὶ ὁ νυμφίος ἐν τῷ δὲ τῷ συγγράμματι κεχρημένος φησίν:~

„ Τί ὡραιώθησαν διαβήματά σου θύγατερ Ναδάβ;

Ἵνα δὲ, μὴ μόνον ἀπὸ τῆς ἑρμηνείας τοῦ ὀνόματος. Ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος λάβωμεν τινὰ θεωρίαν. Φέρε ζητήσωμεν, τίς ὁ Ναδάβ; υἱὸς Ἀαρὼν ἐγένετο. Πῦρ δὲ ἀλλότριον εἰς τὴν τοῦ Θεοῦ σκηνὴν εἰσενεγκὼν τὸ τέλος τοῦ βίου ἐδέξατο. Εὑρίσκομεν τοίνυν καὶ τοῦ κυρίου τὴν νύμφην, τὴν Ἐκκλησίαν φημί. Οὐ τὸ νομικὸν πῦρ εἰς τὴν θείαν εἰσενεγκοῦσαν σκηνήν. Ἔλαβε δὲ τοῦτο τὸ πῦρ, παρ' αὐτοῦ τοῦ νυμφίου. Πῦρ γὰρ ἦλθον βαλεῖν εἰς τὸν κόσμον. Καὶ δεῖ καθέλων ὁ Ἀπόστολος εἰ ἤδη ἀνήφθη τοῦτο τὸ καινὸν πῦρ διὰ τῆς καινῆς διαθήκης, καὶ εἰς τὴν θείαν εἰσήχθη σκηνὴν, βοᾷ καὶ λέγει. Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Εἰκότως τοίνυν

θυγατέρα Ναδὰβ αὐτὴν προσαγορεύει. Ἅτε δὴ τῷ καινῷ πυρὶ, τὴν τῶν ἀνθρώπων θυσίαν ὁλοκαυτώσασαν. Εἰ γὰρ καὶ κατὰ τὸ φρόνημα τῆς τοῦ πυρὸς ἐναλλαγῆς διαφέρουσιν. Ἀλλὰ ἐν ὑπ' ἐκείνου καὶ ταύτης τὸ πρᾶγμα γεγένηται. Ταῦτα δὲ ἐπὶ τοῦ παρόντος εἰρήκαμεν ἵνα μὴ δὲ τὴν προσηγορίαν καταλίπωμεν ἀθεώρητον. Πάλιν τοίνυν ὁ νυμφίος κατὰ μέρος αὐτῆς τὰ μέλη διέξεισι. Καὶ ἑκάστῳ τὴν πρόσφορον εὐφημίαν προσφέρει, καὶ φησιν:~

„ Ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργον χειρῶν τεχ-
„ νίτου. Ὀμφαλός σου κρατὴρ τορευτὸς, μὴ ὑστερούμε-
„ νος κρᾶμα. Κοιλία σου θημωνία σίτου πεφραγμένη
„ ἐν κρίνοις. Δύο μασοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκά-
„ δος. Τράχηλός σου, ὡς πύργος ἐλεφάντινος. Οἱ ὀφ-
„ θαλμοί σου, ὡς λίμναι ἐν Ἐσεβών. Πύλαις θυγατρὸς
„ πολλῶν. Μυκτῆρ σου, ὡς πύργος τοῦ Λιβάνου σκοπεύων
„ πρόσωπον Δαμασκοῦ. Κεφαλή σου, ὡς κάρμηλος ἐπὶ
„ σέ. Καὶ πλόκιον κεφαλῆς σου, ὡς πορφύρα. Βασιλεὺς
„ δεδεμένος ἐν παραδρομαῖς.

ΠΡότερον μὲν οὖν ὁ νυμφίος ἄνωθεν ἀπὸ τῆς νύμφης ἐπῄνεσεν. Ἐπὶ δὲ τοῦ παρόντος ἀπὸ τῶν διαβημάτων, καὶ τῶν ὑποδημάτων τὴν ἀρχὴν ποιησάμενος. Ἄχρι τοῦ πλοκίου τῆς κεφαλῆς ἀνελήλυθε. Καὶ θαυμάζει μετὰ τὰ ὑποδήματα καὶ τὰ διαβήματα, οὐ τοὺς μηρούς. Ἀλλὰ τοὺς ῥυθμοὺς τῶν μηρῶν. Καὶ λέγει αὐτούς. Ἐοικέναι ὁρμίσκοις, ὑπὸ τεχνίτου κατασκευασμένοις. Ὥσπερ γὰρ ἐκεῖνοι φησὶ μετὰ πάσης ἁρμονίας, ἔχουσι τοὺς λίθους τῷ χρυσῷ ἐμπεπηγότας.

Ὥστε τοὺς ὁρῶντας, μὴ μόνον τὰς ὕλας τοῦ χρυσοῦ καὶ τῶν λίθων, ἀλλὰ καὶ τὴν τέχνην τοῦ χρυσοχόου θαυμάζειν. Οὕτως ἕκαστον τῶν τῆς πρακτικῆς ἀρετῆς σου μορίων, ῥυθμῷ καὶ ἁρμονίᾳ κεκόσμηται. Τοὺς γὰρ μηροὺς τροπικῶς, τὴν πρακτικὴν ὠνόμασεν ἀρετήν. Ἐπειδὴ διὰ τούτων τὴν πορείαν ποιούμενοι, δρῶμεν ἃ βουλόμεθα. Θαυμάζει τοίνυν ὁ νυμφίος τὴν νύμφην. Ἀπὸ τῆς πρακτικῆς ἀρξάμενος, καὶ ἄνεισιν ἐπὶ τὴν θεωρίαν. Ἐν ἀρχῇ τοὐναντίον ποιήσας. Ἀπὸ γὰρ τῆς θεωρίας ἀρξάμενος, ἐπὶ τὴν πρᾶξιν ἐλήλυθεν:~

„ Ὀφθαλμοί σου γὰρ ἔφη περιστεραί.

ΤΟ πνευματικὸν τοῦ ὀπτικοῦ τῆς ψυχῆς διὰ τούτου σημαίνων. Ἐνταῦθα δὲ πρακτικὴν ἀρετὴν πρώτην θαυμάζει. Καὶ μάλα εἰκότως. Πρότερον γὰρ φωτιζόμενοι, καὶ τοὺς μεμυκότας τῆς ψυχῆς ἀνοίγοντες ὀφθαλμοὺς, καὶ τὸ θεῖον φῶς εἰσδεχόμενοι, τῇ πίστει βεβαιούμεθα. Καὶ εἶθ' οὕτως, ἐπὶ τὴν πρακτικὴν ὁδεύομεν ἀρετήν. Διὰ τοῦτο τὸ μὲν πρῶτον ἐγκώμιον ὁ νυμφίος ὑφαίνων. Ἀπὸ τῶν ὀφθαλμῶν ἤρξατο τῶν πρώτων τὴν θεραπείαν δεξαμένων. Νῦν δὲ ἐπειδὴ τέλειον τῆς νύμφης τὸ κάλλος ἐγένετο. Κάτωθεν ἀπὸ τῆς ἠθικῆς ἀρχόμενος ἀρετῆς, ἐπὶ τὴν θεωρίαν ἄνεισι τῆς νύμφης τὴν εὐμορφίαν ἐγκωμιάζων. Καὶ πρῶτα μὲν ἐπαινεῖ τὰ διαβήματα. Εἶτα τῶν μηρῶν τοὺς ῥυθμούς. Τουτέστιν ἑκάστου τῶν γινομένων. Μετὰ δὲ τοὺς μηροὺς, τὸν ὀμφαλόν:~

„ Ὀμφαλός σου γάρ φησι κρατὴρ τορευτός, μὴ ὑστερού-
„ μενος κρᾶμα.

Παραθεώμεθα δὲ εἰ δοκεῖ, τὰ περὶ τοῦ ὀμφαλοῦ τῆς Ἰουδαίας ὑπὸ τοῦ θεοῦ τῶν ὅλων εἰρημένα διὰ Ἰεζεκιὴλ τοῦ Προφήτου. Τὴν γὰρ ἀκολασίαν αὐτῆς θριαμβεύων, καὶ τὴν πολλὴν αὐτῆς δημοσιεύων ἀσέβειαν, ὡς καὶ ἐν τῷ πρώτῳ λόγῳ διεξεληλύθαμεν τῷ Προφήτῃ φησίν. Διαμάρτυραι φησὶ τῇ Ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς. Καὶ ἐρεῖς. Τάδε λέγει κύριος τῇ Ἱερουσαλήμ. Ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς Χαναάν. Ὁ πατήρ σου Ἀμμοῤῥαῖος, καὶ ἡ μήτηρ σου Χετταία. Καὶ ἡ γένεσίς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης οὐκ ἐτμήθη ὁ ὀμφαλός σου. Ἐκείνῃ μὲν οὖν φησὶν οὐκ ἐτμήθη ὁ ὀμφαλός σου. Ταύτῃ δὲ ὀμφαλός σου, κρατὴρ τορευτός. Οὐχ ὑστερούμενος κρᾶμα. Ἡ μὲν γὰρ ἐξ Αἰγύπτου τεχθεῖσα οὐκ ἔτεμεν αὐτῆς τὸν ὀμφαλόν. Ἀλλ' ὥσπερ διά τινος ῥίζης εἷλκεν ἐξ Αἰγύπτου τὴν πονηρίαν τῆς δυσσεβοῦς διδασκαλίας. Αὕτη δὲ οὐχ ἁπλῶς τὸν ὀμφαλὸν αὐτῆς ἔτεμεν, ἀλλ' οὕτως ἐβάθυνε τὴν τομήν, ὥστε πᾶσαν τῆς εἰδωλολατρείας ἀνασπάσαι τὴν ῥίζαν, ὡς κρατῆρι τορευτῷ παραβάλλεσθαι. Καὶ τὸ κρᾶμα τῆς εὐφροσύνης διηνεκῶς ἔχειν. Καὶ μηδέποτε ἐλλείπειν αὐτῇ, τὴν ἐκ τῆς εὐσεβείας ἐγγινομένην αὐτῇ θυμηδίαν. Ἀλλὰ καὶ ἡ κοιλία σου θημωνία σίτου, πεφραγμένοι ἐν κρίνοις. Τουτέστι τὰ ταμιεῖά σου τῆς ψυχῆς τῶν κεκρυμμένων μυστηρίων. Ὧν ἡ εὐοσμία μόνη, τοῖς ἀτελέσιν ἔτι καὶ νηπίοις γνώριμος. Κρίνοις γάρ φησιν περιπέφρακται. Ἵνα διὰ μὲν τοῦ περιφράγματος, τὸ κεκρυμμένον νοήσωμεν. Διὰ δὲ τῶν κρίνων, τὴν ἐκεῖθεν πανταχοῦ διαῤῥέουσαν εὐοσμίαν. Καὶ οἱ μαστοί σου δὲ οἱ δύο,

νεβροῖς διδύμοις, δορκάδος ἐοίκασιν. Οἱ γὰρ τῆς διδασκαλίας σου κρουνοί, τὰ καινὰ προσφέροντες νάματα, ὀξυδορκίαν διδάσκουσι, καὶ τὴν πνευματικὴν θεωρίαν, ἡ γὰρ δορκάς, ὀξυδορκίας ἐπώνυμος. Καὶ ὁ νεβρός, τοῦ νέου σημαντικός. Ὁ δὲ τράχηλός σου, ὡς πύργος ἐλεφάντινος. Ἀπήλλακται γὰρ τοῦ μέλας εἶναι. Καὶ ἐλευκάνθη τὸν ζυγόν μου δεξάμενος. Καὶ φοβερός ἐστι τοῖς πολεμίοις ὡς πύργος. Καὶ ποθεινός ἐστι τοῖς φίλοις ὡς λάμπων. Οἱ δὲ ὀφθαλμοί σου, ὡς λίμναι ἐσεβὼν ἐν πύλαις θυγατρὸς πολλῶν. Τοῦτο δὲ ὁ Ἀκύλας ἑρμηνεύων ἀντὶ τοῦ ἐσεβών, ἐπιλογισμὸν τέθεικε. Διδάσκει τοίνυν ὁ νυμφίος. Ὅτι τῶν εὐσεβῶν ψυχῶν τὸ ὀπτικόν, λίμναι εἰσὶ τὰ θεῖα νάματα δεχόμεναι καὶ διηνεκῶς πλημμυροῦσαι. Ἅτε δὴ ἀπὸ πολλῶν πυλῶν. Τουτέστι στομάτων. Τροπικῶς γὰρ τὰ στόματα πύλας ὠνόμασε, τὰ ῥεῖθρα δεχόμενα. Καὶ γὰρ παρὰ τοῦ μεγάλου Μωϋσέως καὶ παρὰ Ἰησοῦ τοῦ Ναυῆ, καὶ Σαμουὴλ τοῦ Προφήτου. Καὶ παρὰ Δαβὶδ τοῦ Προφήτου, καὶ Βασιλέως. Καὶ παρὰ Ἡσαΐου καὶ Ἱερεμίου, καὶ Δανιήλ, καὶ Ἰεζεκιήλ. Καὶ παρὰ τῶν δώδεκα Προφητῶν. Καὶ παρὰ τῶν θείων Εὐαγγελίων, καὶ παρὰ τῶν ἱερῶν Ἀποστόλων, καὶ παρὰ τῶν μετ' ἐκείνους γενομένων διδασκάλων, δέχονται τῆς ὠφελείας τὰ νάματα. Διό φησιν ὁ νυμφίος. Οἱ ὀφθαλμοί σου ὡς λίμναι ἐν ἐσεβὼν ἐν πύλαις θυγατρὸς σιών. Αἱ γὰρ θεωρίαι τῆς ψυχῆς σου καὶ τῶν εὐσεβῶν σου λογισμῶν τὸ πλῆθος, λίμναις ἐοίκασι. Πολλαχόθεν δεχομέναις ὕδατα. Ἐπειδὴ καὶ ἀπὸ πολλῶν στομάτων ὑποδέχῃ τῆς διδασκαλίας τὰ νάματα. Καὶ ὁ μυκτήρ σου δὲ ὡς πύργος ἐστὶ τοῦ Λιβάνου σκοπεύων. Πρόσωπον Δαμασκοῦ. Τῆς μὲν οὖν Ἰουδαίας ὁ μυκτήρ, διὰ τὸ ἀπειθὲς καὶ δυσήνιον, ἐνώτιον ἔλαβεν, οἱονεί τινα χαλινόν, καθάπερ ταῦρος κηρύττων τοῦ

κόμου τὴν ἀπειλήν. Ἐπειδὴ ὡς δάμαλις παρεστῶσα, παροίστρησεν Ἐφραίμ. Ὁ δὲ τῆς νύμφης μυκτὴρ, ὡς πύργος φησὶν ἐστὶ τοῦ λιβάνου, σκοπεύων πρόσωπον δαμασκοῦ. Ὑψηλὸς γάρ ἐστι καὶ μετέωρος, καὶ τῆς ἄνωθεν εὐωσμίας ἀντιλαμβανόμενος. Καὶ τῷ μύρῳ τοῦ νυμφίου προσδεδεμένος. Καὶ βοῶν. Ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δράμωμεν. Διὰ τοῦτο ἀπείκασται πύργῳ, ἐπάνω μὲν τοῦ λιβάνου κειμένῳ σκοπεύοντι δὲ τῆς δαμασκοῦ πρόσωπον. Ἐπειδὴ γὰρ ὁ μετασχηματιζόμενος εἰς Ἄγγελον φωτὸς διάβολος κατὰ τὸν μακάριον Παῦλον, καὶ εἰς μύρον πνευματικὸν σχηματίζεται. Ἀναγκαίως ὁ μυκτὴρ τῆς νύμφης, ἐγρήγορε καὶ νήφει. Σκοπεύει πρόσωπον δαμασκοῦ. Ἵνα μὴ ἀπατηθεῖσα, τὸ μὲν ἀληθινὸν καταλείπῃ μύρον. Τῷ δὲ ψευδεῖ καὶ πλανωμένῳ ἀκολουθήσῃ. Τὴν δὲ Δαμασκὸν, ἐπὶ τῶν ἐθνῶν. Καὶ τῆς τηνικαῦτα δὲ κατ' αὐτοὺς τῆς ἀσεβείας, ἡ θεία πολλάκις τίθησι γραφή. Ἀμέλει, καὶ ὁ μακάριος Ἠσαΐας τὰ περὶ τῆς τοῦ κυρίου Γεννήσεως Προφητεύων. Καὶ εἰρηκὼς ἐκ προσώπου τοῦ πνεύματος. Ὅτι προσῆλθον πρὸς τὴν Προφῆτιν. Τουτέστι πρὸς τὴν παρθένον, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. Ἐπάγει λέγων. Καὶ εἶπε κύριος πρός με. Κάλεσον τὸ ὄνομα αὐτοῦ ταχέως σκύλευσον. Ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ. Καὶ τὰ σκῦλα Σαμαρείας ἀπέναντι Βασιλέως Ἀσσυρίων. Δηλοῖ δὲ, ὅτι παιδίον ὢν, καταλύσει μὲν τὸν τυραννικῶς Ἀσσυρίων Βασιλέα καλούμενον. Τουτέστι τὸν διάβολον. Παραλήψεται δὲ τὴν Δαμασκοῦ δύναμιν. Τουτέστι τῆς εἰδωλολατρείας τὸ κράτος, καταλύσας αὐτὸς, ἐγκρατὴς γενήσεται τῶν αἰχμαλώτων, ὑπὸ τοῦ διαβόλου γεγενημέ-

γεγενημέ-

γενημένων. Λήψεται γάρ φησι δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας. Τούς τε ἐξ ἐθνῶν ἐλευθερώσας, καὶ τῆς πλάνης ἀπαλλάξας, καὶ τὸν τύραννον καταλύσας, ὑφ' ἑαυτὸν ποιήσεται. Εἰκότως τοίνυν τῇ νύμφῃ φησίν. Μυκτήρ σου, ὡς πύργος τοῦ λιβάνου, σκοπεύων πρόσωπον Δαμασκοῦ. Περισκοπεῖς γάρ. Μὴ τὰ θεῖα μιμησάμενος ὁ διάβολος ἐξαπατήσῃ σε, τῇ ἀληθείᾳ τὸ ψεῦδος ἀντιστρατεύων. Καὶ ἡ κεφαλή σου δέ φησιν, ὡς κάρμηλος. Τουτέστι πάντων πεπληρωμένη τῶν ἀγαθῶν. Τοῦτο γὰρ καὶ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ Προφήτου τὴν Ἰουδαίων ἀγνωμοσύνην ἐλέγχων φησίν. Καὶ εἰσήγαγεν ὑμᾶς εἰς τὸν κάρμηλον τοῦ φαγεῖν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ ἀγαθὰ αὐτοῦ. Ἔοικε τοίνυν ἡ κεφαλή σου φησὶ τῷ καρμήλῳ. Πᾶν εἶδος ἀγαθῶν γεννῶντι. Καὶ πάντα καρπὸν ἐμοὶ τῷ γεωργῷ φέροντι. Ἐπίκειται δὲ καὶ πλόκιον τῇ κεφαλῇ σου. Ὡς πορφύρα Βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. Αἱ γὰρ πάλαι τοῦ λελυμέναι τρίχες. Καὶ διὰ τοῦτο ταῖς Ἀγέλαις τῶν αἰγῶν ἀπεικασμέναι, ταῖς ἐν τῷ Γαλαὰδ ἀποκαλυφθείσαις. Νῦν δὲ ἐπλάκησαν. Καὶ οὐκ ἐπλάκησαν μόνον. Ἀλλὰ καὶ θαυμαστὴν ὑπεδέξαντο βαφήν. Καὶ ἐοίκασι Βασιλεῖ ἀναβεβλημένῳ πορφυρίδα, καὶ πάντως σε διατρέχοντι. Καλεῖ δὲ πλοκὴν τριχῶν Βασιλικῇ πορφυρίδι ἀπεικασμένην, τὴν μετὰ ἁρμονίας προσφερομένην διδασκαλίαν. Καὶ τῷ αἵματι τοῦ Χριστοῦ διηνθισμένην. Οὐ γὰρ οὕτω λάμπει Βασιλεὺς ἁλουργίδα περιβεβλημένος, ὡς ὁ τῆς εὐσεβείας διδάσκαλος, τὸ τῆς θεογνωσίας κήρυγμα ἐξυφαίνων, καὶ τοῖς τροφίμοις τῆς ἀληθείας, τοῦτο προσφέρων :~

ΤΩ~Ν

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:~

Αἱ δὲ μαθήτριαι τὸν τῆς νύμφης ἔπαινον ποιεῖσθαι ἀπαρχόμεναι, φασί.

„ Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασι θύγατερ Ναδάβ;

Δηλονότι θαυμάσιον κάλλος ἐνδείκνυνται αἱ κατὰ τὰς ἀρετὰς συγκαταβατικαὶ πρὸς ἡμᾶς πορεῖαί σου, ἐν τοῖς τούτων κατὰ πρᾶξιν τρόποις, οὓς οἷάπερ ὑποδέδενται. Ἵνα διὰ σώματος δειχθῶσι ταῖς ἀτελέσιν ἡμῖν. Καὶ τυπωθῶμεν πρὸς ἀρετὴν τῷ κατὰ σὲ παραδείγματι θύγατερ θεοῦ. Ὡς ἀκούουσα τῶν λόγων αὐτοῦ οἷα πατρός. Ὃς πάντων μὲν, κἂν μὴ θέλωσιν, ἄρχει. Σοῦ δὲ, καὶ ἑκουσίως. Ναδὰβ γὰρ ἄρχων ἢ ἡγεμὼν ἐξουσιαζόμενος ἑρμηνεύεται. Οὕτω δὲ εἰσὶν αἱ κατ' ἀρετὴν πορεῖαί σου ὡραῖαι:~

„ Ὅτι ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργα χειρῶν
„ τεχνίτου.

Δηλαδὴ αἱ κατὰ λόγον εὔτακτοι κινήσεις τῶν περὶ τὰ ἐν γενέσει καὶ φθορᾷ καταγινωμένων πρακτικῶν σου δυνάμεων. Ταῖς ἐπιθυμίαις λέγω, καὶ τοῦ θυμοῦ. Ὡς ὑπὸ τεχνίτου λόγου ἀπὸ τῶν γενητῶν καὶ φθαρτῶν πρὸς τὰ ὑπὲρ ταῦτα καμπτόμεναι, παρεικάζονται ὁρμίσκοις, εἰργασμένοις ὑπὸ χειρῶν τεχνίτου, καμπτοῖς τῷ σχήματι. Ὅθεν καὶ ὀμφαλός σου κρατὴρ τορευτὸς, μὴ ὑστερούμενος κρᾶμα, πάντως τὸ αἰσθητικόν σου. Δι' οὗ ὡς δι' ὀμφαλοῦ τὸ ἐν μήτρᾳ βρέφος τρέφη. Φυσικῶς τῇ καθ' αἴσθησιν θεωρίᾳ τῶν ὄντων συλληφ-

συλληφθεῖσα ὑπὸ τῆς πάντων μητρὸς σοφίας, καὶ τῇ κακίᾳ νηπιάζουσα, δοχεῖον ἐστὶ τῆς φυσικῆς τῶν ὁρατῶν γνώσεως. Καλῶς τῇ μαχαίρᾳ τοῦ πνεύματος ἐξεσμένον, καὶ τῆς ἀπάτης ἀπηλλαγμένον. Κἀντεῦθεν ὡς μὴ ἀλόγως τῶν αἰσθητῶν ἀντιλαμβανόμενον, οὐ ψιλαῖς ταῖς ἐπιφανείαις τῶν ὁρατῶν ἐπιφέρεται. Ἀλλὰ πάσαις τοῖς πνευματικοῖς τούτοις λόγοις κεκερασμένῳ. Ἡ δὲ κοιλία σου, θημωνία σίτου πεφραγμένη ἐν κρίνοις. Ἤτοι τὸ φανταστικόν σου. Ὅπερ οἷα κοιλία, σὺν τοῖς περιττώμασι σὺν ἐκ τῶν βρωμάτων χυμοὺς ἀδιακρίτους τούτων ἐπιφερομένη. Ἅμα ταῖς ἐπιφανείαις τῶν ὁρατῶν, τοὺς τούτων ἐπιφέρεται λόγους. Ἀπόθεσις ἐστὶ καὶ διαμονὴ, ὅπερ τὸ θημωνία δηλοῖ, τοῦ ἔνδοθεν τῶν φανθεισῶν ἐπιφανειῶν, ὡς ὑπὸ ἀσταχύων σίτου περικαλυπτομένου τῆς ἐν ὅλοις ἀληθείας λόγου. Ἄχρις ἂν μετ' ἐπιστήμης διακρίνασα ἐφελκύσηται αὐτὸν ἡ διάνοια. Καὶ γυμνὸν παντὸς ἐπικαλύμματος, καὶ περιβλήματος παραπέμψει τῷ νῷ. Πεφυλαγμένη δὲ ἐστὶν ἡ ἀπόθεσις αὕτη, ἡ διὰ τῶν κρίνων τοῦ ἀγροῦ παραδειγματιζομένη ἐν Εὐαγγελίοις ἀμεριμνίᾳ. Ἵνα μὴ ὑπὸ τῶν τοῦ βίου διαφθαρῇ μεριμνῶν. Καὶ τοῦ ἐν ταύτῃ πνευματικοῦ καρποῦ, ὁ καλὸς Γεωργὸς νοῦς στερηθῇ, καὶ οὕτω μὲν ἡ κοιλία σου:~

„ Οἱ δὲ δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος.

Ἤγουν ἡ φυσικὴ καὶ ἡ ἠθικὴ διδασκαλία σου. Δι' ὧν τοὺς ἀτελεῖς τρέφεις ἡμᾶς. Οἷάπερ γάλακτι τοῖς φυσικοῖς λόγοις καὶ τρόποις πρὸς τὴν ἐν Χριστῷ τελειότητα. Ἅμα ἐκ σοῦ, κατὰ μὲν θεωρίαν ὀξυδερκῶς, κατὰ δὲ πρᾶξιν ὀξυδρόμως προϊοῦσιν. Ὡς μήτε τὸν λόγον ἄπρακτον, μήτε τὴν

πρᾶξιν ἄλογον ἐπιδεικνυμένης. πρὸς τούτοις δὲ, τράχηλός σου ὡς πύργος ἐλεφάντινος. Εἴτουν τὸ συνάπτον τῷ νῷ τὴν αἴσθησιν λογικόν σου. Καθάπερ τράχηλος τῇ κεφαλῇ τὸ λοιπὸν σῶμα, οἷα μὲν πύργος αἴρεται κατ' ἀρετὴν ἀπὸ τῶν σαρκικῶν πρὸς τὰ πνευματικὰ καὶ οὐράνια. Οἷα δ' ἐλεφάντινος, λεῖον ὑπάρχει καὶ καθαρόν. Διὰ τὸ ἀπηλλάχθαι τῆς κατ' ἔλλειψιν ἀρετῆς, καθ' ὑπερβολὴν μολυντικῆς τῶν ψυχῶν ἀνισότητος:~

» Καὶ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβὼν ἐν πύλαις θυ-
» γατρὸς πολλῶν.

Δηλαδὴ αἱ θεωρητικαὶ τῆς ψυχῆς σου δυνάμεις, οἷα περιλίμναι. Συνάγουσαι ἐν τῇ αὐξήσει τῆς κατ' ἀρετὴν θείας καρποφορίας. Ὅπερ τὸ Ἐσεβὼν ἑρμηνεύεται, διὰ μέσων τῶν αἰσθήσεων. Δι' ὧν ὥσπερ τινῶν πυλῶν, εἰς νοερὰν ψυχὴν ἡ τῶν ὅλων γνῶσις εἰσιέναι πέφυκε, τὴν τικτομένην κατὰ θεωρίαν γνῶσιν, ἐκ τῆς διαφόρου φύσεως τῶν ὄντων. Πρὸς δὲ τούτοις:~

» Μυκτῆρ σου, ὡς πύργος τοῦ λιβάνου. Σκοπεύων πρό-
» σωπον Δαμασκοῦ.

Δηλονότι, τὸ, οἷάπερ εὐωδίαν ἀπὸ δυσωδίας χωρίζων, τὰς ὑποθήκας τῶν εἰς διακονίαν ἀποστελλομένων διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν λειτουργικῶν πνευμάτων, ἀπὸ τῶν ὑποβολῶν τῶν τῆς πονηρίας πνευμάτων, διακριτικόν σου. Οἱονεὶ πύργος ὑψηλότατος, κατὰ τὸν λίβανον ὄρος. Ἀποβλέπων κατὰ πρόσωπον τῆς πόλεως Δαμασκοῦ. Καὶ τὰς ἐκεῖθεν τῶν ἐχθρῶν ἐφόδους τοῦ Ἰσραὴλ μηνύων. Ἐξ ὑψηλοτάτης γνώσεως, τὰς ἐπελεύσεις τε καὶ ἐνέδρας τῶν ἀ-

καθάρ-

καθάρτων πνευμάτων, ἀποβλέπει καὶ διακρίνει, καὶ τοὺς δόλους αὐτῶν, τὸ κατὰ τὸ δυνατὸν θεὸν ὁρῶντι νοός σου μηνύων, ἀνέπαφόν σε τῆς παρ' αὐτῶν βλάβης διατηρεῖ. Τοιοῦτον δέ σοι ἐστὶ τὸ διακριτικόν, ὅτι κεφαλή σου ἐπὶ σὲ, ὡς ὁ Κάρμηλος. Πάντως Χριστὸς ὁ νυμφίος σου. Ὁ ζῶν καὶ ἐνεργὴς λόγος. Καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος. Ἐπίγνωσις ἐστὶν ἐν σοὶ περιτομῆς. Ὅπερ ὁ Κάρμηλος ἑρμηνεύεται. Περιελὼν σου τὸ ἀπὸ γενέσεως τῶν παθῶν κάλυμμα τῇ μαχαίρᾳ τοῦ πνεύματος, κἀντεῦθεν τὸ ὄμμα τῆς διανοίας σου καθαρῶς ὁρᾶν δύναται. Τὰς μηχανὰς τῶν νοητῶν ἐχθρῶν, μή τινος πάθους ἐπισκοτοῦντος αὐτῷ. Διόπερ καὶ πλόκιον κεφαλῆς σου, ὡς πορφύρα. Ἤτοι ἡ διὰ λόγων καὶ τρόπων πλεχθεῖσα σοι διδασκαλία αὐτοῦ τοῦ Χριστοῦ. Οἷα βασιλείας ἔνδυμα ἐστὶ τοῦ νοός σου περιβολή. Ἐν ᾗ ὁ νοῦς, παθῶν γίνεται αὐτοκράτωρ. Καὶ ὑπάρχει βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. Ἤγουν μήτινι ὑποκείμενος πάθει. Ἀλλὰ τῇ χοίνῳ τῆς εἰρημένης θείας διδασκαλίας. Δεδεσμημένος ἐν παρόδοις τῆς παρούσης βιοτῆς, ἵνα μὴ καταπέσῃ, τῷ κατ' αἴσθησιν τῶν προσκαίρων ὀλισθηρῷ:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

» Τί ὡραιώθης, καὶ τί ἡδύνθης ἀγάπη ἐν τρυ-
» φαῖς σου.

Ὡραία γὰρ ἐγένου. Μὴ οὖσα πρότερον ὡραία. Καὶ ἡ δείας ἁπάσης πλήρης ὑπάρχουσα. Ἐξαίφνης ἀνεπέφηνας ἡδεῖα. Καὶ τούτων τετύχηκας ἐν τρυφήσασα τῇ ἀγάπῃ. Ἀγαπήσασα γὰρ τὸν ἀγαπήσαντά σε νυμφίον, καὶ τρυφὴν ἡ-

 γησα-

γησαμένη, τὸ περὶ τούτου φίλτρον. Πάντων ὁ μοῦ κατεφρόνησας, διό:~

» Ὡραιώθης καὶ ἡδύνθης. Ἀλλὰ καὶ τὸ μέγεθός σου ὡ-
» μοιώθη τῷ φοίνικι. Καὶ οἱ μαστοί σου τῆς βότρυσιν.

ΟΥ γὰρ μόνον κάλλος ἔχεις, ἀλλὰ καὶ ὕψος. Ἀπεικασμένον φοίνικι. Οἱ δὲ μαστοί σου τοῖς τούτου βότρυσιν ἐοίκασιν. Ὑψηλὴ γὰρ οὖσα καὶ μετέωρος, καὶ οὐρανίων ἀψίδων ἐφικνουμένη, συγκαταβαίνεις τοῖς ἀσθενέσι, καὶ ὀρέγεις τοὺς μαστούς σου. Καὶ τὰς τῆς διδασκαλίας θηλὰς τοῖς τῆς διδασκαλίας δεομένοις. Καὶ γὰρ ὁ φοίνιξ κάτω νεύοντας ἔχει τοὺς βότρυας. Τοῦτο καὶ διὰ τοῦ μακαρίου Δαβὶδ τὸ πνεῦμα λέγει τὸ ἅγιον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Ἀκούσασα γὰρ τὸν ἔπαινον ἡ νύμφη, καὶ τῶν πολλῶν ἐγκωμίων πληρωθεῖσα. Καὶ προθυθεῖσα τῷ φίτρῳ, φησίν:~

» Εἶπον ἀναβήσομαι ἐπὶ τῷ φοίνικι. Κρατήσω τῶν ὕψεων
» αὐτοῦ. Καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέ-
» λου. Καὶ ὀσμὴ ῥινός σου ὡς μῦλα. Καὶ λάρυγξ σου ὡς οἶνος
» ἀγαθός, πορευόμενος τῷ ἀδελφιδῷ μου. Εἰς εὐθύτητα
» ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν.

ἜΣτιν ἐντεῦθεν ἀκριβῶς καταμαθεῖν, ὅπως ποθεῖ τὸν νυμφίον ἡ νύμφη. Καὶ τῆς ἀναβάσεως ἐφίεται. Καὶ τὸ ὕψος φαντάζεται. Καὶ κατὰ τὸν μακάριον Παῦλον, οὐ νομίζει κατειληφέναι, ἀλλὰ διώκει ἵνα καταλάβῃ. Καὶ τῶν μὲν ὄπισθεν ἐπιλανθάνεται. Τοῖς δ᾽ ἔμπροσθεν ἐπεκτείνεται. Ζητητέον δὲ πῶς ὁ νυμφίος, καὶ φοῖνιξ ἐστὶ καὶ ἄμπελος. Καὶ φοίνικος μὲν οὐκ ἔχει καρπόν. Ἀμπέλου δὲ βότρυας ἐκ-

τρυας ἐκ

τρυας ἐκφέρει. Ὁδηγήσει δὲ ἡμᾶς ἐπὶ τὴν κεκρυμμένην διάνοιαν, ἡ τοῦ Ἀκύλα ἑρμηνεία. Ἀντὶ γὰρ τοῦ κρατήσω τῶν ἐλατῶν αὐτοῦ. Οἱ δὲ ἐλάται. Τῶν ἀρρένων εἰσὶ φοινίκων καρποί. Τοῖς θήλεσι φοίνιξιν ἐντιθέμενοι. Καὶ μονίμους τε πέπονας τοὺς ἐκείνων καρποὺς ἐργάζονται. Ἐπείγεται τοίνυν ἡ νύμφη λαβεῖν παρὰ τοῦ νυμφίου τὰς τῶν εὐσεβῶν γονῶν ἀφορμάς, καὶ φησίν:~

» Εἶπον ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, καὶ κρατήσω τῶν
» ὕψεων αὐτοῦ. Ἢ ὡς ὁ Ἀκύλας τῶν ἐλατῶν αὐτοῦ. Καὶ
» ἔσονται δὴ μαστοί σου. Ὡς βότρυς τῆς ἀμπέλου:~

ΣΥ γὰρ εἶ ἡ ἀληθινὴ ἄμπελος. Ἀφ᾽ ἧς ὁ σωτήριος οἶνος γεωργούμενος. Ἐν ταῖς πνευματικαῖς ἀποθλίβεται ληνοῖς. Ἀφ᾽ ὧν τὸ ποτήριον πληροῦται τὸ μεθύσκον ὡσεὶ κράτιστον:~

» Καὶ ὀσμὴ ῥινός σου. Τῇ τοῦ μύλου ἔοικεν εὐωδίᾳ.

ΚΑὶ γὰρ αὐτὸ τὸ τῆς ὀσφρήσεώς σου δοχεῖον. Καὶ αὐτό μοι εὐωδίαν ἐκπέμπει μύλοις ἀπεικασμένην. Ἱκανὰ δὲ τὰ περὶ τῶν μύλων εἰρημένα ὑμῖν ἐν τῇ τοῦ μύλου ἀρχῇ:~

» Καὶ ὁ λάρυγξ δέ σου ὡς οἶνος ἀγαθότητος. Πορευόμενος
» τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα ἱκανούμενος. Χείλεσί μου
» καὶ ὀδοῦσί μου.

ἩΓὰρ ἐκ τῆς φάρυγγός σου προσφερομένη διδασκαλία, οἴνου παντὸς ἀνθοσμίου, καὶ πάσης εὐφροσύνης βιωτικῆς ἀμείνων τυγχάνει, ἣν προσφέρεις ἀδελφιδέ μου διευθῦναι βουλόμενος, τὰς εἰς σὲ πεπιστευκυίας ψυχάς. Ἱκανὴ δέ μοι αὕτη καὶ ἀπαρκοῦσα. Ἵνα τὰ μὲν, προσφέρω καὶ κη-

ρύττω.

ρύττω, ὀργάνοις τοῖς χείλεσι κεχρημένη. Τὰ δὲ φρουρῶ καὶ φυλάττω, τοὺς ὀδόντας ἀντὶ τειχέων περιθεῖσα. Τούτοις ἁρμόττει καὶ τὰ παρὰ τοῦ μακαρίου Παύλου εἰρημένα. Ἤκουσα γάρ φησιν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Διὰ τοῦτο καὶ ἡ νύμφη φησίν :~

„ Ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσί μου.

ΙΝα τὰ μὲν προσφέρω. Τὰ δέ, φυλάττω. Τούτοις ἐπιφέρει :~

„ Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.

ΑΥτῷ γὰρ ἐμαυτὴν ἀνατέθεικα. Καὶ πᾶσαν ἀλλοτρίαν κοινωνίαν ἐβδελυξάμην. Ἑλληνικήν. Ἰουδαϊκήν. Αἱρετικήν. Καὶ γὰρ αὐτὸς πάντων με τῶν ἄλλων προτέθεικε. Καὶ πρὸς ἐμὲ τὴν ἀποστροφὴν ἔχει. Οὐ γὰρ ἔχων πρότερον ποῦ κλῖναι τὴν κεφαλήν. Εὗρον ποῦ κλίνω τὴν κεφαλήν. Καὶ πολλὰς ἔχων παλλακίδας. Πάντων με προτίθησιν ἀλλ' οὖν κἀνέχομαι μόνη τῆς ἱερᾶς αὐτοῦ κοινωνίας ἀπολαύειν :~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

„ Τί ὡραιώθης καὶ τί ἡδύνθης. Εἴτουν θαυμάσιον περιεβάλλου κάλλος.

ΔΗλαδὴ τὸ καθ' ὁμοίωσιν τοῦ ἀρχετύπου, καθὸ τῷ νυμφίῳ συγκινομένη, καὶ ἀπολαύουσα τούτου. Ἐπλήσθης πνευματικῆς ἀφράστου ἡδονῆς. Καὶ γὰρ ἀγάπη ἐν τρυφαῖς σου. Δηλονότι ταῖς κατ' ἀρετήν. Γευσαμένη γὰρ καὶ θεασαμένη ὅτι Χρηστὸς ὁ κύριος. Οὐκ ἐπὶ φόβῳ τῷ ἀγαθῷ ἐν τρυφαῖς. Ἀλ-

λ' ὅλη

λ' ὅλη τῆς ἀγάπης τούτου ἐξήρτησαι. Ἥτις ἔξω βάλλει τὸν φόβον. Ὅθεν τὸ μέγεθός σου ὡμοιώθη τῷ φοίνικι. Πάντως τὸ κατ' ἀρετὴν ὕψος σου παρείκασαι. Τῷ τῇ μὲν γῇ, οὐκ εἰς βάθος ἐρριζωμένῳ, εἰς ὕψος δ' ἱκανῶς ἀνατρέχοντι φοίνικι. Καὶ γὰρ καὶ αὐτὴ τῶν γηΐνων διὰ τὴν ἀνάγκην τοῦ σώματος ἄκροις τοῖς λογισμοῖς ἐπιψαύουσα, αὐτῶν ἅπτῃ τῶν οὐρανίων. Εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ φθάσασα. Καὶ οἱ μαστοί σου τοῖς βότρυσιν. Ἤγουν ἡ ἠθικὴ καὶ ἡ φυσικὴ διδασκαλία σου. Δι' ὧν ἡμᾶς ἔτι νηπίους οὔσας, γάλα ἐπότισας. Εἰσαγωγικῶς πρὸς θεοσέβειαν ἐκπαιδεύουσα, νῦν ὡμοίωνται τοῖς τοῦ φοίνικος βότρυσιν. Ἐν τῷ ἑστιᾶν ἡμᾶς προκοψάσας εἰς τελειότητα, τὴν θειοτέραν διδασκαλίαν, ὡς μελιτώδη γλυκυτέραν τῶν βοτρύων τοῦ φοίνικος. Τὸ γοῦν μέγεθός σου τῆς διδασκαλίας. Τῷ φοίνικι παρεικάσασα, ἡ μαθητευομένη σοι πληθύς :~

„ Εἶπα ἀναβήσομαι ἐπὶ τῷ φοίνικι. κρατίσω τῶν ὄψεων
„ αὐτοῦ. Καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμ-
„ πέλου.

ΔΗλαδὴ ἐν ἐμαυτῇ βουλευτικῶς ἔφην. Ἀνελεύσομαι μιμητικῶς ἐπὶ τὴν κατ' ἀρετὴν τῆς διδασκαλίας μου τελειότητα. Καὶ τὰ κατὰ γνῶσιν ὑψηλότατα αὐτῆς καταλήψομαι θεωρήματα. Καὶ αἱ φυσικῶς οἷα μαζοὶ τρέφουσαί με διδασκαλίαι σου, ὑπάρξουσι πάντως ὡς βότρυες τῆς ἀληθινῆς ἀμπέλου Χριστοῦ. Χορηγοῦσαι μοι τὴν κατὰ χάριν θέωσιν, ἥτις δίκην οἴνου φύσεως τὸν νοῦν ἐξιστᾷ, καὶ πρὸς τὰ ὑπὲρ φύσιν μεθίστησιν. Ἐντεῦθεν δὲ καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα. Εἴτουν ἡ πληροῦσα νοητῆς εὐωδίας τοῦ παναγίου πνεύματος

χάρις.

χάρις. Ἣν αὐτὴ μὲν εἰς σὲ ἐπενδύσασα, ἀπὸ τοῦ νυμφίου ταύτης μεταλαβοῦσα, ἐμοὶ δὲ ταύτην ἐνέδυσας. Μεταδοῦσά μοι αὐτῆς, οἷάπερ μῆλα τὴν ὥραν μὲν εὐπρεπῆ. Εὐῶδες δὲ τὴν ὀσμὴν, καὶ τὴν γεῦσιν ἡδέα. Εὐπρεπὴς μὲν, κατὰ τοὺς τρόπους τῶν ἀρετῶν. Εὔπνους δὲ κατὰ τοὺς λόγους αὐτῶν. Καὶ γλυκεῖα, κατὰ τὴν πεῖραν μοι ἔσεται :~

» Καὶ ὁ λάρυγξ σου ὡς οἶνος ἀγαθὸς, πορευόμενος τῷ ἀδελ-
» φιδῷ μου εἰς εὐθύτητας. Ἱκανούμενος χείλεσί μου καὶ
» ὀδοῦσιν.

Ἤτοι ὁ διδασκαλικὸς λόγος σου, οἷάπερ οἶνος κάλλιστος καρδίας εὐφραντικὸς ὑπάρξει μοι, προσφερόμενος ἐν τῷ ἀγαπητῷ μου. Οὗ μοι αὐτὴ πόθον ἐνέσταξας. Εἰς ἀπλανεῖς κατ' ἀρετὴν ὁδοὺς, ἐν τῷ ἔχεσθαι τούτου ὡς ἀληθείας. Καὶ μὴ συγχωρεῖν με εἰς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη. Ἢ τὰ καθ' ὑπερβολὴν πλαγιάζειν, πρὸς δὲ καὶ ἀρκεῖσθαι ταῖς τε ὀρεκτικαῖς μου δυνάμεσι, δι' ὧν οἷα χειλέων πᾶν ἀσπάζομαι τὸ κατὰ βέλτιστον. Καὶ ταῖς διανοητικαῖς, δι' ὧν ὥσπερ ὀδόντων πρὸς βρῶσιν πνευματικὴν τὸ δυσχερὲς τῶν νοημάτων καταλεαίνω. Τῆς γοῦν πληθύος τῶν μαθητευομένων ἀπαιτησάσης τὴν διδάσκαλον ἐπιστρέψαι ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας. Καὶ συγκαταβῆναι κατὰ τὴν ἠθικὴν φιλοσοφίαν αὐταῖς. Ὥστε θεάσασθαι ἐν αὐτῇ τὰ εἰρημένα ταύτης πνευματικὰ κάλλη. Καὶ συναναβῆναι ταύτῃ διὰ μιμήσεως πρὸς ταύτας. Αὕτη φησὶν :~

» Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.

Δηλαδὴ αὐτὴ τῷ ἀγαπητῷ μου ὅλην ἐμαυτὴν ἀνεθέμην.

Καὶ

Καὶ χωρὶς αὐτοῦ, οὐδὲν ποιεῖν βούλομαι. Καὶ ἐπ' ἐμὲ τὴν οὕτω φρονοῦσαν, ἡ αὐτοῦ συγκατάβασις γίνεται. Ἐπιστρέφοντος ἀπὸ τῆς ἰδίας περιωπῆς. Ὅπως ὁ ἀόρατος ὁρῷτο, τοῖς βουλομένοις τοῦτον ὁρᾶν. Ἀλλ' οὐκ ἀνέχομαι μόνη τῆς ἱερᾶς αὐτοῦ ἀπολαύειν κοινωνίας. Βούλομαι δὲ καὶ τοὺς ἀτελεῖς ἔτι, τῆς παρ' αὐτοῦ σωτηρίας τυχεῖν. Διὸ βοῶ καὶ λέγω :~

» Ἐλθὲ ἀδελφιδέ μου, καὶ ἐξέλθωμεν εἰς ἀγρόν. Αὐλισ-
» θῶμεν ἐν κώμαις. Ὀρθρίσωμεν εἰς ἀμπελῶνας. Εἴ-
» δωμεν εἰ ἤνθησεν ἡ ἄμπελος. Εἰ ἤνθησεν ὁ κυπρισ-
» μός. Εἰ ἤνθησαν αἱ ῥοαί. Ἐκεῖ δώσω τοὺς μαστούς μου
» σοι. Οἱ μανδραγόραι, ἔδωκαν ὀσμήν. Καὶ ἐπὶ θύ-
» ραις ἡμῶν πάντα ἀκρόδρυα. Νέα πρὸς παλαιὰ
» ὅσα ἔδωκέ μοι ἡ μήτηρ μου. Ἀδελφιδέ μου ἐτήρησά σοι.

ΘΕΟΔΩΡΗΤΟΥ :-

Προτρέπει τὸν νυμφίον ἡ νύμφη. Καὶ τῶν εὐτελῶν ἔτι καὶ ταπεινῶν φροντίσαι ψυχῶν. Ἃς τροπικῶς ἀγρὸν καὶ κώμας ὀνομάζει ὡς ταπεινὰς, καὶ μικράς. Οὐ γὰρ λέγει, ἐξέλθωμεν εἰς πόλιν, ἀλλ' ἐξέλθωμεν εἰς ἀγρόν. Αὐλισθῶμεν ἐν κώμαις. Ὀρθρίσωμεν εἰς ἀμπελῶνας. Ἴδωμεν, εἰ ἤνθησεν ἡ ἄμπελος. Ἐπισκεψώμεθα φησὶ τοὺς ἄρτι τὸ κήρυγμα δεξαμένους, εἰ ἤνθησεν ὁ κυπρισμός. Ἴδωμεν καὶ τούτους ἀμείνους. Οἵτινες οὐ μόνον φύλλα, ἀλλὰ καὶ αὐτὸ τὸ ἄνθος ἐβλάστησαν. Ὅπερ κυπρισμὸν ἐνταῦθα προσηγόρευσεν. Εἰ ἤνθησαν αἱ ῥοαί. Εἰ γέγονε φησὶν ἐν πίστει ἀγάπης ἀρχή. Χρὴ γὰρ ἡμᾶς προνοῆσαι. Καὶ πᾶσαν τὴν ἁρμόττουσαν ἐπιμέλειαν προσενεγκεῖν. Τοῦτο γὰρ ποιοῦσαι, σὲ θεραπεύ-

σω

σω. Ἐκεῖ γὰρ δώσω τοὺς μαστούς μου σοί. Οἰκειοῦσαι γὰρ τὰ εἰς ἐκείνους λεγόμενα. Καὶ λέγεις. Ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν. Ὕπνον οἶδεν ἐμποιεῖν ὁ μανδραγόρας ὡς ἰατρῶν παῖδές φασιν. Ἐπειδὴ τοίνυν νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς προστετάγμεθα. Οὐχ ἵνα αὐτὰ τὰ μέλη παραδῶμεν τῷ θανάτῳ. Ἀλλ᾽ ἵνα νεκρὰ ταῖς κακαῖς ἀποφήνωμεν ἐνεργείαις, εἰκότως τὸν μανδραγόραν ἐνταῦθα τέθεικε καὶ φησίν. Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν. Ἀντὶ τοῦ ἤρξαντο καθεύδειν ταῖς ἁμαρτίαις οἱ ἄνθρωποι. Καὶ καθάπερ οἱ μανδραγόραν πεπωκότες, οὐκ αἰσθάνονται τῶν τοῦ σώματος κινημάτων. Οὕτως οἱ τῆς εὐσεβοῦς διδασκαλίας ἐκπίνοντες τὴν κύλικα, τὰ πάθη κοιμίζειν σπουδάζουσιν. Οὐ μόνον δὲ οἱ μανδραγόραι ἔδωκαν ὀσμήν. Ἀλλὰ καὶ ἐπὶ θύραις ἡμῶν πάντα τὰ ἀκρόδρυα. Πᾶν γὰρ εἶδος καρποφοροῦσιν, οἱ τὴν ἡμετέραν διδασκαλίαν δεξάμενοι:~

» Ἐγὼ νέα πρὸς παλαιά. Ὅσα ἔδωκέ μοι ἡ μήτηρ μου.
» Ἐτήρησά σοι ἀδελφιδέ μου.

ΚΑὶ γὰρ τῆς παλαιᾶς διαθήκης τὰς ἐντολάς. Καὶ τῆς καινῆς διαθήκης τὰς ὑποθήκας. Ἃς ὑπὸ τῆς μητρός μου τῆς τοῦ πνεύματος χάριτος ἐδεξάμην, ταύτας σοι τετήρηκα. Καὶ τὴν παραθήκην ἄσυλον διεφύλαξα. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ μακαρίου Παύλου Τιμοθέῳ γραφόντα. Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι. Τὸν δρόμον τετέλεκα. Τὴν πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, » ὃν ἀποδώσει μοι κύριος, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής. Καὶ πάλιν ἐν Εὐαγγελίοις τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον. Ὅτι

πᾶς

πᾶς γραμματεὺς μαθητευθεὶς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅμοιός ἐστιν ἀνθρώπῳ ἐκβάλλοντι ἐκ τοῦ θησαυροῦ αὐτοῦ νέα καὶ παλαιά:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΈΡΩΝ:-

ΛΈγω οὖν ἡ νύμφη πρὸς τὰς μαθητευομένας. Λοιπὸν τῷ νυμφίῳ μου, καὶ τὴν αἴτησιν ὑμῶν ἀναφέρουσα, φημί. Ἐλθὲ ἀδελφιδέ μου. Ἐξέλθωμεν εἰς ἀγρόν. Ἤγουν δεῦρο ἀγαπητέ μου ἐξέλθωμεν, ἐγώ τε ἡ μυστικῶς θεωροῦσα σε, καὶ αὐτὸς ὁ οὕτως μοι θεωρούμενος πρὸς τὸν χορὸν τῶν μαθητευομένων μοι. Ὃν ὥσπερ ἀγρόν τινα τριβόλων, καὶ ἀκανθῶν τῶν συμπνιγουσῶν αὐτὸν τοῦ βίου μεριμνῶν, καὶ λογισμῶν ἐμπαθῶν ἐξεκάθηρα. Ἐξέλθωμεν δὲ φανερώσαντες αὐτῷ τὴν πνευματικὴν συνάφειαν ἡμῶν, ἐν τοῖς κατὰ πρᾶξιν τρόποις τῶν ἀρετῶν. Ἐξιόντες δ᾽ ὡς εἴρηται, αὐλισθῶμεν ἐν κώμαις. Ἤγουν κατασκηνώσωμεν ἐν ψυχαῖς τῷ ὀνόματί σου. Πάσας τὰς θεωρητικάς, καὶ τὰς ὀρεκτικὰς δυνάμεις αὐτῶν. Καὶ τὰς αἰσθήσεις ἐπὶ τὸ αὐτὸ συναθροιζούσαις. Οἵαπερ κῶμαι τοὺς οἰκοῦντας αὐτάς. Αὐτὸς μὲν οἰκητήριόν σου ἐν ἁγίῳ πνεύματι ταύτας ποιούμενος ἐγὼ δὲ αὐτὴν παριστῶσα ταύταις παράδειγμα, πρὸς τὴν εὐαρέστησιν:~

» Ὀρθρίσωμεν εἰς ἀμπελῶνας.

ΑΥ̓τὸς μὲν ὁ ἥλιος τῆς δικαιοσύνης, ἀνατέλλων φῶς γνώσεως ταῖς καρποφορούσαις ψυχαῖς, τὴν τῶν πόνων ὑπομονήν, ἥπερ ὥσπερ βότρυς διὰ πολλῶν θλίψεων, ἀποστάζει

τὸν διὰ τὴν ἐλπίδα τῆς μελλούσης μισθαποδοσίας εὐφραντικὸν τῆς καρδίας, οἶνον. Ἐγὼ δὲ κατὰ τὴν εἰρημένην ἀναβολήν. Τοὺς τρόπους τῆς ὑπομονῆς ταύταις ὑποδεικνύουσα. Τῷ κατ' ἐμὲ παραδείγματι. Οὕτως δ' ὀρθρείσαντες, ἴδωμεν, εἰ ἐξήνθησεν ἡ ἄμπελος. Εἰ ἐξήνθησεν ὁ κυπρισμός. Εἰ ἐξήνθησαν αἱ ῥοαί. Ἤτοι θεασώμεθα σύ τε ὁ ἐν τῷ κρυπτῷ βλέπων. Κἀγὼ ἡ ἐν τῷ φανερῷ, ἐὰν ἡ εἰς σὲ τῶν μαθευομένων μοι πίστις. Ἥτις εἰς τὰς διαφόρους ἀρετάς, ὡς εἰς κλήματα ἄμπελος διαιρεῖται. Ἤνθησεν ἐντός τε καθ' ἕξιν τοῖς λόγοις τῶν ἀρετῶν. Καὶ ἐκτὸς κατ' ἐνέργειαν τοῖς τρόποις αὐτῶν. Ὁ γὰρ κατὰ τοὺς λόγους τῶν ἀρετῶν ἀνθισμὸς τῆς ψυχῆς, κυπρίζει κατὰ τοὺς τρόπους αὐτῶν ἐν σαρκί. Ἧς πίστεως τὸ ῥηθὲν μυστικόν, καὶ φανερὸν αὖθις, ῥοῶν ἐστιν ἄνθος. Αἵπερ ἐντὸς μέν, τὸ γλυκὺ τοῦ καρποῦ περιφέρουσιν. Ἐκτὸς δὲ τὸ λεπύριον πικρόν. Καὶ γὰρ καὶ ὁ τῆς πίστεως καρπός, κατὰ μὲν τὴν κεκρυμμένην τῆς ψυχῆς διάθεσιν εὐφραντικός ἐστι, διὰ τὴν τῆς μελλούσης μισθαποδοσίας ἐλπίδα. Κατὰ δὲ τὴν ἐκτὸς τῆς σαρκός, ὀδυνηρός, διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον:-

„ Ἐκεῖ δώσω τοὺς μαστούς μου σοι:

Δηλονότι ἐν τῷ εἰρημένῳ ἀγρῷ τῶν μαθητευομένων μοι, προσάγωσι τῷ νυμφίῳ μου τὴν πρὸς ταύτας ἠθικὴν καὶ φυσικὴν διδασκαλίαν μου. Ὡς διὰ τούτων αὐτὰς πρὸς τὴν μυσταγωγίαν ἀνάξασα. Ἐν τῷ ἀποδεῖξαι τὴν τῶν ὅλων φύσιν σὲ τὸν ταύτης αἴτιον. Αἰνιττομένην συμβολικῶς ὡς ἀλήθειαν. Καὶ οὐχὶ κατὰ τοὺς ματαιόφρονας Ἕλληνας παρασκευάζειν ταύτας ταῖς φυσικαῖς ἐννοίαις μακρὰν σου τῆς ἀληθείας ἀπάγεσθαι. Καὶ γὰρ οἱ μανδραγόραι ἔδω-

καν ὀσ-

καν ὀσμήν. Πάντως καὶ τῶν αἰσθητῶν ἐπιφάνειαι, καὶ τὰ τῆς γραφῆς σύμβολα, ἅπερ τὸν τούτους κατ' αἴσθησιν ἐν ἀπομένοντα νοῦν, καὶ μὴ δι' αὐτῶν πρὸς τὴν ἀλήθειαν ἐγρηγορότως διαβαίνοντα ναρκᾶν, καὶ ἠλιθιᾶν, ὥς τινες μανδραγόραι παρασκευάζουσι. Παρέχον εὐωδίαν τῶν τῆς ἐν ὅλοις ἀληθείας λόγων πνευματικῶς θεωρουμένων. Ἐντεῦθεν δὲ ἐπὶ θύραις ἡμῶν πάντα τὰ ἀκρόδρυα. Εἴτουν, ἐπὶ ταῖς αἰσθήσεσί μου. Αἵπερ ὡς θύραι τινὲς ἐξάγουσι μὲν ἐμὲ πρὸς ἀναζήτησίν σου ὡς πάντων αἰτίου, διὰ τῆς τούτων φυσικῆς ἐν πνεύματι θεωρίας. Εἰσάγουσι δὲ σὲ κατὰ γνῶσιν πρὸς διὰ μέσου νοός. Πρόθυροί εἰσι πάντες οἱ τοῖς τε συμβόλοις τῆς γραφῆς, καὶ ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν, ἅπερ ὡς δρύες τινὲς ἀλογίαν Ἰουδαϊκὴν καὶ ἑλληνικὴν ἔτρεφον. Ἐγκεντρισμένοι τῆς ἐν ὅλοις ἀληθείας λόγοι:~

„ Ὅθεν νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτή-
„ ρησά σοι:

Δηλαδὴ τοὺς νεάζοντας τῇ καινοποιῷ τοῦ πνεύματος χάριτι λόγους Εὐαγγελικούς, πρὸς τοῖς παλαιωθεῖσιν ὑπὸ τῆς ἑλληνικῆς καὶ Ἰουδαϊκῆς ἀγνοίας φυσικοῖς, καὶ γραπτοῖς. Ἀγαπητέ μου ἐφύλαξά σοι. Τοῖς μὲν γὰρ γραπτοῖς ἀρθεῖσα, καὶ ἠθικῶς παιδευθεῖσα. Τοῖς δὲ φυσικοῖς φωτισθεῖσα. Καὶ τοῦ παντὸς αἴτιόν σε διὰ τῆς τῶν γεγονότων θεωρίας κατιδοῦσα. Καὶ τοῖς πνευματικοῖς τελειωθεῖσα.

Καὶ Θεολογοῦσά σε τὸν μετὰ Πατρός,
καὶ πνεύματος ὁμοού-
σιον:~

„ Τίς

„ Τίς δώησε ἀδελφιδέ μου θηλάζοντα μαστοὺς μητρός-
„ μου.

ΘΕΟΔΩΡΗΤΟΥ:-

Κατὰ γὰρ τὸ ἀνθρώπειον, καὶ αὐτὸς ἅπασαν ἐδέξατο τοῦ πνεύματος τὴν χάριν. Τὸ γὰρ παιδίον φησὶν Ἰησοῦς ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι. Καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό. Φησὶ τοίνυν ἡ νύμφη ἐμπιπλαμένη τὴν ἄρρητον φιλανθρωπίαν, ὅτι καὶ σὺ ἐθήλασας τοὺς μαστοὺς τῆς μητρός μου. Ἵνα δὲ καὶ τὴν ἀκολουθίαν τῶν ῥητῶν, καὶ τὴν ἁρμονίαν φυλάξωμεν, μικρὸν ἄνωθεν δεξάμενοι, ἐν κεφαλαίῳ τὴν διάνοιαν ἐξελθωμεν. Ἐδεξάμην φησὶν οὐ μόνον νέα, ἀλλὰ καὶ παλαιὰ τῆς μητρός μου. Καὶ ταῦτά σοι διατηρήσω. Ἠνέσχου δὲ διὰ πολλὴν φιλανθρωπίαν καὶ αὐτὸς, τὴν ἐμὴν φύσιν ἀναλαβὼν, τοὺς αὐτούς μοι θηλάσαι μαστοὺς, ἵνα καὶ ἐν τούτῳ τὴν ἀδελφότητα δείξῃς. Ἐθήλασας, οὐ δεόμενος ἀλλ' ἐμὲ διδάσκων, ὅπως ὀφείλω θηλάσαι, καὶ διὰ ποίας θηλῆς τὴν χάριν ἑλκύσαι. Διὰ τοῦτο τῷ βαπτίσματι προσελήλυθας. Οὐχ ἵνα τὸν ῥύπον τῶν ἁμαρτημάτων ἀποσμήξῃ. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησας, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματί σου. Οὔτε μὴν ἵνα τοῦ παναγίου πνεύματος ὑποδέξῃ τὴν χάριν. Πλήρης γὰρ τούτου ἐτύγχανες. Ἀλλ' ἐμοὶ δεικνὺς ὅποῖα τοῦ βαπτίσματος τὰ δῶρα. Καὶ ποίῳ τρόπῳ δύναμαι θηλάσαι τὴν χάριν τοῦ πνεύματος. Διὰ τοῦτο ἐν εἴδει περιστερᾶς κάτεισι τὸ πνεῦμα τὸ ἅγιον. Οὐχ ἵνα σοῦ παράσχῃ ἃ μὴ εἶχες. Πλήρης γὰρ αὐτῶν τῶν χαρίτων ἐτύγχανες. Ἀλλ' ἵνα ἐμοὶ δείξῃς, τίς ἡ δωρεὰ τοῦ βαπτίσματος. Διὰ τοῦτο ἐμπιπλαμένη λέγω:~

„ Τίς

„ Τίς δώησε ἀδελφιδέ μου θηλάζοντα μαστοὺς μητρός-
„ μου. Ὑπὸ ταύτης σου τῆς φιλανθρωπίας ἑλκομένη εὑ-
„ ροῦσά σε ἔξω. Φιλήσω σε. Καί γε οὐκ ἐξουδενώσουσί με.
„ Παραλήψομαί σε. Εἰσάξω σε εἰς οἶκον μητρός μου, καὶ εἰς
„ τὸ ταμιεῖον τῆς συλλαβούσης με. Ποτιῶ σε ἀπὸ οἴνου τοῦ
„ μυρεψικοῦ. Καὶ ἀπὸ νάματος ῥοῶν μου.

Μεθύουσα γὰρ τῷ περὶ σὲ φίλτρῳ. Οὐ μόνον ἐν τῷ θαλάμῳ καὶ ἐν τῇ παστάδι, ἀλλὰ καὶ κατὰ τὴν ἀγορὰν καὶ δημοσίᾳ εὑροῦσά σε, περιπλέξομαι καὶ καταφιλήσω. Οὐκ ἐπιμέμψονται δέ μοι τοῦτο ποιούσῃ οἱ θεώμενοι. Τὴν φλόγα τῆς ἀγάπης εἰδότες. Ἐκεῖθεν δὲ παραλαβοῦσά σε, εἰσάξω εἰς τὸν τῆς μητρός μου οἶκον. Καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης με. Τίς δὲ ὁ τοῦ παναγίου πνεύματος οἶκος. Αὐτὸς γὰρ τὴν νύμφην ἐγέννησεν. Εἰ μὴ ὁ θεῖος νεὼς ὁ τὴν ἄνω μιμούμενος Ἱερουσαλήμ. Ἔνθα εἰσιόντες μετὰ παρρησίας τῷ νυμφίῳ προσδιαλέγονται. Τὸ τῆς νύμφης ἀξίωμα λαβόντες. Καὶ ἐκεῖ φησὶ ποτιῶ σε ἀπὸ τοῦ οἴνου τοῦ μυρεψικοῦ. Καὶ ἀπὸ νάματος ῥοῶν μου. Μυρεψικὸν δὲ οἶνον καλεῖ τὴν τῇ θείᾳ χάριτι διηρτυμένην διδασκαλίαν. Καὶ οἱονεὶ μεμυρισμένην καὶ εὐώδη τυγχάνουσαν. Νάμα δὲ ῥοῶν καλεῖ „ τὴν ἀπὸ τῶν καρπῶν τῆς ἀγάπης τικτομένην ὠφέλειαν:~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

„ Τίς δώησε ἀδελφιδέ μου θηλάζοντα μαστούς μου;

Ἤτοι ἐπειδήπερ ἡ πρώτη σου παρουσία, πρὸς τὸ ἀπολαῦσαί σου ἡτοίμασαι. Τίς μου κατὰ τὴν δευτέραν σου παρουσίαν

ῥευτίαν παράσχεισε τὸν ἀγαπητόν μου, μεθ' ἡμῶν ἐν τῇ τοῦ Πατρὸς Βασιλείᾳ, ἥτις ἐστὶν ἡ μήτηρ ἡμῶν τῶν πιστῶν, ἡ ἄνω Ἱερουσαλήμ. Πίνοντα τὸ καινὸν πόμα. Ῥέον ἐξ αὐτῆς εἰς ἡμᾶς κατὰ χάριν ἀμέσως ὡς τὸ ἀπὸ μαζῶν μητρὸς γάλα, εἰς τὰ ἔκγονα ταύτης. Κἀντεῦθεν τρεφόμενον τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν, τὸ τέλος τῆς πίστεως, τὴν ὑπὲρ φύσιν τὴν μέθεξιν τὴν θείαν καὶ ἀνεννόητον ἡδονήν, ἣν αὐτὸς ποιεῖν πέφυκε φύσει, κατὰ χάριν τοῖς ἀξίοις ἑνούμενος. Οὕτω γὰρ εὑροῦσά σε ἔξω, φιλήσω σε. Καί γε οὐκ ἐξουδενώσουσί με. Ἤτι ἐπιγνοῦσά σε, οὐχ ὥσπερ νῦν κατὰ πίστιν, ἀλλὰ κατ' εἶδος ἐν τῇ ἔξω τῆς θεϊκῆς σου οὐσίας, ἡ μετέρα οὐσία. Τὴν ἀφθαρσίαν ἡμῖν καὶ τὴν ἀτρεψίαν ἐπὶ τῆς κοινῆς δωρούμενος ἀναστάσεως, ἀπολαύσω σου. Κἂν νῦν παρὰ τῶν τοῦ κόσμου φρονούντων ἐξευτελιζομένη, ὡς διὰ τὴν περὶ σὲ διάθεσιν πάντα περιφρονοῦσα τὰ πρόσκαιρα. Τίς δ' ὁ τρόπος τῆς ἀπολαύσεως ἔσται μοι. Καὶ γὰρ παραλήψομαί σε. Εἰσάξω σε εἰς οἶκον μητρός μου, καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με. Ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ. Ἀπὸ νάματος ῥοῶν μου. Δηλονότι παρὰ σοῦ χαριζομένου μοι τὴν θέωσιν λάβω σε. Ποθοῦσα τὴν λαμπρότητα. Καὶ ἐν τῷ ταύτην θεάσασθαι, εἰσαγάγω σε εἰς νοῦν. Ὃς οἶκος μέν ἐστι τῆς διὰ τοῦ βαπτίσματος, τεκούσης με οἷα μητρὸς τοῦ παναγίου πνεύματος χάριτος. Ὡς ταύτης διὰ τὸ καθ' ὁμοίωσιν χωρητικός. Ταμεῖον δὲ πάλιν αὐτῆς, ὡς τοὺς ἀποκρύφους ταύτης θησαυροὺς διὰ τὸ κατ' εἰκόνα ἔχων ἀποθέτους ἐν ἑαυτῷ. Ἥτις με χάρις συνέλαβε διὰ πίστεως. Πρὸς τούτοις δὲ προσάξω σοι τῷ διψῶντι τὴν σωτηρίαν μου ὥστε πόμα, τήν τε ἀπὸ τῆς συνθέσεως τῶν ἐν πάσῃ τῇ κτίσει, καὶ τῇ γραφῇ διαφόρων λόγων ἠρτημένην μοι ἀλη-

στόν σου

στόν σου ὡς ἀληθείας γνῶσιν, ἥτις οἷάπερ εὐώδης οἶνος ἱλαρύνων, καρδίαν εὐφραίνει τὰς μεταλαμβανούσας ταύτας ψυχάς. Καὶ τὴν ἀενάως μου βλύζουσαν ἀγάπησίν σου, ὡς ἀγαθοῦ ἀπὸ τῆς τοῦ φόβου ὑπεροχῆς σου καὶ τοῦ πόθου τῆς μετοχῆς σου. Τῶν δίκην ῥοιῶν, τῷ μὲν στυπτικῷ στηριζόντων με. Τῷ δὲ γλυκαίνοντι εὐφραινόντων με:~

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΤΑῦται πρὸς τὸν νυμφίον εἰρηκυῖα ἡ νύμφη. Καὶ ταῖς νεάνισι διαλέγεται, καὶ φησίν:~

» Εὐώνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου. Καὶ ἡ δεξιὰ
» αὐτοῦ περιλήψεταί με:

ἌΝω γάρ εἰμι τῆς κολαστικῆς ἀπειλῆς. Καὶ τῆς σοῦ δεξιᾶς ταῖς εὐλογίαις δρέπομαι. Διὰ τοῦτο τὴν εὐώνυμον αὐτοῦ, ἐπὶ τὴν κεφαλήν μου τίθησι, καὶ τῇ δεξιᾷ με περιλαμβάνει:~

» Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνά-
» μεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Ἐὰν ἐγείρητε,
» καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.

ΧΡὴ γὰρ ὑμᾶς διηνεκῶς πρεσβεύειν αὐτήν, καὶ διεγείρειν. Ἵνα θερμῶς αὐτὸν ποθήσωσι. Καὶ ὡς αὐτὸς βούλεται, ἐπὶ τὴν τελειότητα φθάσητε. Τούτων παρ' αὐτῆς εἰρημένων, θεασάμεναι αὐτῆς ἐκείνην τὴν πᾶσαν ὑπερβολήν, καὶ ἐκπληττόμεναι, λέγουσι:~

„ Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ λελευκανθισμένη. Ἐπιστη-
„ ριζομένη ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς;

ΚΑὶ οὐ λέγουσι λευκὴν, ἀλλὰ λελευκανθισμένην. Μέλαινα γὰρ ἦν. Ἐπὶ μὲν τοῦ νυμφίου φησὶν ἡ νύμφη: Ἀδελφιδός μου λευκὸς, καὶ οὐκ εἶπε λελευκανθισμένος. Φύσει γὰρ ἦν τοιοῦτος. Αὕτη δὲ μελανθεῖσα παρέβλεψε γὰρ αὐτὴν ὁ ἥλιος. Ἐλευκάνθη. Καὶ τῆς τοῦ νυμφίου λευκότητος μετείληφε. Καὶ ὥσπερ ἀγαπητὸν αὐτῆς, διὰ τῆς βεβαίας εἰς αὐτὸν πίστεως :~

Μετὰ ταῦτα ὁ νυμφίος διαλεγόμενος, φησίν:

„ Ἀπὸ μῆλον ἐξήγειρά σε. Ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου.
„ Ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε.

ΤΟυτωνὶ τῶν ῥημάτων μαθησόμεθα εἰ τῶν εἰρημένων ὑπὸ τῆς νύμφης ἐν τῇ ἀρχῇ τοῦ συγγράμματος ἀναμνησθείημεν. Ἔφη γὰρ τῷ νυμφίῳ:

ὩΣ μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ὁ ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα. Καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου :~

ἘΠειδὴ τοίνυν ἡ σκιὰ τῶν μελλόντων ἀγαθῶν, τὰ ἐπὶ τοῦ παρόντος ἡμῖν δοθέντα. Ἄρτι γάρ φησιν ὁ μακάριος Παῦλος βλέπω ὡς ἐν ἐσόπτρῳ ὡς ἐν αἰνίγματι. Τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Ἐπόθησε δὲ ἡ νύμφη ἐν τῇ σκιᾷ τοῦ νυμφίου καθίσαι. Τουτέστι τῷ δοθέντι νῦν ἀρραβῶνι. Μῆλον δὲ αὐτὸν προσηγόρευσε δι' ἃς ἔφημεν αἰτίας. Ἀναγκαίως ὁ νυμφίος φησίν :~

„ Ἀπὸ μῆλον ἐξήγειρά σε. Ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦ-
„ σά σε.

ΠΙστεύσαντες γὰρ τῷ περὶ τοῦ σωτῆρος ἡμῶν κηρύγματι, τῷ θείῳ βαπτίσματι προσεληλύθαμεν. Καὶ προσελθόντες, τῆς παλιγγενεσίας τετυχήκαμεν. Ὤδινε γὰρ ἡμᾶς ἡ χάρις, τοῦ πνεύματος. Μαρτυρεῖ δὲ ἡ Ἱστορία τῶν πράξεων. Τοῦ γὰρ θειοτάτου Πέτρου δημηγορήσαντος. Καὶ περὶ τοῦ τοῦ σωτῆρος κηρύγματος τοῖς ἐληλυθόσι προσενηνοχότος, φησὶν ὁ συγγραφεύς. Ὅτι ἀκούσαντες τὸν λόγον, κατενύγησαν. Καὶ εἶπον πρὸς τὸν Πέτρον. Τί ποιήσωμεν, ἵνα σωθῶμεν. Ὁ δὲ πρὸς αὐτοὺς ἔφη. Πιστεύσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν, ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰκότως τοίνυν φησὶν ὁ νυμφίος τῇ νύμφῃ :~

ἈΠὸ μῆλον ἐξήγειρά σε. Ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου. Ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε. Καὶ ὁ διπλασιασμὸς οὐχ' ἁπλῶς πρόσκειται. Δεῖξαι γὰρ βουλόμενος τίς ἡ μήτηρ. Ἀνέμνησε τοῦ τόκου. Μετὰ ταῦτα παρακελεύεται αὐτῇ λέγων :~

„ Θές με ὡς σφράγισμα ἐπὶ τὴν καρδίαν σου. Ὡς
„ σφράγισμα ἐπὶ τὸν βραχίονά σου. Ὅτι κραταιὰ
„ ὡς θάνατος ἡ ἀγάπη. Σκληρὸς ὡς ἅδης ζῆλος. Σπιν-
„ θῆρες αὐτῆς, ὡς σπινθῆρες πυρὸς. Ἄνθρακες πυρὸς,
„ φλόγες αὐτῆς. Ἔνια δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ
„ σπινθῆρος αὐτῆς, σπινθῆρες πυρὸς ἔχουσι. Περίπτε-
„ ρα αὐτῆς, περίπτερα πυρὸς, φλόγες αὐτῆς.

Λέγει τοίνυν ὁ νυμφίος ταῖς εὐσεβέσι ψυχαῖς. Ὡς νυμφίον ἡ θεία προσαγορεύει γραφή. Ἀντὶ σφραγῖδός με ἐν τῇ καρδίᾳ, καὶ ἐν τῷ βραχίονι φῶς ὑπάρχων. Φῶς αὐτὴν εἰργάσατο τότε, καὶ προσηγόρευσε. Καὶ ἅγιος ὑπάρχων, ἁγίαν αὐτὴν ἐποίησέ τε καὶ ὠνόμασεν, καὶ ἀνάστασις γενόμενος, ἀναστάσεως αὐτὴν ἠξίωσεν. Οὕτω καὶ αὐτῇ τῆς οἰκείας λευκότητος μετέδωκε. Διὸ φασὶν αἱ ὁρῶσαι αὐτὴν νεάνιδες:~

» Τίς αὕτη ἀναβαίνουσα λελευκανθισμένη. Ἐπιστηρι-
» ζομένη ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς. Ὑπ' αὐτοῦ γὰρ πο-
» δηγουμένη. Καὶ τὴν εἰς τοὺς οὐρανοὺς ἀνάβασιν καὶ
» ἀποδημίαν ποιεῖται.

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ΄ΡΩΝ:-

Εἶτα πρὸς τὰς μαθητευομένας αὐτῇ στρέφουσα πάλιν τὸν λόγον, διδάσκει τὴν αἰτίαν τῶν παρ' αὐτῆς πρὸς τὸν νυμφίον εἰρημένων φάσκουσα:

Εὐώνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου. Ἤγουν ἐπειδήπερ αἱ τῶν ὑποδεχομένων κολάσεων τῶν ἐξευωνύμων τοῦ νυμφίου μου ἀπειλαί. Νῦν ὑπὸ τὸ δίκην κεφαλῆς ἀρχικὸν τῆς ψυχῆς μου. Πάντως τὸ νοερὸν ὑποτάσσουσι τὸ αἰσθητικόν. Διὰ τοῦτο ἐν ἐλπίσιν εἰμί. Ὅτι καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. Εἴτουν τὰ ὑποδεχόμενα τῶν ἐκ δεξιῶν ἐπηγγελμένα ἀγαθὰ τῆς τοῦ Θεοῦ Βασιλείας. Ὅλην με κατὰ τὸν μέλλοντα αἰῶνα, περιέξουσι ψυχῇ καὶ σαρκὶ τὴν ἀπέραντον εὐφροσύνην παρέχοντα. Πάντα δὲ τὰ εἰρημένα διδασκαλικῶς εἰποῦσα:~

Ὥρκι-

Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. Τί ἐγείρητε καὶ τί ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ. Ἤτοι κατησφαλισάμην ὑμᾶς ὡς δι' ὅρκου τῆς τῶν θείων μυστηρίων ἐξηγήσεως μαθήτριαί μου, τῆς ἐν ἁγίῳ πνεύματι ῥεούσης. Τὸν καταλλάξαντα ἡμᾶς τῷ ἰδίῳ Πατρί. Ἀναδιδάξασα τὴν αἰτίαν δι' ἣν ἐν ταῖς θεωρητικαῖς καὶ ταῖς πρακτικαῖς δυνάμεσι καὶ ἰσχύσεσι ταῖς ἐν τῷ παρόντι κόσμῳ ταῖς δεδομέναις ἐγείρητε κατ' ἀρετὴν καὶ ἐξεγείρητε κατὰ γνῶσιν ἐν ὑμῖν. Καθεύδειν δοκοῦντα, ὅταν ἀγνοῆτε τὸ εὐθὲς, καὶ μὴ πράττητε τὸ καλόν. Τὸν ἀγαπήσαντα ἡμᾶς καὶ δόντα ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν. Ἕως ἂν εὐδοκήσῃ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν. Αὐτὸς τὰ κατὰ φύσιν οἰκεῖα δρᾷν ἐν ἡμῖν, πάσχουσι κατὰ χάριν αὐτά. Αἱ δὲ θάμβους πληρωθεῖσαι περὶ τῆς διδασκάλου φησί:~

» Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη. Ἐπιστη-
» ριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς.

Δῆλα δὴ ὁποῖα ὑπάρχει. Αὕτη ἡ διδασκαλικῶς ἀπὸ μυστηρίων εἰς μυστηριωδέστερα ἀναβαίνουσα. Κεκαθαρμένη παντὸς ῥύπου ἁμαρτημάτων. Καὶ ἐπερειδομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς. Θέτε, καρδίαν μὲν τὸ θεωρητικὸν τῆς ψυχῆς ὀνομάσας. Βραχίονα δὲ, τὸ πρακτικόν. Διὸ καὶ τοῖς ἱερεῦσιν ἀφώριστο παρὰ τοῦ λαοῦ ὅτε βραχίων ὁ δεξιὸς καὶ τὸ στηθύνιον. Βούλεται τοίνυν ὑμᾶς ὁ σωτὴρ ὁ ἡμέτερος, ἀντὶ σφραγῖδος αὐτὸν ἔχειν καὶ διαλεγομένους, καὶ λογιζομένους. Καὶ τῷ αὐτοῦ χαρακτῆρι τυποῦν, τά τε λεγόμενα τό τε πραττόμενα. Οὕτω γὰρ ἔσται Βασιλικὰ νομίσματα εὐπαρα-

ρακε-

ἐγκεχαραγμένα, ἀλλὰ τὸν βασιλικὸν ἔχοντα χαρακτῆρα. Τοῦτο δὲ, ῥᾴδιόν σοι φησὶ ποιῆσαι, εἰ τὴν εἰς ἐμὲ κτήσῃ ἀγάπην. Ἰσχυρὰ γάρ ἐστιν, ὡς θάνατος. Καὶ καθάπερ ἐκεῖνος μετὰ τὴν θείαν ἀπόφασιν πάντων κρατήσειν, οὕτως καὶ αὕτη πάντων κρατεῖ. Καὶ αὐτοῦ τοῦ θανάτου ἰσχυροτέρα τυγχάνει. Κτῆσαι καὶ ζῆλον. Εἰ γὰρ τοῦτον προσκτήσαιο, οὐκ ἀνέξῃ ἄλλην σοῦ ἡμιωτέραν φανῆναι. Καὶ σὲ μὲν εἶναι ἀπαρρησίαστον. Ἐκείνην δὲ τῆς ἐμῆς κοινωνίας τυγχάνειν. Σκληρὸς γάρ ἐστι καὶ δυσκαταγώνιστος ὁ ζῆλος, τῷ ᾅδῃ παραπλησίως. Ἅδην δὲ ἀπὸ τῆς κατεχούσης δόξης ὠνόμασε. Τῷ θανάτῳ καὶ ταύτην ἐπιθεὶς τὴν προσηγορίαν. Οὕτω δὲ ἐστὶν ἰσχυρὰ ἡ ἀγάπη. Ὅτι πρῶτον μὲν ἐστὶν ὑπόπτερος. Περὶ δὲ τὰ πτερὰ αὐτῆς, φλόγα ἔχει πυρός. Καὶ σπινθῆρας ἐκπεμπομένη. Τί δὲ τῆς οὕτω πυρσευομένης γένοιτ' ἂν δυνατώτερον; Καὶ τὸ πῦρ δὲ αὐτῆς οὐκ ἔστι τῶν σβεννυμένων:~

,, Ὕδωρ γάρ φησι πολὺ, οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. Καὶ ποταμοὶ, οὐ συγκλείσουσιν αὐτήν.

ΚΑὶ μαρτυροῦσιν ἅπαντες οἵ τε ἐν τῇ παλαιᾷ οἵ τε ἐν τῇ νέᾳ διαπρέψαντες ἅγιοι. Τοῦ γὰρ Ἀβραὰμ τὴν περὶ θεὸν ἀγάπην, οὔτε ἡ ἐν ξένῃ διαγωγὴ, οὔτε ἡ τοῦ λιμοῦ ἀνάγκη, οὔτε ἡ τῆς γυναικὸς ἁρπαγὴ, οὔτε τοῦ παιδὸς ἡ προσκομιδὴ, οὔτε ἡ περὶ τῶν φρεάτων μάχη, ἴσχυσε κατασβέσαι. Οὔτε τοῦ Ἰσαὰκ, τὰ προσπεσόντα λυπηρά. Οὔτε τοῦ Ἰακὼβ οἱ διηνεκεῖς πόνοι καὶ διὰ βίου ὀδύναι. Τί σφοδρότερον τῶν τοῦ Ἰωσὴφ πειρασμῶν; ὃς ἐπράθη ὑπὸ ἀδελφῶν. Ἀπεστερήθη δὲ μητρὸς καὶ Πατρὸς ἀγαπῶντος. Καὶ προγονικῆς οἰκίας. Καὶ

ἐλευθε-

ἐλευθερίας καὶ εὐπορίας. Ἐδούλευσε δὲ παρ' ἀξίαν. Καὶ ὑπὲρ σωφροσύνην, συκοφαντίας ἐγένετο παρανάλωμα. Καὶ δεσμωτηρίῳ παρεπέμπετο. Καὶ μυρία ὑπέμεινε δεινά. Ἀλλὰ τούτων ἁπάντων, ἡ περὶ τὸν θεὸν ἀγάπη, κρείττων ἐδείκνυτο. Καὶ τί δεῖ λέγειν περὶ τοῦ μεγάλου Μωυσέως, καὶ Ἰησοῦ τοῦ στρατηγοῦ, καὶ τῶν μεγάλων Προφητῶν. Σαμουὴλ καὶ Δαβὶδ καὶ Ἡλιοὺ καὶ Ἐλισσαίου, τί μανικώτερον τῶν Βαβυλωνίων ἐγένετο. Τί τῆς παρ' αὐτῶν ἐξαφθείσης καμίνου φοβερώτερον. Ἀλλ' ὅμως οὐδὲ ἐκεῖ τῶν τριῶν ἐκείνων παιδαρίων ἔσβεσε τῆς ἀγάπης τὴν φλόγα. Ἀλλὰ μᾶλλον αὐτὴν ἐπύρσευσε καὶ διήγειρε. Τί τῶν λεόντων ἐκείνων θηριωδέστερον, ἐν οἷς ὁ μέγας παρεδόθη Δανιήλ. Ἀλλὰ κἀκεῖνον ἡ περὶ τὸν θεὸν ἀγάπη δυνατώτερον ἀπέφηνε. Καὶ ἵνα τοὺς ἄλλους ἁγίους ἐπὶ τοῦ παρόντος καταλίπω, ἀπόχρη καὶ μόνος ὁ μακάριος Παῦλος διδάξαι αὐτῆς τὴν ἰσχύν. Ἅτε δὴ πάντων μάλιστα πεῖραν αὐτῆς εἰληφώς. Τίς γὰρ ἡμᾶς χωρίσῃ φησὶν ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ διωγμὸς; ἢ λιμὸς; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; καθὼς γέγραπται. Ἕνεκεν σοῦ θανατούμεθα, ὅλην τὴν ἡμέραν. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσι φησὶν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς Χριστοῦ. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα δεῖξαι, τῆς ἀγάπης τὴν νίκην. Τὰ δὲ μετὰ ταῦτα. Σαφέστερον ταῦτα κηρύττει. Ἐπάγει γάρ. Πέπεισμαι γάρ. Ὅτι οὔτε θάνατος. Οὔτε ζωή. Οὔτε Ἄγγελοι. Οὔτε δυνάμεις. Οὔτε ὕψος. Οὔτε βάθος. Οὔτε ἐνεστῶτα. Οὔτε μέλλοντα. Οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Καὶ ἵνα δείξῃ πάντων αὐ-

τὴν

τὴν δυνατωτέραν, καὶ τῶν ὁρωμένων, καὶ τῶν ἀοράτων. Τὴν μὴ οὖσαν κτίσιν ἀναπλάττεται τῷ λόγῳ. Καὶ ταῦτα πάλιν παρεξετάζει, καὶ δείκνυσι ταύτης τὴν περὶ τὸν θεὸν ἀγάπην ἰσχυροτέραν. Εἰκότως τοίνυν ὁ νυμφίος φησίν:~

Ὕδωρ πολὺ, οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. Καὶ ποταμοὶ οὐ συγκλείσουσιν αὐτήν. Ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ ἐξουδενώσουσιν αὐτόν. Ἐξουδενώσουσι δὲ τὸν πάντα τὸν βίον ἐν τῇ ἀγάπῃ διδόντα, οἱ τῆς ἀγάπης ἐστερημένοι, καὶ γεγυμνωμένοι. Διὸ καὶ ὁ μακάριος ἔλεγε Παῦλος. Λοιδορούμενοι, εὐλογοῦμεν. Διωκόμενοι, ἀνεχόμεθα. Βλασφημούμενοι, παρακαλοῦμεν. Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Καὶ γὰρ τοὐναντίον τοῦτο τῶν ἰλιγγιώντων τὸ πάθος. Αὐτοὶ γὰρ οἱ μὴ καθεστηκότες περιδινεῖσθαι πάντα νομίζουσιν. Οὕτω καὶ οἱ τῆς ἀγάπης ἐστερημένοι, τοὺς τῆς ἀγάπης τροφίμους, ὡς ἀνοήτους ἐβλασφήμουν, καὶ ἄφρονας. Ἀλλ᾽ ὅμως οὐδὲ, τοῦτο τὴν ἀγάπην ἐλυμήνατο. Ἀλλὰ καὶ θερμοτέραν εἰργάσατο. Λοιδορούμενοι οἱ Ἀπόστολοι, ηὐλόγουν. Καὶ βλασφημούμενοι παρεκάλουν. Καὶ ὡς περικαθάρματα τοῦ κόσμου γινόμενοι, ἔλεγον εἶναι πάντων περίψημα ἕως ἄρτι:~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕΡΩΝ:-

Ὁ γοῦν νυμφίος τὴν ἐπὶ ταῖς μαθητευομέναις τῆς νύμφης ὁρῶν ἐπιμέλειαν. Καὶ ἀποδεχόμενος τὴν ταύτης εἰς τὸ ἀγαθὸν διέγερσιν, ἀναμιμνήσκει αὐτὴν τοῦ προτέρου βίου, ὥστε μετεωροφρονεῖν, καὶ μὴ διὰ τῶν ἐπαίνων,

τῷ τῆς οἰήσεως πάθει περιπεσεῖν. Καὶ φησὶ πρὸς αὐτήν:~

Ὑπὸ μῆλον ἐξήγειρά σε. Ἤγουν ὑπὸ τὴν δίκην μήλου τέρποντος ταῖς πλείοσι τῶν αἰσθήσεων ἁπάσας ταύτας εὐφραίνουσαν αἰσθητὴν κτίσιν καθευδούσης σου, τῇ πρὸς τὰ καλὰ ῥαθυμίᾳ διὰ τὴν πρὸς τὰ ὑλικὰ σχέσιν, διήγειρά σου τὸ φρόνημα πρὸς πόθον ἐμὸν λόγοις προνοίας, καὶ κρίσεως:~

Καὶ γὰρ ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου. Ὠδίνησέ σε ἡ τεκοῦσά σε. Δηλονότι ἐν τῇ σχέσει τῶν ὑλικῶν συνελάβετό σε ἡ προμήτωρ σου Εὔα. Τῇ καθ᾽ ἡδονὴν γεννήσει. Καὶ ἀπέτεκέ σε τῇ κατὰ δύναμιν γεννήσει, ὑφ᾽ ὧν συνείχου τῇ προσπαθείᾳ τῶν αἰσθητῶν. Τὴν μὲν ἡδονὴν, διώκουσα, τὴν δ᾽ ὀδύνην φεύγουσα. Κἀντεῦθεν φιλονεικοῦσα τῆς ἡδονῆς τὸ τέλος. Τὴν ὀδύνην φημὶ, ταύτης ἀποχωρεῖσαι, ὅπερ ἀμήχανον. Εἰ οὖν βούλει διαμένειν τῆς τοιαύτης σχέσεως ἐλευθέρα. Θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου. Ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου, ἤτοι ἐν ἐμοὶ τῷ ἀρχετύπῳ μεῖνον τηροῦσα τῷ μὲν ἡγεμονικῷ σου νῷ, τὸ κατ᾽ εἰκόνα, κατ᾽ ἀπλανῆ θεωρίαν καὶ διάθεσιν ἐμοῦ. Τῇ δ᾽ ἐνεργητικῇ σου δυνάμει, τὸ καθ᾽ ὁμοίωσιν κατὰ πρᾶξιν ἀνυπόκριτον, καὶ διάπυρον ἀποστροφὴν τοῦ κακοῦ. Κἀντεῦθεν μένω καὶ αὐτὸς ἐν σοί. Φυλάττων ὥσπερ σφραγὶς τοῦ διανοητικοῦ σου τὴν ἕξιν, καὶ τὴν ἐνέργειαν, ἀσύλους τῇ σχέσει τῶν ὑλικῶν:~

Ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη. Σκληρὸς ὡς ᾅδης ζῆλος. Ἤτοι ἐὰν ἐν τῇ ἐμῇ ἀγάπῃ, καὶ τῷ δι᾽ αὐτὴν ζήλῳ μένῃς, μένω καὶ αὐτὸς ἐν σοὶ, καὶ φυλαχθείσῃ ὡς εἴρη-

ται. Ἐπειδήπερ ἡ μὲν ὁλικὴ εἰς ἐμὲ ἀγάπη, ἰσχυρὰ ἐστω, ὡς πᾶσαν ἐπὶ κακὸν ὁρμήν τε, καὶ κίνησιν καταπαύουσα, δίκην θανάτου. Ὁ δὲ δι' ἐμὲ ζῆλος, ἀνένδοτος τῷ κακῷ, ὡς τὰς ἀλόγους ὁρμὰς δεσμεύων, καὶ ἀπροσίτους κατέχων οἷάπερ ᾅδης:~

„ Καὶ γὰρ περίπτερα αὐτῆς. Περίπτερα πυρὸς φλόγες
„ αὐτῆς.

ΔΗλαδὴ τὰ ἔργα τῆς πρὸς με ἐμπύρου ἀγάπης ἀναπτέρωσις ταύτης ἐστίν. Αὐγαζούσης ἐν τῷ φωτὶ τῆς ἀληθείας κατὰ θεωρίαν τὸν νοῦν. Καὶ ἀφανιζούσης τὴν ἄγνοιαν. Κἀντεῦθεν δαπανώσης κατὰ πρᾶξιν τῶν ἐντολῶν πᾶσαν κακίαν, οἷάπερ εὐπρήστου ὕλην φλόγες, καὶ ἐπιδιδούσης εἰς αὔξησιν. Ὅπερ ὕδωρ πολὺ, οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. Καὶ ποταμοὶ, οὐ συγκλείουσιν αὐτήν. Ἤγουν αἱ ῥέουσαι ὡς πλῆθος ὑδάτων ἐκ τοῦ χειμῶνος τῶν ἀκουσίων πειρασμῶν, πολλαὶ θλίψεις. Καὶ αἱ τούτων ἀλλεπάλληλοι ὡς ποτάμια ῥεύματα ἐπαγωγαί. Ἐν αἷς τὰ τῆς πονηρίας πνεύματα, τὴν εἰς ἐμὲ ἀγάπην σπεύδουσιν, ἢ ἐκριζῶσαι τέλεον διὰ μισοθείας, ἢ κατακαλύψαι διὰ μισανθρωπίας, οὐ δυνήσονται. Οὔτε πάντες σβέσαι αὐτὴν διὰ βλασφημίας. Οὔτε καταλῦσαι, καὶ ἀφανίσαι δι' ἀπραξίας τῶν ἐντολῶν μου. Αἵπερ ἀποδεικνύουσι μέν. Τὴν εἰς ἐμὲ ἀγάπην. Συμπεραίνονται δὲ εἰς τὸν πλησίον:~

(?)

„ Πλὴν ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ.
„ ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.

ΔΗλονότι ἐὰν ὁ μὴ τῇ τῶν προσκαίρων ἀπάτῃ ἐκθηλυνόμενος, παρέχῃ τοῖς δεομένοις πάντα τὰ ὑπάρχοντα αὐτῷ διὰ τὴν πρὸς με ἀγάπην. Εὐτελισμῷ εὐτελίζουσιν αὐτὸν αἱ ἀντικείμεναι δυνάμεις. Πάντως ὥσπερ τὸν Ἰὼβ μετὰ τὴν ἀφαίρεσιν παντὸς τοῦ αἰσθητοῦ πλούτου αὐτοῦ ἐξηυτέλισαν. Ἐξαιτούμεναι τοῦτον ἀπ' ἐμοῦ, εἰς δοκίμιον τῶν διὰ σαρκὸς ὀδυνῶν. Εἰ σὺν φίλους αὐτοῦ εἰς τούτου ὀνειδισμὸν ἐπεγείρουσαι. Ταῦτα τοίνυν αὐτῇ εἰδυῖα ὅπου πάσαις μου τὰς ἐντολὰς τηρῶν. Καὶ ὀδύνῃσι ἐπέλθῃ σαρκός. Κατὰ συγχώρησιν ἐμὴν γίνωσκε τὸ τοιοῦτον ἐπισυμβαίνειν σοι. Ἵνα σου ἡ πρὸς ἐμὲ ἀγάπη πᾶσι κατάδηλος ἐστί. Μὴ ἐνδιδούσης τοῖς πειρασμοῖς. Καὶ οὐχὶ διὰ τὸ μὴ εἶναι πρόνοιαν, ἐπὶ πάντας διοικοῦσαν:~

„ Ἀδελφὴ ἡμῖν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει. Τί ποιή-
„ σωμεν τῇ ἀδελφῇ ἡμῶν, ᾗ ἂν λαληθείη ἐν αὐτῇ. Εἰ τεῖ-
„ χος ἐστίν, οἰκοδομήσωμεν ἐπ' αὐτῇ ἐπάλξεις ἀργυρᾶς.
„ Εἰ θύρα ἐστί. Διαγράψωμεν ἐπ' αὐτῇ σανίδα κεδρί-
„ νην.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΗΓοῦμαι τοὺς ἁγίους Προφήτας τοὺς ἐν τῇ παλαιᾷ διαπρέψαντας, τὸ βραχὺ τῆς πνευματικῆς ἡλικίας τῆς νύμφης ὁρῶντες. Καὶ τὸ τῶν μαστῶν ἀτελὲς ἐπικεκρυμμένον. Ἅτε δὴ προμνήστορας, καὶ μηνυταῖς τοῦ γάμου. Ταῦτα ἐν ἑαυτοῖς λέγειν. Ὅτι μέλλει λοιπὸν ὁ Βασιλεὺς λαμβάνειν τὴν

νύμφην τὴν ἡμετέραν ἀδελφήν. Μικρὰ δέ ἐστι καὶ μαστοῦ ἐστερημένη. Οὔπω πῶς γὰρ ἔχει τὸ γόνιμον. Οὐδὲ τὸ διδασκαλικὸν χορηγεῖν δύναται γάλα. Οὐ δὲ τὴν τελείαν ὀρέγειν τοῖς δεομένοις τροφήν. Χρὴ τοίνυν ἡμᾶς τὸ πρακτέον λογίσασθαι. Καὶ ἐπειδὴ μέλλει τῷ μεγάλῳ συνάπτεσθαι Βασιλεῖ. Καὶ ὥσπερ τεῖχος εἶναι τῆς οἰκείας αὐτοῦ. Οἰκουροῦσα τὰ ἔνδον καὶ φυλάττουσα. Καὶ θύρας τύπον ἔχειν φρουρούσης τὰ ἀποκείμενα, οἰκοδομῆσαι μὲν ὡς ἐν τείχει ἐπάλξεις ἀργυρᾶς. Τουτέστι λογικὰς καὶ διαλαμπούσας ἐν λόγῳ. Τὰ λόγια κυρίου λόγια ἁγνά. Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. Ἵνα ἐπ' αὐτοῖς ἱσταμένη, βάλλῃ τοὺς πολεμίους. Διώκῃ τοὺς ἐπιβούλους. Ὡς δὲ θύρᾳ ἐπιθῶμεν αὐτῇ σανίδας ἐκ κέδρων πεποιημένας, ἁμαρτίας σηπεδόνα μὴ δεχομένας. Ἄσηπτος γὰρ ἡ δένδρος :~

ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΠΑΤΕ´ΡΩΝ:-

Η῞ Δὲ νύμφη τοῦ Χριστοῦ Ἐκκλησία, ἤδη μὲν τὴν ἑαυτῆς παρ' αὐτοῦ λαβοῦσα ἀσφάλειαν. Ποθοῦσα δὲ καὶ τὴν διὰ βαπτίσματος κατὰ γνῶσιν καὶ ἀρετὴν τελείωσιν, τῆς τῶν κατηχουμένων αὐτῇ Ἰουδαίων, καὶ ἑλλήνων ὁμηγύρεως περὶ ταύτης φησὶ πρὸς αὐτὸν :~

Η῞ Ἀδελφὴ ἡμῶν μικρά, καὶ μαστοὺς οὐκ ἔχει. Ἤτουν, ἡ διὰ τὴν ὁμοφυΐαν ἀδελφὴ ἡμῶν χρηματίζουσα πληθύς. Ἀτελὴς ἔτι διὰ τὴν ἀπιστίαν ἐστί. Καὶ διὰ τοῦτο λόγους καὶ τρόπους ἀρετῶν προσφερομένους τῷ νυμφίῳ οἷα μαζούς. Ἵν' ἐν τούτοις ἀπολαύσῃ τῆς σωτηρίας αὐτῆς, οὐκ ἔκτηται :~

Καὶ

ΚΑὶ τί ποιήσομεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ ἐν ᾗ ἂν λαληθῇ αὐτῇ. Δηλαδὴ τί διαπραξόμεθα ἐπὶ τῇ εἰρημένῃ ἀδελφῇ ἡμῶν. Ἐν ᾧ καιρῷ. Τὸ οὖν κατὰ πίστιν παραδέχεται κήρυγμα :~

ΕἸ τεῖχός ἐστιν. Οἰκοδομήσομεν ἐπ' αὐτῇ ἐπάλξεις ἀργυρᾶς. Καὶ εἰ θύρα ἐστί, διαγράψομεν ἐπ' αὐτὴν σανίδα κεδρίνην. Ἤτοι ἐὰν μὲν τῇ πράξει τῶν νομικῶν ἐντολῶν ᾠκοδόμηται δίκην τείχους. Ἐπιθήσομεν ἐπ' αὐτὴν ὥσπερ ἐπάλξεις ἀργυρᾶς, τοὺς τηλαυγεῖς κατὰ γνῶσιν λόγους τῶν ἐν τῷ νομικῷ γράμματι συμβόλων. Ἐὰν δὲ τῇ κατ' αἴσθησιν φυσικῇ θεωρίᾳ ἤνοικται, οἷα εἰσαγωγὸς γνώσεως θύρα διαμορφώσας ἐν αὐτῇ οἱονεὶ σανίδι κεδρίνη. Τὴν τοὺς μαρίζουσας καὶ τὰς αἰσθήσεις συσφίγγουσαν. Καὶ ἐξ ἔργων τὴν βεβαίωσιν ἔχουσαν πίστιν ἀποβαλλομένην. Τῇ μαχαίρᾳ τοῦ πνεύματος. Πᾶσαν δόξαν ψευδῆ καὶ ἀρετῆς ἔλλειψιν καὶ ὑπερβολήν. Κατοῦθεν τὴν ἐν σοὶ τελειότητα. Αὐτὸς μὲν, τῇ εἰρημένῃ πληθύι δωρῆσαι. Ἐγὼ δ' ὑπὲρ ὑπουργήσω :~

ΠΡὸς ταῦτα ἀποκρίνεται ἡ νύμφη θαρροῦσα τῇ τοῦ νυμφίου φιλοτιμίᾳ, καὶ εὐπορίᾳ :~

„ Ἐγὼ τεῖχος καὶ μαστοί μου ὡς πύργοι. Ἤγω ἤμην
„ ἐν ὀφθαλμοῖς αὐτοῦ, ὡς εὑρίσκουσα εἰρήνην.

ΘΕΟΔΩΡΗΤΟΥ:-

ΠΡογνοὺς γάρ με, καὶ προειδώς. Καὶ γνούς, ὡς ζητήσω τὴν εἰρήνην, καὶ διώξω αὐτήν. Καὶ διώξασα καταλήψομαι, καὶ εἰρηνικήν με προσηγόρευσεν. Καὶ Σουλαμίτιν.

μίτιν. Καὶ πεποίηκε τεῖχος ἀρραγὲς, φοβερὸν τοῖς ἐναντίοις. Τοὺς δὲ μαστούς μου, τουτέστι τὴν ἠθικὴν, καὶ θεολογικὴν διδασκαλίαν, εἰς ὕψος ἤγειρε. Καὶ πύργῳ παραπλησίως, ἀπέφηνεν. Ἵν' ἐκεῖθεν πολεμοῦσα, τοὺς τοῦ νυμφίου δυσμενεῖς καταλύσω. Οὐ μόνον δὲ τεῖχος εἶπον, εἰμὶ, ἀλλὰ καὶ ἀμπελών:~

„ Ἀμπελὼν γάρ φησι ἐγενήθη τῷ Σολομῶντι ἐν Βεελαμών. Ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν. Ἀνὴρ οἴσει. Ἐν καρπῷ αὐτοῦ, χιλίους ἀργυρείους.

Ὁ Μὲν σύμμαχος τὸ ἐν Βεελαμὼν, ἐν κατοχῇ λαοῦ τέθεικεν. Ὁ δὲ ἀκύλας, ἀνέχοντι πλήθει. Τοῦτον μὲν οὖν τὸν ἀμπελῶνα ὁ θεὸς τῷ Ἰσραὴλ ἐνεπίστευσεν. Ἐπειδὴ δὲ οὐ μόνον τοὺς ἀποσταλέντας δούλους, εἰς ἀπαίτησιν τῶν καρπῶν κατέλευσέ τε, καὶ ἀπέκτεινεν. Ἀλλὰ καὶ αὐτὸν τὸν κληρονόμον ἐσταύρωσεν. Ἀφῃρέθη μὲν κατὰ τὴν δεσποτικὴν φωνὴν ἀπ' ἐκείνων ὁ ἀμπελών. Ἐδόθη δὲ ἔθνει ποιοῦντι τὸν καρπὸν αὐτοῦ. Διὰ τοῦτο φησὶν ἡ νύμφη ὅτι τῷ Σολομῶντι. Τουτέστι τῷ εἰρηνικῷ. Ἀμπελὼν ἐγενήθη ἐν Βεελαμών. Τουτέστιν ἐν κατοχῇ λαοῦ. Ἢ ἀνέχοντι πλήθει, καὶ τοῦτον ἐξέδωκε τοῖς τηροῦσιν. Ἀμπελῶνα δὲ καλεῖ τοὺς τῆς εὐσεβείας προσεληλυθότας ἀνθρώπους. Τοὺς δὲ τηροῦντας καὶ γεωργοῦντας, καὶ φυλάττοντας, τοὺς τῇ ἱερωσύνῃ τετιμημένους. Καὶ τὴν ἀπὸ τῆς πνευματικῆς διδασκαλίας ἀρδείαν ὁμοῦ, καὶ φυλακὴν προσφέρειν προστεταγμένους. Λέγει δὲ ὅτι ὁ ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ, χιλίους ἀργυρείους. Σημαίνει δὲ ὁ ἀριθμὸς, τῆς δεξιᾶς χειρὸς τὴν μονάδα. Δηλοῖ δὲ τοῦ-

το, τὴν

το, τὴν τοῦ καρποφοροῦντος σωτηρίαν. Οὐδένα γὰρ ἄλλον ὁ τὸν ἀμπελῶνα φυτεύσας παρὰ τούτου λαμβάνει καρπὸν, ἢ τὴν αὐτοῦ τοῦ φυτευθέντος, καὶ καρποφοροῦντος σωτηρίαν. Διό φησι. Ταῦτα λέγουσα ἡ νύμφη:~

„ Ἀμπελών μου ἐμὸς ἐνώπιόν μου οἱ χίλιοι Σολομών.

Ὃ Λέγει τοιοῦτόν ἐστι. Χρὴ γὰρ ἀσαφὲς ὂν σαφὲς εἰς δύναμιν καταστῆσαι. Καὶ ὁ ἀμπελὼν φησὶν ἐμὸς, καὶ ὁ καρπὸς ἐμός. Οἱ γὰρ νομιζόμενοι παρέχεσθαι τῷ εἰρηνικῷ μου νυμφίῳ. Τουτέστι τῷ Σολομῶντι χίλιοι ἀργυρείου, ἐνώπιόν μου εἰσίν. Ἀποδώσει μοι γὰρ αὐτοὺς πάλιν. Καὶ νῦν μὲν γὰρ ἀπαιτεῖ καρπὸν, τὴν ἐμὴν ποθῶν σωτηρίαν. Καὶ σωζομένην με θέλει ἰδεῖν:~

„ Ἀμπελών μου ἐμὸς ἐνώπιόν μου. Οἱ χίλιοι Σολομών.
„ Καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

Λαμβάνουσι μισθὸν, τοῦ ἀμπελῶνος οἱ φύλακες. Καὶ μισθὸν ὡρισμένον. Καὶ ἐπειδὴ ταῖς πέντε αἰσθήσεις τοῦ ἀμπελῶνος φυλάττουσιν. Ὄψιν, καὶ γεῦσιν. Καὶ ὄσφρησιν. Καὶ ἀκοήν. Καὶ ἁφήν. Ἀναγκαίως τοὺς διακοσίους κομίζονται, οἵπερ εἰσὶ τῶν χιλίων τὸ πέμπτον. Ἄξιοι γὰρ τὸν θεῖον ἀμπελῶνα φυλάττοντες, τῶν παρὰ τοῦ φυτουργοῦ τυχεῖν ἀμοιβῶν. Διὸ οὐ μόνον ὁ νυμφίος, ἀλλὰ καὶ αὐτὴ ἡ νύμφη τούτων δώσειν τὰς ἀντιδόσεις. Καὶ ὁ μακάριος Παῦλος φησὶν, εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται. Καὶ τοῖς ἐργασαμένοις δὲ εἰς τὸν ἀμπελῶνα, τῆς ἑσπέρας καταλαβούσης,

ἐκέλευ-

ἐκέλευσεν ὁ οἰκοδεσπότης, ἀνὰ δηνάριον δοθῆναι. Δῆλον τοίνυν, ὡς οὐδὲν ἄμισθον παρὰ Θεῷ. Εἰ γὰρ ὁ ποτήριον ψυχροῦ ἑνὶ τῶν μικρῶν τῶν ἐλαχίστων προσφέρων, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Πολλῷ μᾶλλον ὁ τὸν ἀμπελῶνα φυλάττων τῶν παρὰ τοῦ ἀμπελῶνος ἀμοιβῶν ἀπολαύσεται. Καὶ αὐτὸς δὲ ὁ ἀμπελὼν, τὴν διὰ τῶν πέντε αἰσθήσεων ὑπακοὴν παρέξει, καὶ τοὺς διακοσίους πληρώσει. Οἱ πεντάκις τοῦτοι γινόμενοι, αἱρέσεως, ὑπάρχει τῶν κατ᾽ ἐνέργειαν φυλασσόντων αὐτοὺς. Καὶ γὰρ ὁ μὲν χίλια ἀριθμὸς, τὴν ἐν Χριστῷ ἐμφαίνει τελειότητα. Ἀπροσδεὴς ὑπάρχων μονὰς, ὡς μὴ μόνον τῇ δυνάμει. Ἀλλὰ καὶ τὸν ἐνεργείᾳ ταύτης λόγον ἐν ἑαυτῷ φέρων, ὅτι ἐκ μονάδος ἄρχεται, καὶ διὰ μονάδος δηλοῦται: Καὶ μονάδος ἐστὶ ποιητικός. Ἡ γὰρ χιλιὰς καὶ ἡ μυριὰς, τῷ τῆς μονάδος στοιχείῳ γνωρίζονται. Ὁ δὲ διακόσιος πάλιν ἀριθμὸς, τὸν τῆς φύσεως ἡμῶν εἰς ἑαυτὴν διὰ τῆς τῶν ἐντολῶν ἐργασίας δηλοῖ ἀποκατάστασιν, ὡς δεκαπλασιάζων κατὰ τὴν δεκάδα τῶν ἐντολῶν, τὸν ἐκ τοῦ τετράκις πέντε συντιθέμενον. Κἀντεῦθεν δηλονότι τὸν ἐξ ὕλης καὶ εἴδους φύσεως ἡμῶν εἰκοσὸν ἀριθμὸν. Πρὸς δὲ τοῖς εἰρημένοις ἡ νύμφη. Καὶ τάδε πρὸς τὸν νυμφίον. Δι᾽ ἄκραν τὴν μετεωροφροσύνην, καὶ ἐπιτεταμένον πόθον τῶν μελλόντων ἀγαθῶν διήξεισιν:~

„ Ὁ καθήμενος ἐν κήποις, ἕτεροι προσέχοντες, τὴν φω-
„ νήν σου ἀκούτισόν με.

Εἴτ᾽ οὖν ὦ νυμφίε μου σὺ ὁ ἐπαναπαυόμενος τῇ τε νοητῇ κτίσει, καὶ τῇ αἰσθητῇ. Ὡς τοῖς σοῖς θελήμασι δίκην κήπων πεφυτευμένοις. Ἄλλοι παρ᾽ ἡμᾶς εἰσὶν οἱ ἀμεταστρεπτὶ πρὸς σὲ ἀτενίζοντες, διὰ τὸ μὴ μερίζεσθαι

δεσμῷ

δεσμῷ σώματος. Αἱ αὐτοὶ πάντως, καὶ Ἀγγελικαὶ τάξεις. Ἐγὼ δ᾽ ὡς ὑποκειμένη τῷ τοιούτῳ δεσμῷ, δέδοικα τὴν τροπήν. Καὶ διὰ τοῦτο τὴν δευτέραν κάθοδον ἐπιποθοῦσα, ἱκετεύω σε. Ἀκουστήν σου ποίησον τὴν εὐκταίαν ἐκείνην φωνήν σου. Τὸ, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν. Καὶ οὕτω φύγε ἀδελφιδέ μου καὶ ὁμοιώθητι τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων. Ἐπὶ ὄρη ἀρωμάτων προσκαλούμενος γὰρ τοὺς δικαίους εἰς τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην αὐτοῖς Βασιλείαν σου. Ἀφίστασαι πάντως, τῆς διὰ τῶν αἰσθητῶν προνοίας ἡμῶν ἐφελκόμενος τοὺς ἀξίους ἐπὶ τὰ ὕψη τῶν πνευματικῶς εὐωδιαζουσῶν αὐτοὺς κατὰ θέωσιν χαρίτων. Ἐν αἷς ὥσπερ δόρκων ἐλάφου νεβρὸς, ἀναιρετικὸς τῶν ἰοβόλων θηρίων, τὰ μαινόμενα καθ᾽ ἡμῶν τῆς πονηρίας πνεύματα νεκροῖς. Καταπαύων τὸν πρὸς ἡμᾶς αὐτῶν πόλεμον :~

„ Ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῇ φω-
„ νῇ σου. Ἀκούτισόν με. Φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθη-
„ τι δορκάδι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμά-
„ των.

ΤΩ νυμφίῳ καὶ ταῦτα προσδιαλέγεται. Καὶ λέγει αὐτὸν ἐν κήποις καθεῖσθαι. Κῆπος δέ εἰσιν, οἱ θεῖοι ναοὶ, οἱ τῶν μαρτύρων σηκοί. Τῶν τὸν μονήρη βίον ἐπανῃρημένων, τὰ συστήματα ἐν τούτοις λέγει τὸν χιλίοις ἀποτελοῦσιν :~

ΤΩΝ ΤΡΙΩΝ ΠΑΤΕΡΩΝ:-

ἘΠεὶ δὲ ἤκουσε τῶν τῆς διδασκάλου νύμφης ῥημάτων ἡ ἐξ Ἰουδαίων εἰς πίστιν προσκαλουμένη ὁ μάγυρεις. Ὅτι τὲ

 μαστοὺς

μαστοὺς οὐκ ἔχει. Καὶ τὸ, εἰ τεῖχός ἐστι περὶ αὐτῆς εἰρημένον, πρὸς ἀμφότερα ταῦτα τὴν ἀπόκρισιν ποιουμένη. Φησὶν, ὡσανεὶ δεικτικῶς, ἐγὼ τεῖχος καὶ μαστοί μου ὡς πύργοι. Πάντες οἱ ἐξ Ἰσραήλ. Τεῖχος μὲν εἰμὶ, ὡς ᾠκοδομημένη τῇ διδασκαλίᾳ τῶν νομικῶν ἐντολῶν. Οὐ μοιχεύσεις καὶ τὰ ἑξῆς. Πύργοι δ' ἐοίκασι τὰ δίκην μαζῶν νηπιώδη τροφὴν, καὶ εἰσαγωγικήν μοι κομίζοντα σύμβολα τοῦ νομικοῦ γράμματος, ὡς ἀπόρθητόν με παραφυλάττοντα τοῖς ἐθνικοῖς ἔθεσι. Καὶ γὰρ ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην. Ἤγουν αὐτῇ ποτὲ ὑπῆρχον Ἐπισκοπῆς θείας ἀξιουμένη. Καὶ κἂν μὴ τότε ἐγνώκειν τὸν καταλλάξαντα ἡμᾶς τῷ ἰδίῳ Πατρὶ, τὴν ἀληθινὴν εἰρήνην, Ἀλλ' ὡς ταύτην κατὰ τοὺς τύπους ἐν τοῖς Προφήταις ἐγνωκυῖα ἐτύγχανον. Πρὸς ταύτην δὲ διδασκαλικῶς ἡ νύμφη φησί. Τί μοι προσβάλλη, τὰ παλαιά; Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμὼν ἐν Βεελαμών. Δηλαδὴ πνευματικὴ φυτεία τῆς τῶν πιστῶν Ἐκκλησίας γέγονε τῷ εἰρηνικῷ Βασιλεῖ, ἐν πλήθει ἐθνῶν, ὅπερ τὸ Βεελαμὼν παριστᾷ:~

» Ἔδωκε τὸν ἀμπελῶνα τοῖς τηροῦσιν.

Ἤτουν παρέσχε τὴν Ἐκκλησίαν Ἀποστόλοις καὶ διδασκάλοις, τοῖς ἐγρηγόρως φυλάττουσιν αὐτὴν, ἵνα μὴ αἱ κατ' αὐτῆς ἐπεγειρόμεναι πολυειδεῖς αἱρέσεις, ταύτην καταλυμαίνωνται. Τὴν ἑνότητα αὐτῆς εἰς ἄλλας δόξας καταμερίσασαι:~

» Ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρείους.

Δηλονότι ὃς τῶν τελουμένων κατήρτηται τὰ τοῦ νηπίου ἐν τῷ προφερομένῳ τούτοις παρὰ τῶν τελεστῶν πνευματικῷ τῆς

Ἐκκλησίας καρπῷ. Τῇ καθάρσει φημὶ, καὶ τῇ τελειώσει κομίζεται. Οἷάπερ χιλίους ἀργυρείους τὴν διὰ καθαρότητος, καὶ φωτισμοῦ τελειότητα. Ἀκούσας δὲ ὁ νυμφίος τῆς νύμφης περὶ αὐτοῦ πρὸς τὰς μαθητευομένας αὐτῇ λεγούσης, ὅτι ἔδωκε τὸν ἀμπελῶνα τοῖς τηροῦσιν. Ἵνα μὴ δόξωσιν οἱ ἀκούοντες ἀφεστηκέναι τοῦτον τῆς τοῦ ἀμπελῶνος ἐπιμελείας. Φησὶ πρὸς αὐτήν:~

» Ἀμπελών μου ἐμοὶ ἐνώπιόν μου.

Ἤτουν, ἅντινας φύλακας τῆς Ἐκκλησίας κατέστησα. Ἀλλὰ δεσπότης ταύτης ἐγὼ καὶ νυμφίος. Καὶ ἡ τούτων σπουδὴ, ἐν τῇ ἐμῇ ἐπισκοπῇ ἰσχύει. Εἰ μὴ γὰρ ἐγὼ φυλάσσω. Εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων:~

Ἡ δὲ νύμφη ἀνταποκρινομένη πρὸς τὸν νυμφίον φησί:~

» Οἱ χίλιοι σοὶ Σαλωμὼν, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν
» καρπὸν αὐτοῦ.

Ἤτοι ἡ μὲν τελειότης, ἣ τοῦ τελειωτοῦ δῶρόν ἐστιν εἰρηνικόν τε, καὶ εἰρηνοποιόν. Ἡ δ' εἰς ἑαυτὴν τῆς φύσεως ἡμῶν ἀποκατάστασις, διὰ τῆς τῶν σῶν ἐντολῶν ἐργασίας. Ἥπερ ἐστὶν ἡμῶν τῆς Ἐκκλησίας καρπός. Τῆς πρὸς σὴν ὁδὸν διάγειν. Καὶ παρακαλεῖ αὐτὸν, μὴ μόνον ταῖς δυνάμεσι προσδιαλέγεσθαι, ἀλλὰ καὶ αὐτὴν τῆς ἡδίστης αὐτοῦ φωνῆς ἀξιῶσαι. Καὶ μὴ περιιδεῖν ποθοῦσαν, καὶ διψῶσαν ἐντρυφῆσαι αὐτοῦ τοῖς λόγοις. Παρακελεύεται αὐτῷ, καὶ φυγεῖν. Φυγεῖν δὲ τίνας, ἢ τὰς πονηρὰς τῶν αἱρετικῶν συμμορίας, καὶ τὰς ἠκονημένας κατὰ τῆς εὐσεβείας γλώσσας. Ἐκείνας αὐτὸν παρα-

καλῶ φυγόντα, καὶ βδελυξάμενον, ὁ μονωθῆναι δορκάδι ἢ νεβρῷ ἐλάφων, καὶ διαβῆναι ἐπὶ τὰ ὄρη τῶν ἀρωμάτων. Καὶ διαφθεῖραι μὲν ἐλάφων παραπλησίως, τὰ πνευματικὰ τῆς πονηρίας θηρία. Προϊδεῖν δὲ τὴν ἀδικίαν εἰς τὸ ὕψος λαλέντων τὴν ἀσέβειαν. Ἐλθεῖν δὲ ἐπὶ τὰ ὄρη τῶν ἀρωμάτων, τοὺς ὑψηλοὺς μὲν τὴν διάνοιαν, καὶ δίκην ὀρῶν ὑπεραίροντας τὰ κοῖλα. Φύοντας δὲ καρποὺς ἀρωμάτων εὐωδίαν ἀφιέντας. Ὡς δυναμένους λέγειν κατὰ τὸν μακάριον Παῦλον, Χριστοῦ εὐωδία ἐσμέν. Εἴη δὲ καὶ ἡμᾶς διαφυγεῖν τὰ τῶν ὄφεων δήγματα. Εἰ δὲ καὶ δηχθείημεν εἰς τὸν ὑψωθέντα ὑπὲρ ἡμῶν ἀπιδεῖν καὶ τὴν θεραπείαν ἑλκύσαι:~

ΗΘΙΚΟΝ:-

Γένοιτο δὲ καὶ ἡμᾶς, καὶ ἀρωμάτων ὄρη γενέσθαι, ἵνα τοῦ νυμφίου δεξώμεθα τὰ πηδήματα. Καὶ τὸν μακαρισμὸν ἐκεῖνον δρεψώμεθα. Μακάριος ἀνὴρ, οὗ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ σοί. Αἱ ἀναβάσεις σου ἐν τῇ καρδίᾳ αὐτοῦ. Σοὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν:~

ΤΕΛΟΣ:-

Γεωργίου παιδίου, στίχοι, εἰς τὸν Μάταιον βίον: πρὸς τὸν Οἰκουμενικὸν Πατριάρχην:-

Ἄνοιξον ἡμῖν, τοῦ λογισμοῦ τὰς πύλας,
Ὁ τῆς ὄνου πρὶν διανοίξας τὸ στόμα.
Τῆς γὰρ τύχης κύημα τὸν τῦφον γράφων,
Τὸ συμβεβηκὸς ἐξελέγξω τῶν δύο.
Ὃ πρὶν κυηθῇ, τῇ φθορᾷ συνεφθάρη,
Ὠδῖνος ἐξάμβλωσις ἠθλιωμένη.
Κολάζεται γὰρ τῦφος ὠφρυωμένος,
Ἀντοφρυωθεὶς τῇ θέᾳ τοῦ μείζονος.
Ἐκκρούεται δὲ καὶ παρωθεῖται βίᾳ,
Ὡς εἴ τις ὠθεῖ πάτταλον τῷ παττάλῳ.
Ὥσπερ γὰρ εἴ τις ἀσθενὴς θηροκτόνος,
Θέλων βαλεῖν λέοντα πευκίνῳ ξίφει.
Ἐκ τῶν ἑαυτοῦ φθείρεται τοξευμάτων.
Οὕτω ταπεινὸς τῦφος εἰ βάλλει μέγα,

Ἀποστροφὴ πρὸς τὸν Πατριάρχην:-

Ἀλλ' ὦ τὸ θερμὸν τῶν ἐμῶν λόγων ἔαρ.
Ὁ τῷ καθ' ἡμᾶς ἀντικείμενος σάλῳ.
Καὶ καὶ τῷ κλύδωνι τῶν παθῶν ἀντιπνέων,
Ἴθυνον ἡμῶν τὴν λαλοῦσαν ὁλκάδα.
Τῇ σῇ προσευχῇ, πνευματώσας τὸ σκάφος,
Τῇ τοῦ βίου γὰρ κυματούμενος ζάλῃ
Ὁ μοῦ κατ' αὐτὸ καὶ κινοῦμαι καὶ γράφω,
Ὁ χοῦς ὁ πηλὸς, ἡ παλίστροφος κόνις.
Τῇ γῇ γὰρ ἡ γῆ συμβιβάζεται πάλιν,
Καὶ σπαργανοῦται τῷ γεώδει σπαργάνῳ

Καὶ χοῦς πάλιν προφέρεισιν, ὥσπερ ἡ κόνις.
Ἣν ἡ βιαία συστροφὴ τῶν πνευμάτων,
Πρὸς ὕψος ἐξαίρουσα, συλλέγει κάτω.
Οὕτω γὰρ ἡμῶν τὸν παλίστροφον βίον,
Αἱ τῶν πονηρῶν πνευμάτων καταιγίδες,
Πρὸς ὕψος ἐξαίρουσι καὶ δόξαν νόθην.
Αὖθις δὲ χοῦς κάτεισι, καὶ νεύει κάτω.
Ἕως ὁ τοῦ κτίσαντος ἁρμόσῃ λόγος,
Τῶν συνδεθέντων τὴν ἀναγκαίαν λύσιν.
Νῦν δὲ προκύψας ὥσπερ ἔκπνος βάθους,
Ὁ χοῦς, ὁ θεία πνευματωθεὶς εἰκόνι.
Καὶ τὰς γεώδεις ἐκ βοᾷ τραγῳδίας
Καὶ τὸν γελᾶν δοκοῦντα δάκρυσι βίον,
Ὢ τῆς καθ' ἡμᾶς ἀδιαστρόφου χλόης
Ὢ βλαστὸς ἔμπνους, οὗ τὸ κάλλος ὀξέως
Σὺν τῷ θερισμῷ τοῦ χρόνου μαραίνεται.
Τίς οὖν σκοπήσας ἐξ ἀτύφου καρδίας,
Τὸ τοῦ βίου θέατρον, αἰσχύνης γέμον.
Θρήνῳ γελῶντι μὴ σβέσοι τὸ παίγνιον;
Καὶ τίς παρ' αὐτοῖς ἀρχικὴν ἐνειμένος,
Στολὴν ἐπῆρται καὶ σχεδιάζει τύχην,
Καὶ σχηματίζει μὴ λαλῶν τὴν ἀξίαν.
Φαντάζεται δὲ μηδὲν ὤν, ὡς ὢν ὅλα.
Καὶ μηδὲν εἰδὼς, εἰδέναι δοκεῖν θέλει.
Διπλῆν ἔχων ἄνοιαν εἰς ψυχὴν μίαν.
Πλαστὸς σοφιστὴς, μωρὸς ἠλικισμένος,
Καὶ πέζεται μὲν, πλὴν τέως φρονεῖ μέγα.
Ἕως παρέλθοι τοῦ βίου παίγνιον,
Οὕτω πέφυκε τῶν ῥεόντων ἡ φύσις.

Σκηνῆς

Σκηνῆς ἀδελφή, συγγενὴς ἐνυπνίων.
Παρέρχεται δὲ, παῖς ὁ τοῦ τύφου σάλος
Ὡς ὕπνος, ὡς ὄνειρος, οὐκ ἔχων στάσιν.
Σμικρὸς γάρ ἐστι Κόσμος ἀνθρώπου φύσις.
Φεύγει δὲ τιμὴν, τὴν καλὴν ἀτιμίαν.
Πολλήν τε δόξαν τὴν ἀδοξίαν ἔχει.
„ Ἅπερ γὰρ ὕβρεις ἐστὶ τοῖς τιμωμένοις,
„ Ἔπαινος εἰσὶ ταῦτα τοῖς ὑβρισμένοις.
Ἡ γὰρ παρ' ἄλλοις ὠνομασμένη τύχη,
Εἰκών τίς ἐστιν ἀπρεποῦς ὀρχηστρίδος,
Ἐν τοῖς ἑαυτοῖς ἀντικλωμένη στρόφοις.
Μορφοῖ δὲ πολλὰ, πάντα μὲν μιμουμένη,
Μηδὲν δὲ δρῶσα τῶν ἀεὶ πεπηγμένων.
Ἡ μαχλὰς ὄντως, ἣ ποθεῖ μὲν οὐδένα
Ἐρᾶν δὲ παντὸς σχηματίζεται πόθου.
Ἄλλοις προσφυὲς τὸ θρασύγλωσσον στόμα,
Σοφῷ δὲ σιγὴ καὶ γαλήνη καρδίας.
Καὶ τοῖς μὲν ἡδὺ τῆς τρυφῆς τὸ φορτίον.
Τὸ πρὸς νόσους ὄχημα τῆς ἀπληστίας.
Σοφοὺς δὲ λιμὸς καὶ ποτίζει καὶ τρέφει,
Ὁ τοῖς ὀνείροις μὴ βαρύνων τὴν φύσιν.
Ἄλλους ὁ πλοῦτος ζημιοῖ τῇ προθέσει,
Σεμνοῖς δὲ κέρδος εὐσεβοῦσα ζημία
Ἄλλοις περισπούδαστος ἡ προεδρεία,
Ὁ τερπνὸς οἶκος, ἡ πενιχρὰ τερπνότης.
Τὸ σαθρὸν εὐτύχημα τοῦ νόθου κλέους,
Τῷ δὲ φρονοῦντι πᾶσα γῆ προεδρεία.
Κοινὴ γὰρ ἡ γῆ πρὸς θρόνους τε καὶ τάφους,
Παρέρχεται γὰρ ἡ παροῦσα λαμπρότης.

Καὶ

Καὶ πᾶσα δόξα, ἀστατοῦσα κουφότης,
Ἐκτείνεται δὲ καὶ πάλιν συστέλλεται.
Ὡς ἂν μάθοιμεν τοὺς ὑπερφρόνας τρόπους,
Ὄφεις νομίζειν, καὶ δρακόντων ἐκγόνους.
Οὕτως παρέρπει πᾶς ὁ τοῦ βίου δρόμος,
Καὶ παντὸς ὄγκου συστολὴ τεθρυμμένη.
Ὡς πομφόλυξ σφύζουσα, καὶ φυσωμένη,
Καὶ πρὸς ὕψος μὲν, τὸ δοκεῖν ἐπηρμένη
Εἶδ' αὖτι μικρὸν ἐν μέσω λεληθότως,
Ἢ κάρφος, ἢ ψὶξ, ἢ σταγὼν παρεμπέσῃ·
Ἀνετράπη τὸ κοῦφον εἰς τοὐναντίον
Καὶ τῇ βιαίᾳ προσβολῇ συνεστάλη :-

Πρὸς τὸν Πατριάρχην εὐχή :-

Ἀλλ' ὦ διαυγὲς ὄμμα τῆς Ἐκκλησίας
Ὁ πατρικὸς νοῦς, ἡ ταπεινὴ καρδία,
Εἰ καὶ πέτῃ γὰρ καὶ τὸν αἰθέρα τρέχεις,
Ταπεινὸς ἦσθα, καὶ συνέρχῃ τοῖς κάτω.
Σὺ δεῖξον ἡμῖν γνωστικωτέρῳ τρόπῳ,
Πῶς ἐστιν εὑρεῖν, ἐν φρεσαῖς ἀντιστρόφοις.
Τὸ πτωχὸν ἦθος, οὐρανοδρόμον φύσει,
Μᾶλλον δὲ πάντων τῶν παθῶν νεκρουμένων.
Τῦφος τελευτῶν, οὐδὲ γηρᾶσαι θέλει.
„ Ψυχῆς γάρ ἐστιν ὡς τὸ πλεῖστον ἡ νόσος,
Καὶ νοῦς ὁ πάσχων, ἡ νομὴ δὲ τοῦ πάθους,
Ἰὸς δράκοντος, ᾧ γὰρ ἐβλήθη βέλει.
Τοῦτῳ τιτρώσκειν, καὶ τὸν ἄνθρωπον θέλει :-

Ἐγράφη ὑπὸ Ματθαίου Ἱερέως Κιγάλα Κυπρίου.

Ψηφία.	Στίχος.	Σφάλματα.	Διορθώματα.
β	ϛ	ζητουρμένου	ζητουμένου
β	ια	διακαλλόντων	διαβαλλόντων
δ	κε	τοίκην	τοίνυν
ϛ	ιγ	σιγραφὰς	συγγραφας
ζ	ιζ	ἰδοῦ	ἰδοὺ
η	κε	τῶν	τὸν
ιβ	κϛ	ζωσάσε	ἔζωσάσε
ιδ	α	μειχωμένον	μοιχωμένην
ιε	β	πατόρασιν	πατράσιν
ιζ	κε	ἥκου	οἶκου
κδ	ιγ	τὸν	τὴν
κϛ	κε	περισρᾶ	περιστρὰ
κη	ιθ	ἴδὴ	ἴδη
λ	ιη	θελύ	θελή
λ	κγ	λαμμανό	λαμβανό
λα	α	ἔλκυς	εἵλκυσ
λα	α	σκευαθέν	σκευασθέν
μγ	κα	ἐναυγαζόμενον	ἐναυγαζόμενοι
με	β	ἀγγέλον	ἀγγέλους
με	η	τοὺς ἀγγέλους	τοῖς ἀγγέλοις
μζ	ιϛ	ἀπελῶνα	ἀμπελῶνα
μθ	ια	οὲ	δὲ
μθ	ιβ	Ἀπελῶνα	Ἀμπελῶνα
να	α	ὁ μανάριος	ὁ μακάριος
νγ	κϛ	ἐπίσκων	ἐπίσκην
νϛ	ιδ	ἔζεσιν	ἔξεσιν
ξγ	θ	νουσεν	νουσαν
ξγ	κ	ῥέπαι	ῥέται
ξϛ	ιδ	παρεινὰ	παρεικά
οα	ιδ	γινομένν	γινομένη
πδ	κϛ	εὐώδη	εὐώδες
πε	ε	ὁ νυμφινὸς	ὁ νυμφίος
πζ	ιζ	φθέγεται	φθέγγεται
ϟ	κβ	τείρας	πειρασ
ργ	ιη	φθάσα	φθάσασα
ρϛ	β	σκέθαι	σκέσθαι
ρη	ϛ	προσκυνώς	προσκυνήσιν.
ρκβ	ϛ	τλειότα	τελειότητα
ρκγ	γ	φθειγομ.	φθεγγομ.
ρκδ	δ	καπὰ	κατὰ
ρκζ	η	τῶν	τὴν
ρκθ	ιθ	πρῶταν	πρῶτον
ρλβ	κα	στρεύψ	στρέψ
ρνβ	κε	μένης	μένοις
ρνβ	κϛ	πλειῶμα	τελείωμα
σξη	ζ	τηντα	τηνται
ρκζ	κζ	τίμιων	τίμιον